1 φασὶ scripsi: φησὶ U 2 ἐνθένδεν U 7 τὸ add. Tisch. 9 ἀδιεξίτητος Mang.: διεξιόντος U ἔτι U (coni. Tisch.): ἔστι Mang. 10 εἴ γε U (coni. Tisch.): εἰ δὲ Mang. 12 κερασάμενος Mang.: κερασαμένοις U 15 καλῷ Mang.: καλῶς U ⟨τῷ⟩ Καίν coni. Holwerda τὸ Mang.: τῷ U 22 γεγέννηκε U 24 ἐρευνήσομεν Holwerda 25 τὰς addidi 29 εἶπον scripsi: εἶπε U, εἶπα Mang. 31 ὅλων Mang.: ἄλλων U

ὅσα ἐν τῷ νοεῖν ἢ αἰσθάνεσθαι ἢ λέγειν, ἀσεβῆ καὶ ἄθεον εἰσηγούμενοι δόξαν γένει τῷ Κάιν προσκεκληρώσθωσαν, ὃς μηδ' αὐτοῦ κρατεῖν ἱκανὸς ὢν καὶ τῶν ἄλλων ἁπάντων ἀπετόλμησεν [ὡς] εἰπεῖν ὡς ἔχοι τὴν παντελῆ κτῆσιν· οἱ δ' ὅσα ἐν γενέσει καλὰ μὴ σφετεριζόμενοι, χάρισι δὲ ταῖς θείαις ἐπιγράφοντες, εὐγενεῖς πρὸς ἀλήθειαν οὐκ ἐκ παλαιπλουσίων
43 ἀλλ' ἐκ φιλαρέτων φύντες, ὑπὸ ἀρχηγέτῃ τῷ | Σὴθ τεταχθωσαν. δυσεύρετον σφόδρα τὸ τούτων ἐστὶ γένος ἀποδιδρασκόντων τὸν ἐπίβουλον καὶ ῥᾳδιουργὸν καὶ πανοῦργον καὶ κεχυμένον παθῶν τε καὶ κακιῶν πλήρη βίον. οὓς γὰρ ὁ θεὸς εὐαρεστήσαντας αὐτῷ μετεβίβασε καὶ μετέθηκεν ἐκ φθαρτῶν εἰς ἀθάνατα γένη, παρὰ τοῖς πολλοῖς οὐκέθ' εὑρίσκονται.
44 (13.) διεσταλκότες οὖν τὰ περὶ τὸν Ἐνὼχ σημαινόμενα μέτιμεν ἑξῆς ἐπὶ τὸν Μαθουσάλα, ὃς ἦν ἐξαποστολὴ θανάτου. δύο δ' ἐκ ταύτης παρίσταται τῆς φωνῆς, ἓν μὲν καθ' ὅ τινι ἐπιπέμπεται θάνατος, ἕτερον δὲ καθ' ὃ ἀπό τινος ἀποστέλλεται. ὅτῳ μὲν οὖν ἐπιπέμπεται, θνήσκει
45 πάντως ἐκεῖνος, ἀφ' οὗ δὲ ἀποστέλλεται, ζῇ τε καὶ περίεστι. τῷ μὲν δὴ Κάιν ὁ τὸν θάνατον δεχόμενός ἐστιν οἰκεῖος ἀεὶ τὸν πρὸς ἀρετὴν βίον θνήσκοντι, τῷ δὲ Σὴθ συγγενέστατος ἀφ' οὗπερ ἀποστέλλεται καὶ διατειχίζεται τὸ ἀποθνήσκειν· τὴν γὰρ ἀληθῆ ζωὴν ὁ σπουδαῖος κεκάρ-
46 πωται. καὶ μὴν ὅ γε Λάμεχ ταπείνωσις ὢν ἀμφίβολός ἐστιν· ἢ γὰρ ὑφιεμένων τῶν τῆς ψυχῆς τόνων κατὰ τὰ ἐξ ἀλόγων παθῶν ἐγγενόμενα νοσήματά τε καὶ ἀρρωστήματα ταπεινούμεθα ἢ κατ' ἀρετῆς ζῆλον στέλ-
47 λοντες ἑαυτοὺς ἀπὸ οἰδούσης οἰήσεως. ἡ μὲν οὖν προτέρα γίνεται κατ' ἀσθένειαν, εἶδος τῆς πολυμόρφου καὶ πολυτρόπου λέπρας οὖσα· ὅταν γὰρ ἡ ὄψις ταπεινοτέρα φαίνηται τὴν ὁμαλὴν καὶ εὔτονον κλασθεῖσα φαντασίαν, τὴν χαλεπὴν νόσον λέπραν ὁ νομοθέτης φησὶ γενέσθαι
48 (Lev. 13, 3). ἡ δὲ ἑτέρα ἀπὸ ἰσχύος συνίσταται καρτερᾶς, ᾗ καὶ ἵλασμὸς ἕπεται κατὰ τὸν τῆς δεκάδος ἀριθμὸν τέλειον· προστέτακται γὰρ τὰς ψυχὰς ταπεινοῦν δεκάτῃ τοῦ μηνός (Lev. 23, 27), ὅπερ ἐστὶ μεγαλαυχίαν ἀποτίθεσθαι, ἧς ἡ ἀπόθεσις ἀδικημάτων ἑκουσίων καὶ ἀκουσίων ἐργάζεται παραίτησιν. ὁ μὲν οὖν οὕτως ταπεινὸς Λάμεχ ἔκγονος μέν ἐστι Σήθ, πατὴρ δὲ τοῦ δικαίου Νῶε, ὁ δὲ ἐκείνως ἐκβλάστημα Κάιν.

p. 234 M.

---

2 αὐτοῦ U 3 ὡς secl. Mang. 4 γένεσι U 5 ἐπιγράφοντες scripsi: ἀναγράφοντες U 13 τῆς U, om. v 16 οἰκεῖος U (coni. Mang., οἶκος prave rettulit Mang. et Tisch.) 19 μὴν U (coni. Mang.): μὲν in textu Mang. 22 οἰδούσης non plane certum est, cum primae tres litterae paene oblitteratae sint 23 πολυτρόπου Mang.: πολυτρόφου U 24 εὔτονον] εὔοψον Holwerda 26 καρτερᾶς Otto: καρτερίας U, καὶ καρτερίας Mang.

(14.) Ἐπόμενον δ' ἂν εἴη σκέψασθαι, τίνος ἕνεκα κτίζων καὶ 49
οἰκοδομῶν πόλιν αὐτὸς οὗτος εἰσάγεται· πλήθει γὰρ ἀνθρώπων μεγέθους
δεῖ πόλεως πρὸς οἴκησιν, τρισὶ δὲ τοῖς κατ' ἐκεῖνον οὔσι τὸν χρόνον
ὑπώρειά τις ἢ μικρὸν ἄντρον αὐταρκέστατον ἦν ἐνδιαίτημα. κἀγὼ μὲν
εἶπον τρισί, τὸ δ' εἰκὸς ἑνὶ μόνῳ ἑαυτῷ· οὐδὲ γὰρ οἱ γονεῖς τοῦ δολο-
φονηθέντος τὴν αὐτὴν τῷ κτείναντι πόλιν ὑπέμειναν ⟨ἂν⟩ οἰκεῖν, μεῖζον
p. 235 M. ἀνδροφονίας ἄγος ἀδελφοκτονίαν | ἐργασαμένῳ. τὸ μὲν γὰρ οὐ παρά- 50
δοξον μόνον ἀλλὰ καὶ παράλογον παντί τῳ δῆλον, ἕνα ἄνδρα πόλιν
οἰκοδομεῖν. τίνα ἔστι τρόπον; ἀλλ' οὐδ' ἂν οἰκίας μέρος τὸ ἀφανέστατον,
μὴ χρώμενον ὑπηρέταις ἑτέροις. ἢ ὁ αὐτὸς ἐν τῷ αὐτῷ λιθοτομεῖν ἂν
δύναιτο, ὑλοτομεῖν, σίδηρον, χαλκὸν ἐργάζεσθαι, τειχῶν μέγαν κύκλον
πόλει περιβάλλεσθαι, προπύλαια καὶ προτειχίσματα, ἱερὰ καὶ τεμένη
καὶ στοὰς καὶ νεωσοίκους καὶ οἰκίας καὶ ὅσα ἄλλα δημόσια καὶ ἴδια ἔθος
οἰκοδομεῖσθαι; καὶ ἔτι πρὸς τούτοις ὀχετοὺς κατὰ γῆν ἀναστέλλειν, στε-
νωποὺς ἀνευρύνειν, κρήνας καὶ ὑδρορροὰς καὶ ὅσων ἄλλων πόλει δεῖ
κατασκευάζεσθαι; μήποτ' οὖν, ἐπειδὴ ταῦτα τῆς ἀληθείας ἀπάδει, βέλτιον 51
ἀλληγοροῦντας λέγειν ἐστὶν ὅτι καθάπερ πόλιν τὸ αὐτοῦ δόγμα κατα-
σκευάζειν ὁ Κάιν ἔγνωκε. (15.) ἐπειδὴ τοίνυν πᾶσα πόλις ἐξ οἰκοδομη- 52
μάτων καὶ οἰκητόρων καὶ νόμων συνέστηκε, τὰ μὲν οἰκοδομήματά ἐστιν
αὐτῷ λόγοι οἱ ἀποδεικνύντες, οἷς καθάπερ ἀπὸ τείχους πρὸς τὰς τῶν
ἐναντίων ἀπομάχεται προσβολὰς πιθανὰς εὑρέσεις κατὰ τῆς ἀληθείας
μυθοπλαστῶν, οἰκήτορες δὲ οἱ ἀσεβείας, ἀθεότητος, φιλαυτίας, μεγαλαυ-
χίας, ψευδοῦς δόξης ἑταῖροι δοκησίσοφοι, τὸ πρὸς ἀλήθειαν σοφὸν οὐκ
εἰδότες, ἄγνοιαν καὶ ἀπαιδευσίαν καὶ ἀμαθίαν καὶ τὰς ἄλλας ἀδελφὰς
καὶ συγγενεῖς κῆρας συγκεκροτηκότες, νόμοι δὲ ἀνομίαι, ἀδικίαι, τὸ

---

1 σκύψασθαι U 2 μεγέθους Mang.: μέγεθος U, εὐμεγέθους Diels 3 τοῖς U: om. v
4 ὑπόρεια U ἐνδιαίτημα scripsi: διαίτημα U 5 μόνῳ ⟨κτίζειν⟩ ἑαυτῷ conicio
6 ἂν add. Tisch. 9 τίν' ἄν, εἰπέ, τρόπον Holwerda ἔστι U (non ἐπί, ut adnot. Tisch.) 11 τειχῶν scripsi: τείχη U 12 πόλει Tisch.: πόλεων U
13 ἔθος U (non ἔθ', ut adnot. Tisch.) 14 ὀχετοὺς ut vid. U: ὀχετεύειν Tisch., ὀχετοὺς ἄγειν Otto κατὰ scripsi: καὶ U 15 ὑδρορὰς U 17 αὐτοῦ U
18 κατασκευάζειν ὁ Κάιν Mang.: κατακευάζει δ καὶ U 21 εὑρέσεις] ῥήσεις coni. Mang. 23 ψεύδους U ἑταῖροι Mang.: ἕτεροι U

1—3 *Augustinus Quaest. lib. I,1:* Quomodo Cain potuerit condere civitatem, cum civitas alicui utique constituatur hominum multitudini, illi autem duo parentes et duo filii fuisse referantur, quorum filiorum ab altero alter occisus est, in cuius occisi locum alius natus esse narratur.

ἄνισον, τὸ ἀκόλαστον, θρασύτης, ἀπόνοια, αὐθάδεια, ἡδονῶν ἀμετρίαι,
53 τῶν παρὰ φύσιν ἄλεκτοι ἐπιθυμίαι. τοιαύτης πόλεως ἕκαστος τῶν
ἀσεβῶν ἐν ἑαυτοῦ τῇ παναθλίᾳ ψυχῇ δημιουργὸς εὑρίσκεται, μέχρις ἂν ὁ
θεὸς βουλευθεὶς (Gen. 11,6) ταῖς σοφιστικαῖς αὐτῶν τέχναις ἀθρόαν καὶ
μεγάλην ἐργάσηται σύγχυσιν. τοῦτο δ' ἔσται, ὅταν μὴ μόνον πόλιν, ⟨ἀλλὰ⟩ 5
καὶ πύργον οἰκοδομῶσιν, οὗ ἡ κεφαλὴ εἰς οὐρανὸν ἀφίξεται (Gen. 11, 4),
τουτέστι λόγον ἑκάστου κατασκευαστικόν, ὅνπερ εἰσηγοῦνται κεφαλὴν
ἔχοντα τὸ οἰκεῖον νόημα, ὃ προσαγορεύεται συμβολικῶς οὐρανός· ἀνάγκη
γὰρ παντὸς λόγου κεφαλὴν καὶ τέλος εἶναι τὸν δηλούμενον νοῦν, οὗ
χάριν αἱ μακραὶ διέξοδοί τε καὶ ῥήσεις ὑπὸ λογίων ἀνδρῶν εἰώθασι 10
54 γίνεσθαι. (16.) τοσοῦτον δ' ἄρα τῆς ἀσεβείας ἐπιβεβήκασιν, ὥστ' οὐ
μόνον δι' ἑαυτῶν ἐγείρειν τὰς τοιαύτας πόλεις ἀξιοῦσιν, ἀλλὰ καὶ τὴν
φιλάρετον πληθὺν Ἰσραὴλ ἀναγκάζουσιν ἐπιστάτας καὶ διδασκάλους κακῶν
ἔργων ἐπ' αὐτοῖς χειροτονήσαντες. λέγεται γὰρ ὅτι κακωθέντες ὑπὸ
τῶν ἐπιστατῶν τῷ βασιλεῖ τῆς χώρας | τρεῖς πόλεις οἰκοδομοῦσι, Πειθώ, p. 236 M.
55 Ῥαμεσσή, Ὼν, ἥ ἐστιν Ἡλίου πόλις (Exod. 1, 11). αὗται δὲ τροπικώ- 16
τερον νοῦν, αἴσθησιν, λόγον, τὰ περὶ ἡμᾶς ὄντα, δηλοῦσιν· ἡ μὲν γὰρ
Πειθὼ ὁ λόγος ἐστίν, ὅτι περὶ τοῦτον τὸ πείθειν, ἔχει δὲ ἑρμηνείαν
στόμα ἐκθλῖβον, ἐπειδήπερ καὶ ὁ τοῦ φαύλου λόγος ἐξωθεῖν καὶ ἀνα-
56 τρέπειν τὰ σπουδαῖα μελετᾷ. Ῥαμεσσὴ δὲ ἡ αἴσθησις * * * καθάπερ 20
γὰρ ὑπὸ σητὸς ὑφ' ἑκάστης τῶν αἰσθήσεων νοῦς ἐκβιβρώσκεται καὶ
διεσθίεται, σειόμενος καὶ σπαραττόμενος· αἱ γὰρ ἐπεισιοῦσαι μὴ καθ'
57 ἡδονὴν φαντασίαι λυπηρὸν καὶ ἐπίπονον ἀποτίκτουσι τὸν βίον. ἡ δὲ
Ὼν καλεῖται μὲν βουνός, ἔστι δὲ συμβολικῶς ὁ νοῦς· ἐπὶ γὰρ τοῦτον

τ

3 ἐν ἑαυτοῦ scripsi (ἑαυ U): ἐξ ἑαυτοῦ Mang. post ψυχῇ add. ἢ U
4 βουλευθεὶς Holwerda: βουληθεὶς U, χολωθεὶς Mang., ἐνθυμηθεὶς Cohn, θυμωθεὶς olim conieci 5 ἀλλὰ add. Holwerda 7 ἔστι λόγον scripsi: ἔστιν ἢ λόγον U, ἔστι τὸν νοῦν ἢ λόγον Mang., ἔστιν ἀσεβῆ δόγματα ἢ λόγον Holwerda ἑκάστου] κακίας conicio (cf. De confus. lingu. § 115), ἑκάστου ⟨κακοῦ⟩ coni. Cohn 11 ἄρα τῆς Otto (cf. De confus. lingu. § 116): ἀρετῆς U, ἐπαράτου Mang. 12 τὴν om. v 13 ἀνακράζουσιν U 15 et 18 Πυθὼ U Ἡλιούπολις U 17 ὄντα ⟨ὀχυρώματα⟩ coni. Holwerda 18 τούτων U 19 ἔξωθεν U 20 post αἴσθησις etymologia excidisse videtur, cf. Testimonia et De somn. I 632, 32 M. ἑρμηνεύεται γὰρ σεισμὸς σητός 21 ἑκάστη U 23 ἀποτίκτουσι τὸν (vel αὐτοῦ τὸν) Tisch.: ἀποτίκτουσιν αὐτὸν U, ἀποτίκτουσιν αὐτῷ Holwerda

---

20 cf. *Onomastica p. 179,14 Lag.* Ῥαμεσσῆ ἁρπαγή. *197,27* Ῥαμέσι ποιμανσία ἐκ σητός. *Hieron. 9,30. 14,20* (Siegfried, Philo von Alexandria p. 358)

οἱ πάντων θησαυρίζονται λόγοι. μάρτυς δὲ καὶ ὁ νομοθέτης Ὢν Ἡλίου πόλιν προσαγορεύσας· ὥσπερ γὰρ ἀνατείλας ἥλιος τὰ κρυπτόμενα νυκτὶ ἐμφανῶς ἐπιδείκνυται, οὕτως ὁ νοῦς τὸ οἰκεῖον φῶς ἀποστέλλων πάντα καὶ τὰ σώματα καὶ τὰ πράγματα τηλαυγῶς παρασκευάζει καταλαμβάνεσθαι. διόπερ οὐκ ἄν τις εἰπὼν ἁμάρτοι τοῦ συγκρίματος εἶναι ἡμῶν 58 τὸν νοῦν ἥλιον, ὃς ἐν ἀνθρώπῳ τῷ βραχεῖ κόσμῳ μὴ ἀνατείλας καὶ τὸ ἴδιον φέγγος ἐκλάμψας, πολὺ σκότος τῶν ὄντων καταχέας οὐδὲν ἐᾷ προφαίνεσθαι. (17.) τὸν βουνὸν τοῦτον ὁ ἀσκητὴς Ἰακὼβ ἐν τοῖς πρὸς 59 Λάβαν δικαίοις μάρτυρα καλεῖ (Gen. 31, 46. 47) δογματικώτατα δηλῶν ὅτι ὁ νοῦς ἑκάστῳ μάρτυς ἐστὶν ὧν ἐν ἀφανεῖ βουλεύεται καὶ τὸ συνειδὸς ἔλεγχος ἀδέκαστος καὶ πάντων ἀψευδέστατος, * * * πρὸ τούτων τῶν πόλεων οἰκοδομεῖται. φησὶ γὰρ τοὺς κατασκόπους ἐλθεῖν εἰς 60 Χεβρών, ἐκεῖ δ' εἶναι Ἀχειμὰν καὶ Σεσεὶν καὶ Θαλαμείν, γενεὰς Ἐνάχ· εἶτ' ἐπιφέρει· „καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τάνιν Αἰγύπτου“ (Num. 13, 23). φυσικώτατον ⟨τὸ⟩ τὰς ὁμωνυμίας εἴδεσι διαστέλλεσθαι. Χεβρὼν ⟨γὰρ⟩ ἑρμηνεύεται συζυγή· δισσὸν δὲ ταῦτο, ψυχῆς ἢ σώματι συνεζευγμένης ἢ πρὸς ἀρετὴν ἡρμοσμένης. ἡ μὲν οὖν 61 σωματικαῖς συζυγίαις ὑποβάλλουσα αὐτὴν οἰκήτορας ἔχει τοὺς λεχθέντας· ἑρμηνεύεται δὲ ὁ μὲν Ἀχειμὰν ἀδελφός μου, ὁ δὲ Σεσεὶν ἐκτός μου, ὁ δὲ Θαλαμεὶν κρεμάμενός τις· ἀνάγκη γὰρ ψυχαῖς ταῖς φιλοσωμάτοις ἀδελφὸν μὲν νομίζεσθαι τὸ σῶμα, τὰ δὲ ἐκτὸς ἀγαθὰ διαφερόντως τετιμῆσθαι· ὅσαι δὲ τοῦτον διάκεινται τὸν τρόπον, ἀψύχων ἐκκρέμανται καὶ | p. 237 M. καθάπερ οἱ ἀνασκολοπισθέντες ἄχρι θανάτου φθαρταῖς ὕλαις προσήλωνται. ἡ δὲ τῷ καλῷ συνεζευγμένη διαφερόντων ταῖς ἀρεταῖς ἔλαχεν οἰκητόρων, 62 οὓς τὸ διπλοῦν σπήλαιον (Gen. 23, 9) ζυγάδην κεχώρηκεν, Ἀβραὰμ

---

1. 2 Ἡλιούπολιν U 2 ⟨ὁ⟩ ἥλιος Cohn νύκτωρ conicio 4 alterum τὰ Max.: om. U 4. 5 παραλαμβάνεσθαι Max. 6 ὃς Max.: ὃ ὡς U 7 πολὺν U 8 προφαίνεσθαι Max.: προφέρεσθαι U 10 ἐβουλεύσατο $D^C D^R$, ἐβουλεύσαντο D^V 11 ⟨διὸ Χεβρὼν⟩ πρὸ Τάνεως τῆς πόλεως οἰκοδομεῖται conicio, sed lacuna maior esse videtur 13 γενεὰς U: γενεᾶς v Ἐνάχ scripsi: Ἐνώχ U 14 Τάνιν] τὰ νῦν U 15. 16 φυσικώτατον ⟨τὸ⟩ τὰς ὁμωνυμίας εἴδεσι διαστέλλεσθαι scripsi: φυσικωτάτοις (non φυσικωτάτως, ut Tisch. adnot.) κτλ. U, φυσικωτάτως τὰς ὁμωνυμίας εἰδὼς διαστέλλεσθαι Holwerda 16 διαστέλλεται Mang. γὰρ add. Cohn 18 αὐτὴν U 24 διαφερόντων Mang.: διαφερόντως U

2—8 ὥσπερ γὰρ — προφαίνεσθαι habent codd. nonnulli Maximi Eclogarum, velut Barberinus I 158 9—10 D^C fol. 111r ἐκ τοῦ η΄ καὶ θ΄ τῆς νόμων ἱερῶν ἀλληγορίας D^R fol. 80v D^V p. 349: ὁ νοῦς ἑκάστω — ἀψευδέστατος

Σάρραν, Ἰσαὰκ Ῥεβέκκαν, Λείαν Ἰακώβ, ἀρετὰς καὶ τοὺς ἔχοντας. ἡ Χεβρὼν αὕτη, μνήμας ἐπιστήμης ⟨καὶ⟩ σοφίας θησαυροφυλακοῦσα, προτέρα καὶ Τάνεως καὶ πάσης ἐστὶν Αἰγύπτου. πρεσβυτέραν γὰρ ἡ φύσις ψυχὴν μὲν σώματος, Αἰγύπτου, ἀρετὴν δὲ κακίας, Τάνεως — ἐντολὴ γὰρ ἀποκρίσεως ἑρμηνεύεται Τάνις — εἰργάζετο, τὸ πρεσβύτερον ἀξιώματι
63 μᾶλλον ἢ χρόνου μήκει δοκιμάσασα. (18.) παρὸ καὶ τὸν Ἰσραὴλ νεώτερον ὄντα χρόνῳ πρωτόγονον υἱὸν (Exod. 4, 22) ἀξιώματι καλεῖ, διασυνιστὰς ὅτι ⟨ὁ⟩ τὸν θεὸν ὁρῶν, ἀρχεγονώτατον ὄν, τετίμηται, τοῦ ἀγενήτου γέννημα πρώτιστον, ἐκ τῆς παρὰ τοῖς θνητοῖς μισουμένης ἀρετῆς ἀποκυηθέν, ᾧ [ὁ] νόμος ἐστὶν ὡς πρεσβυτάτῳ διπλᾶ δίδοσθαι τὰ πρεσβεῖα (Deut. 21,17).
64 διὰ τοῦτο καὶ ἡ ἑβδόμη τάξει μὲν ἐπιγέννημά ἐστιν ἑξάδος, δυνάμει δὲ πρεσβυτάτη παντὸς ἀριθμοῦ, μηδὲν διαφέρουσα μονάδος. δηλώσει δὲ καὶ αὐτὸς ἐν τῷ τῆς κοσμοποιίας ἐπιλόγῳ φάσκων· „καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε· καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο
65 ὁ θεὸς ποιῆσαι“ (Gen. 2, 2. 3). εἶτ' ἐπιλέγει· „αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν“ (Gen. 2, 4). τῇ δὲ πρώτῃ ταῦτα γέγονεν, ὥστε τὴν ἑβδόμην εἰς μονάδα τὴν πρώτην καὶ ἀρχὴν τῶν ὅλων ἀναφέρεσθαι. ταῦτ' ἐμηκύναμεν ὑπὲρ τοῦ δεῖξαι τηλαυγέστερον τὴν δόξαν, ἣν ὁ Κάιν ὥσπερ τινὰ πόλιν οἴεται δεῖν κατασκευάζειν.
66 (19.) Υἱὸς δὲ τοῦ Ἐνὼχ λέγεται Γαϊδάδ (Gen. 4, 18), ὃ ἑρμηνεύεται ποίμνιον, σφόδρα ἀκολούθως· τὸν γὰρ τῷ νῷ χαριζόμενον τὰ πάντα τῷ μηδὲ τὴν αὐτοῦ φύσιν ἥτις ἐστὶ καταλαβεῖν δυναμένῳ γεννᾶν ἀλόγους ἥρμοττε δυνάμεις, ἀγειρομένας εἰς ποίμνιον· οὐ γὰρ λογικῶν
67 ἀνδρῶν τὸ δόγμα. ποίμνη δὲ πᾶσα τὸν ἐπιστάντα οὐκ ἔχουσα ποιμένα

---

2 αὐτὴ U καὶ add. Mang. 3 Τάνεως scripsi: τοῖς νεωστί U, τῆς Τάνεως Mang. πρεσβυτέραν scripsi: πρεσβυ τρ U, πρεσβυτέρας Mang. 4 Αἰγύπτου Tisch.: Αἰγυπτίου U 5 ἀποκρίσεως] an ταπεινώσεως? v. Testimonia 8 ὁ addidi τὸ τὸν θεὸν ὁρῶν Mang., τὸ θεὸν ὁρῶν coni. Cohn ὁρᾶν U ἀγεννήτου U 10 ὁ seclusi 12 πρεσβυτέρα coni. Mang. 14 τῇ ἑβδόμῃ U, τῇ om. v 25 αὐτοῦ U 26 ἀγειρομένας Mang.: ἐγειρομένας U λογίων Tisch.

---

4. 5 cf. *Onomastica p. 199,80* Τανίης ἐντολὴ ταπεινή *51,3* Tanis mandans humile *58,29* Tanis mandatum humile.

p. 238 M. μεγάλαις ἐξ ἀνάγκης κακοπραγίαις | χρῆται, ἅτ' οὐ δυναμένη δι' ἑαυτῆς ἀπωθεῖσθαι μὲν τὰ βλάπτοντα, αἱρεῖσθαι δὲ τὰ ὠφελήσοντα. παρὸ καὶ Μωυσῆς εὐχόμενός φησιν· „ἐπισκεψάσθω κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης, ὅστις ἐξελεύσεται πρὸ προσώπου αὐτῶν καὶ ὅστις εἰσελεύσεται, καὶ ὅστις ἐξάξει αὐτοὺς καὶ ὅστις εἰσάξει, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα οἷς οὐκ ἔστι ποιμήν“ (Num. 27, 16. 17). ὅταν 68
γὰρ ὁ προστάτης ἢ [ὁ] ἐπίτροπος ἢ πατὴρ ἢ ὅ τι φίλον καλεῖν τοῦ συγκρίματος ἡμῶν, ὁ ὀρθὸς λόγος, οἴχηται καταλιπὼν τὸ ἐν ἡμῖν ποίμνιον, ἀτημέλητον ἐαθὲν διόλλυται μὲν αὐτό, μεγάλη δὲ τῷ δεσπότῃ ζημία γίνεται· τὸ δ' ἄλογον καὶ ἀπροστασίαστον θρέμμα χηρεῦσαν ἀγελάρχου τοῦ νουθετήσοντός τε καὶ παιδεύσοντος μακρὰν λογικῆς καὶ ἀθανάτου ζωῆς ἀπῴκισται. (20.) διὸ τοῦ Γαϊδὰδ υἱὸς εἶναι λέγεται 69
Μαιήλ (Gen. 4, 18), οὗ τὸ ὄνομα μεταληφθέν ἐστιν ἀπὸ ζωῆς θεοῦ. ἐπεὶ γὰρ τὸ ποίμνιον ἄλογον, ὁ δὲ θεὸς πηγὴ λόγου, ἀνάγκη τὸν ἀλόγως βιοῦντα τῆς θεοῦ ζωῆς ἀπεσχοινίσθαι. τὸ μὲν οὖν κατὰ θεὸν ζῆν ἐν τῷ ἀγαπᾶν αὐτὸν ὁρίζεται Μωυσῆς· λέγει γὰρ ὅτι ἡ ζωή σου τὸ ἀγαπᾶν τὸν ὄντα (Deut. 30, 19. 20). τοῦ δ' ἐναντίου βίου παράδειγμα τίθεται 70
τὸν ἐπιτυχόντα τοῦ κλήρου τράγον· „στήσει γὰρ αὐτὸν“ φησί „ζῶντα ἐναντίον κυρίου τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥστε ἐξαποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν“ (Lev. 16, 10), ἄγαν ἐξητασμένως· ὡς γὰρ ἡδονῶν 71
ἀπεχομένους πρεσβύτας εὖ φρονῶν οὐκ ἄν τις ἀποδέξαιτο, ὅτι τὸ γῆρας, ἡ μακρὰ καὶ ἀνίατος νόσος, τοὺς τῶν ὀρέξεων ἐχάλασέ τε καὶ ἔλυσε τόνους, ἐπαίνου δ' ἂν ἀξιώσειε τοὺς ἡβῶντας, ὅτι φλεγούσης τῆς ἐπιθυμίας ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς ὅμως σβεστηρίων ὀργάνων τῶν κατὰ παιδείαν λόγων εὐπορήσαντες τὸν πολὺν φλογμὸν ἅμα καὶ βρασμὸν τῶν παθῶν ἐπεκούφισαν, οὕτως οἷς μὲν οὐδὲν νόσημα, οἷα ἐκ πονηρᾶς φιλεῖ διαίτης ἐπανίστασθαι, ἐλάττων ἔπαινος ἕπεται, ὅτι κατὰ

---

3 ἐχόμενος U 5 εἰσελεύσεται Mang.: ἐξελεύσεται U 8 προστάτης scripsi: πρὸς τὰς U, προστὰς Mang. ὁ seclusi 10 ἑαθὲν Mang.: ἐσθὲν U, vulgo a διόλλυται apodosin incipiunt αὐτό Mang.: ἑαυτή U 12 παιδεύσοντος Mang.: παιδεύσαντος U 14 Μεήλ U 19 ἐπιτυχόντα Mang.: ἀποτυχόντα U 25 σβεστηρίων in mg., βεστηρίων in textu U 26 ἅμα Tisch.: ἀλλὰ U

---

22 sq. *Clemens De divite servando § 8 p. 940 P:* ἐπεὶ καὶ τί μέγα ἢ ὑπέρλαμπρον γῆρας ἄγονον ἁμαρτημάτων; ἀλλ' εἴ τις ἐν σκιρτήματι νεοτησίῳ καὶ τῷ καύσωνι τῆς ἡλικίας ταρέχεται φρόνημα πεπανὸν καὶ πρεσβύτερον τοῦ χρόνου, θαυμαστὸς οὗτος ἀγωνιστής....

φύσεως εὐμοιρίαν ἀπροαιρέτως ἐχρήσαντο εὐτυχίᾳ, οἷς δ' ἐξεγερθὲν ἀντιστατεῖ, μείζων, εἰ δὴ διερεισάμενοι καθελεῖν αὐτὸ βουληθεῖέν τε καὶ
72 δυνηθεῖεν. τὰ γὰρ ἡδονῆς ὁλκοῦ δελέατα αὐστηρῷ τόνῳ καθελεῖν ἰσχῦσαι τὸν ἐφ' ἑκουσίοις ἔχει κατορθώμασιν ἔπαινον. ἐὰν οὖν τούτων εὐδαίμονα κλῆρον ἀπολαχόντα μηδέν, ζῇ δὲ ἐν ἡμῖν τὰ ἀποπομπαῖα νοσήματα καὶ ἀρρωστήματα, | σπουδάζωμεν αὐτὰ ἀνατρέπειν καὶ κατα- p. 239 M.
βάλλειν· τὸ γὰρ ἐξιλάσασθαι ἐπ' αὐτῶν τοιοῦτόν ἐστιν, ὁμολογῆσαι ὅτι ἔχοντες αὐτὰ ἐν ψυχῇ ζῶντα καὶ περιόντα οὐκ ἐνδίδομεν, ἀλλ' ἀντιβάντες ἅπασι καρτερῶς ἀπομαχόμεθα, μέχρις ἂν παντελῶς ἀποδιοπομπησώμεθα.
73 (21.) τί δ' ἕπεται τῷ μὴ κατὰ βούλημα τὸ τοῦ θεοῦ ζῶντι ἢ θάνατος ὁ ψυχῆς; οὗτος δὲ ὀνομάζεται Μαθουσάλα, ὃς ἑρμηνευθεὶς ἦν ἀποστολὴ θανάτου. διὸ τοῦ Μαιὴλ υἱός ἐστι (Gen. 4, 18), τοῦ τὸν ἴδιον βίον ἀπολελοιπότος, ᾧ τὸ ἀποθνῄσκειν ἐπιπέμπεται, ψυχῆς θάνατος, ἢ κατὰ
74 πάθος ἄλογόν ἐστιν αὐτῆς μεταβολή. τοῦτο μέντοι τὸ πάθος ὅταν κυοφορήσῃ, μετὰ χαλεπῶν ὠδίνων νοσήματα καὶ ἀρρωστήματα ἔτεκεν ἀνίατα, ὑφ' ὧν ἰλυσπωμένη ταπεινοῦται καὶ κάμπτεται· πιέζει γὰρ αὐτὴν ἕκαστον ἐπιφέρον ἄχθος ἀνήνυτον, ὡς μηδ' ἀνακῦψαι δύνασθαι. τοῦθ' ἅπαν ὠνόμασται Λάμεχ· ἑρμηνείαν γὰρ ἔχει ταπείνωσιν, ἵν' εἰκότως τοῦ Μαθουσάλα γένηται ὁ Λάμεχ υἱός (Gen. 4, 18), πάθους τοῦ περὶ ψυχὴν θανάτου ταπεινὸν καὶ ὑπεῖκον, ἀλόγου ὁρμῆς ἔκγονον ἀρρώστημα.
75 (22.) „Ἔλαβε δ' ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ Ἀδά, καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά" (Gen. 4, 19). πᾶν ὅ τι ἂν ἑαυτῷ λαμβάνῃ φαῦλος, πάντως ἐστὶν ἐπίληπτον, ἅτε γνώμῃ δυσκαθάρτῳ μιαινόμενον· καὶ γὰρ ἔμπαλιν αἱ τῶν σπουδαίων ἐκούσιοι πράξεις ἐπαινεταὶ πᾶσαι. διὸ νῦν μὲν ὁ Λάμεχ ἑαυτῷ γυναῖκας αἱρούμενος κακὰ μέγιστα αἱρεῖται, αὖθις ⟨δ'⟩ Ἀβραάμ, Ἰακώβ, Ἀαρὼν ἑαυτοῖς
76 λαμβάνοντες ἀγαθοῖς οἰκείοις συνέρχονται. λέγει ⟨γὰρ⟩ ἐπὶ μὲν τοῦ Ἀβραὰμ οὕτως· „καὶ ἔλαβον Ἀβραὰμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας· ὄνομα τῇ γυναικὶ Ἀβραὰμ Σάρρα" (Gen. 11, 29). ἐπὶ ⟨δὲ⟩ τοῦ Ἰακώβ·

---

1 ἀπροαιρέτῳ Mang. 2 δὴ Mang.: δὲ U 3 τὸ γὰρ Cohn ὁλκοῦ U: ἑλκούσης Tisch. δελέαστα U 4 ἑκουσίοις Mang.: ἑκουσίως U ἐὰν U (non ἔτ' ἄν) 4. 5 ἐὰν οὖν τοῦτον ⟨τὸν⟩ εὐδαίμονα κλῆρον ἀπολαβεῖν μὴ σθένωμεν vel ἐὰν οὖν τοῦ τῶν εὐδαιμόνων κλήρου ἀπολάχωμεν μέν conicio 10 βούλημα τὸ Mang.: βουλήματι U 11 ἐξαποστολὴ Mang., sed cf. Onomastica p. 195,4 12 Μεὴλ U 13 τὸ U: τῷ Tisch. ἢ U: ὃς coni. Mang. 14 πάθος ἄλογον Holwerda: πάθους ἄλογος U, πάθους ἀλόγου Mang. 17 μηδ' ἀνακῦψαι Mang.: μηδένα κύψαι U 19 πάθους U: πάθος Mang. 20 καὶ om. v 22 σέλλα U ἂν scripsi: ἐὰν U 26 δ' addidi 27 γὰρ addidi 28 ἔλαβεν U 29 δὲ add. Tisch.

„ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον Βαθουὴλ πατρὸς τῆς μητρός σου, καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν ἀδελφοῦ τῆς μητρός σου“ (Gen. 28, 2), ἐπὶ δὲ τοῦ Ἀαρών· „ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλισάβετ, θυγατέρα Ἀμιναδάμ, ἀδελφὴν Ναασσών, ἑαυτῷ γυναῖκα“ (Exod. 6, 23). Ἰσαὰκ δὲ καὶ |Μωυσῆς λαμβάνουσι 77
μέν, οὐ δι' ἑαυτῶν δὲ λαμβάνουσιν, ἀλλ' ὁ μὲν Ἰσαὰκ ὅτε εἰσῆλθεν εἰς τὸν οἶκον τῆς μητρὸς λαβεῖν λέγεται (Gen. 24, 67), Μωυσῆ δὲ ὁ ἄνθρωπος παρ' ᾧ κατῴκησε τὴν θυγατέρα Σεπφώραν ἐκδίδοται (Exod. 2, 21). (23.) τούτων δ' οὐ παρέργως αἱ διαφοραὶ παρὰ τῷ νομοθέτῃ 78
p. 240 M. | μεμήνυνται. τοῖς μὲν γὰρ ἀσκηταῖς προκόπτουσι καὶ βελτιουμένοις ἡ
11 ἑκούσιος αἵρεσις τἀγαθοῦ μαρτυρεῖται, ἵνα μηδ' ὁ πόνος ἀστεφάνωτος ἀφεθῇ· τοῖς δ' αὐτοδιδάκτου καὶ αὐτομαθοῦς σοφίας ἀξιωθεῖσιν ἔπεται τὸ μὴ δι' ἑαυτῶν παρὰ θεοῦ δ' ἐγγυᾶσθαι λόγον καὶ λαμβάνειν τὴν σοφῶν σύμβιον ἐπιστήμην. ὁ δὲ τῶν ἀνθρωπίνων ἀπορριφείς, ὁ ταπεινὸς 79
15 καὶ χαμαίζηλος Λάμεχ, προτέραν Ἀδὰ ἄγεται γυναῖκα, ἥτις ἑρμηνεύεται μαρτυρία, προξενήσας ἑαυτῷ αὐτὸς τὸν γάμον· οἴεται γὰρ τὴν κατὰ τὰς εὐθίκτους ἐπιβολὰς λείαν κίνησιν καὶ διέξοδον τοῦ νοῦ, μηδενὸς [τῶν] εἰς εὐμαρῆ κατάληψιν κωλυσιεργοῦντος, ἀγαθὸν εἶναι πρῶτον ἀνθρώπῳ. τί γὰρ ἂν εἴη, φησί, κρεῖττον τοῦ τὰς ἐννοίας, τὰς διανοήσεις, τὰς 80
20 εἰκασίας, τοὺς στοχασμούς, συνόλως τὰς βουλάς, τὸ λεγόμενον ἀρτίοις ποσὶ βαίνειν, ὡς ἐπὶ τὸ τέλος ἀπταίστως προσέρχεσθαι, μαρτυρουμένης ἐν ἅπασι ⟨τοῖς⟩ λεχθεῖσι διανοίας; ἐγὼ δ', εἰ μέν τις εὐθυβόλῳ καὶ εὐθίκτῳ γνώμῃ πρὸς μόνα χρῆται τὰ καλά, τοῦτον εὐδαίμονα γράφω διδασκάλῳ τῷ νόμῳ χρώμενος· καὶ γὰρ αὐτὸς ἄνδρα ἐπιτυγχάνοντα εἶπε
25 τὸν Ἰωσήφ, οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν οἷς ὁ θεὸς τὸ εὐοδεῖν ἐχαρίζετο (Gen. 39, 2)· δωρεαὶ δ' αἱ τοῦ θεοῦ καλαὶ πᾶσαι. εἰ δέ τις τῷ τῆς 81
φύσεως εὐστόχῳ καὶ εὐτρόχῳ μὴ πρὸς τὰ ἀστεῖα μόνον, ἀλλὰ καὶ πρὸς

---

1 ⟨τοῦ⟩ πατρὸς ex LXX Cohn 3 ⟨τοῦ⟩ ἀδελφοῦ ex LXX Cohn
4 ἔλαθε U 7 Μωυσῆ Cohn: Μωυσῆς U, Μωυσεῖ Mang. 8 σεμπωφώραν U 9 νομοθετῶν U 13 τὴν scripsi: τὸν U, τῶν Mang.
14 ἀποριφείς U, ⟨ἀπαρτηθείς, ὁ⟩ ἀπορριφείς coni. Holwerda 15 Ἀδὰν conicio 16 αὐτὸς ἑαυτῷ conicio 17 εὐθίκτους ἐπιβολὰς Mang.: εὐθήκτους ἐπιβουλὰς U τῶν seclusi, olim παρόντος addebam 18 κωλυσιεργοῦντος Tisch.: κωλυσιεργούντων U 21 προέρχεσθαι conicio 22 τοῖς addidi
23 εὐθήκτω U

---

17 cf. Epicurea p. 187, 32. 280, 1 21. 22 cf. Epicurea p. 181, 16. 186, 32

τὰ ἐναντία κέχρηται τὰ διάφορα ἐξαδιαφορῶν, κακοδαιμονιζέσθω. ἐν
γοῦν ἁρᾶς εἶδει λέγεται κατὰ τὸν τῆς συγχύσεως τόπον, ὅτι „οὐκ ἐκλείψει
ἐξ αὐτῶν πάνθ' ὅσα ἂν ἐπιθῶνται ποιεῖν" (Gen. 11, 6)· ὄντως γὰρ
ἀνήκεστός ἐστι συμφορὰ ψυχῆς εὐοδεῖν οἷς ἂν ἐπιθῆται, καὶ τὰ αἴσχιστα.
82 ἐγὼ δ' ἂν εὐξαίμην, εἴ ποτε διανοηθείην ἀδικεῖν, ἐπιλιπεῖν τἀδικεῖν, καὶ
εἴπερ ζῆν ἀνάνδρως, ἐπιλιπεῖν τὸ ἀκολασταίνειν, καὶ εἰ θρασέως μέντοι
καὶ πανούργως, ἔνδειαν θρασύτητος καὶ πανουργίας γενέσθαι παντελῆ·
εἰ μὴ καὶ τοῖς κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἐγνωκόσιν οὐκ
ἔστιν ἄμεινον ἐπιδεῖν τούτων ἕκαστον ἐκλελοιπὸς καὶ διεφθαρμένον.
83 (24.) τὴν οὖν Ἀδὰ παραίτησαι, διάνοια, τὴν μαρτυροῦσάν τε τοῖς
φαύλοις καὶ μαρτυρουμένην ἐν | ταῖς πρὸς ἕκαστα αὐτῶν ἐπιβολαῖς. εἰ p. 241 M.
δὲ κοινωνὸν αὐτὴν ἀξιώσεις ἔχειν, μέγιστον ἀποτέξεταί σοι κακόν, τὸν
Ἰωβήλ (Gen. 4,20), ὃς ἑρμηνεύεται μεταλλοιῶν· εἰ γὰρ τῇ μαρτυρίᾳ
χαίρεις ὧν ἂν τύχῃ, στρέφειν καὶ ἀνακυκλεῖν ἕκαστα βουλήσῃ, τοὺς
84 παγέντας ὑπὸ τῆς φύσεως τοῖς πράγμασιν ὅρους μετατιθείς. σφόδρα δὲ
καὶ Μωυσῆς ἀχθόμενος τοῖς τοιούτοις καταρᾶται λέγων· „ἐπικατάρατος
ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον" (Deut. 27,17). καλεῖ δὲ πλησίον καὶ
ἐγγὺς τἀγαθόν· οὐ γὰρ ἀναπτῆναι, φησίν, εἰς οὐρανὸν οὐδὲ πέραν θαλάσσης
ἀφικέσθαι δεῖ κατὰ ζήτησιν τοῦ καλοῦ· ἐγγὺς γὰρ καὶ πλησίον ἵστασθαι
85 ἑκάστῳ. καὶ τριχῇ γε αὐτὸ διαιρεῖ φυσικώτατα· „ἐν γὰρ τῷ στόματί
σου" φησίν „ἐστὶ καὶ ἐν τῇ καρδίᾳ καὶ ἐν ταῖς χερσί" (Deut.
30,11—14), τοῦτο δὴ ἐν λόγοις, ἐν βουλαῖς, ἐν πράξεσι· μέρη γὰρ τοῦ
ἀγαθοῦ ταῦτα, ἐξ ὧν πέφυκε πήγνυσθαι, ὡς ἥ γε ἑνὸς ἔνδεια οὐκ ἀτελὲς
86 μόνον ἀπεργάζεται τὸ πᾶν, ἀλλὰ καὶ συνόλως ἀναιρεῖ. τί γὰρ ὄφελος
λέγειν μὲν τὰ βέλτιστα, διανοεῖσθαι δὲ καὶ πράττειν τὰ αἴσχιστα; σοφιστῶν
οὗτος ὁ τρόπος· τοὺς γὰρ περὶ φρονήσεως καὶ καρτερίας ἀπομηκύνοντες

---

1 τὰ διάφορα ἐξαδιαφορῶν Mang.: εὐδιαφορᾷ (ἐν διαφορᾷ coni. Mang.) ἀδιάφορος ὢν U
κακοδαιμονῶν ἴστω coni. Mang. 4 ψυχῆς scripsi: ψυχὴ U, ψυχῇ Mang.
6 ἀναιδῶς coni. Diels 11 καὶ hab. U (non om., ut adnot. Tisch.) αὐτῶν U
(non αὐτοῦ, ut Mang. et Tisch. adnotant.) ἐπιβολαῖς Mang.: ἐπιβουλαῖς U
14 ἀνακυκλεῖν scripsi: ἀνακυλίειν U 16 Μωσῆς R λόγων U 17 πλησίου R
18 ἐγγὺς] εὐθὺς R ἀναπτῆναι R (coni. Mang.): ἂν ἀπεῖναι U, ἀπιέναι vel ἀναβῆναι
coni. Holwerda 20 γε] δὲ Holwerda αὐτὸ corr. ex αὐτῷ U 21 ἐστὶν U
22 τοῦτ' ἔστιν ἐν conicio 23 πήγνυσθαι] γίγνεσθαι coni. Mang., συνίστασθαι loco
parallelo I p. 614,40 M. ὡς ἥ γε Tisch.: ὡς εἴ γε ἡ U, ὡς εἴ γε εἴη R
25 σοφῶν R

15—19,10 R fol. 90v: σφόδρα δὲ καὶ Μωσῆς — ἐπάρατος ἔστι τε καὶ λέγεται.

λόγους τὰ ὦτα καὶ τῶν σφόδρα διψώντων ἀκοῆς ἀποκναίουσιν, ἐν δὲ ταῖς βουλαῖς καὶ ταῖς κατὰ τὸν βίον πράξεσιν εὑρίσκονται διαμαρτάνοντες. τί 87
δ' ὄφελος ἃ μὲν χρὴ διανοεῖσθαι, ἔργοις δὲ ἀτόποις καὶ λόγοις χρῆσθαι, διὰ μὲν τῶν λόγων τοὺς ἀκούοντας, διὰ δὲ τῶν ἔργων τοὺς ὑπομένοντας ζημιοῦντας; πράττειν γε μὴν τἄριστα οὐ σὺν διανοίᾳ καὶ λόγῳ πάλιν ὑπαίτιον· τὸ γὰρ ἄνευ τούτων τῆς ἀκουσίου μερίδος ὂν οὐδαμῇ οὐδαμῶς ἐπαινετόν. εἰ δέ τινι ἐξεγένετο καθάπερ λύραν ἁρμόσασθαι τοὺς τοῦ 88
ἀγαθοῦ πάντας ἦχους καὶ συνῳδὸν ἀποφῆναι λόγον μὲν διανοίᾳ, διάνοιαν δὲ ἔργῳ, τέλειος καὶ πρὸς ἀλήθειαν εὐάρμοστος ὁ τοιοῦτος ἂν νομίζοιτο· ὥσθ' ὁ μετατιθεὶς ὅρους τοῦ καλοῦ δικαίως ἐπάρατος ἔστι τε καὶ λέγεται.
(25.) τοὺς δ' ὅρους τούτους οὐχ ἡ καθ' ἡμᾶς γένεσις ἔστησεν, ἀλλ' οἱ πρὸ 89
ἡμῶν καὶ παντὸς τοῦ γεώδους πρεσβύτεροι λόγοι καὶ θεῖοι· καθὰ καὶ ὁ νόμος δεδήλωκεν ἐπισκήπτων ἡμῶν ἑκάστῳ μὴ κιβδηλεύειν τὸ ἀρετῆς νόμισμα ἐν τούτοις· „οὐ μετακινήσεις ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πατέρες σου“ (Deut. 19,14), καὶ ἐν ἑτέροις· „ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι· ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγένετο μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ,
p. 242 M. σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ“ (Deut. 32,7—9). | ἆρ' οὖν ἐὰν 90
πύθωμαι τοῦ γεννήσαντος καὶ θρέψαντός με πατρὸς ἢ τῶν ἐκείνου μὲν ἡλικιωτῶν, ἐμοῦ δὲ πρεσβυτέρων, ἢ διένειμεν ἔθνη ὁ θεὸς ἢ ἔσπειρεν ἢ ᾤκισεν, ἀποκρινοῦνταί μοι παγίως, ὥσπερ τῷ μερισμῷ παρηκολουθηκότες ἐκείνῳ; οὐ μὲν οὖν, ἀλλὰ φήσουσιν ὅτι καὶ ἡμεῖς ἐφ' ἡλικίας παρὰ τῶν γονέων καὶ ἔτι ἀρχαιοτέρων φιλοπευστήσαντες οὐδὲν σαφὲς ἀνεμάθομεν· οὐδὲν γὰρ εἶχον ὅ τι διδάξουσιν ἡμᾶς καὶ αὐτοὶ πάλιν ἄλλων ἀξιώσαντες γενέσθαι ἐπιστημόνων ἀνεπιστήμονες γνώριμοι. (26.) μήποτ' οὖν πατέρα 91
μὲν τῆς ψυχῆς ἡμῶν τὸν ὀρθὸν λόγον καλεῖ, πρεσβυτέρους δὲ τοὺς ἑταίρους αὐτοῦ καὶ φίλους. οὗτοι τῆς ἀρετῆς τοὺς ὅρους ἐπήξαντο πρῶτοι, πρὸς οὓς ἄξιον φοιτῆσαι μαθήσεως καὶ διδασκαλίας ἕνεκα τῶν ἀναγκαίων. τὰ δ' ἀναγκαῖα ταῦτα· ὁπότε ὁ θεὸς διένεμε καὶ διετείχιζε τὰ τῆς ψυχῆς ἔθνη τὰ ὁμόφωνα τῶν ἀλλογλώττων διιστὰς καὶ διοικίζων, τούς τε γῆς

---

3 δὲ prius R 5 λόγων U 7 λύραν UR: λύρας Mang. 10 ὥστ' U: ὥστε R 14 τοῦ] τῶν U 20 θρύψαντος U 21 ἢ scripsi: ἢ U, εἰ Tisch., ᾗ Otto ἔθνη Mang.: ἐθνῶν U ὁ fortasse delendum διέσπειρεν coni. Holwerda 22 ὤκησεν U, διῴκισεν coni. Mang. κερισμῶ U, ut vid. 23 ἐκείνῳ scripsi: ἑκάστῳ U, ἕκαστοι Holwerda 25 ὅ τι Mang.: οὔτι U 26 ἀνεπιστήμονες Mang.: ἀνεπιστήμονι U 28 αὐτοῦ Mang.: αὐτῶν U 31 τούς τε Cohn: τε τοὺς U, τε del. Tisch.

παῖδας ἔσπειρε καὶ ἐξετόξευσεν ἀφ' ἑαυτοῦ, οὓς Ἀδὰμ ὠνόμασεν υἱούς, τότε τῶν ἀρετῆς ἐχγόνων τοὺς ὅρους ἔστησεν ἰσαρίθμους ἀγγέλοις· ὅσοι
92 γὰρ θεοῦ λόγοι, τοσαῦτα ἀρετῆς ἔθνη τε καὶ εἴδη. τίνες ⟨δ'⟩ αἱ τῶν ἀγγέλων αὐτοῦ λήξεις καὶ τίς ἡ τοῦ παντάρχου καὶ ἡγεμόνος ἀποκεκληρωμένη μοῖρα; τῶν μὲν οὖν ὑπηρετῶν αἱ ἐν εἴδει ἀρεταί, τοῦ δὲ ἡγεμόνος τὸ ἐπίλεκτον γένος Ἰσραήλ· ὁ γὰρ ὁρῶν τὸν θεὸν ὑπὸ ἐκπρεπεστάτου
93 κάλλους ἀγόμενος τῷ ὁρωμένῳ προσκεκλήρωταί τε καὶ μεμέρισται. πῶς οὖν οὐκ ἐπιπληκτέος Ἰωβήλ, ὃς ἑλλάδι γλώττῃ μεταλλοιῶν καλεῖται τὰς φύσεις τῶν πραγμάτων ἢ μεταποιῶν; τὰ γὰρ φρονήσεως καὶ καρτερίας καὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς κάλλη θεοειδέστατα τύποις ἐναντίοις ἀφροσύνης, [καὶ] ἀκρασίας, ἀδικίας, ἁπάσης κακίας μετεχάραττεν ἀφανίζων
94 τὰ ἐνσημανθέντα πρότερον. (27.) αἰεὶ γὰρ ἐπιτεθειμέναι δεύτεραι σφραγῖδες τοὺς τῶν προτέρων τύπους διαφθείρουσιν. ὁ δέ γε νόμος τοσοῦτον δεῖ κακὰ ἀγαθῶν ἐπιτρέπειν ἀντικαταλλάττεσθαι, ὥστ' οὐδὲ καλὰ πονηρῶν ἐᾷ, πονηρὰ οὐ τὰ φαῦλα παραλαμβάνων — ἐπεὶ τοῦτό γε εὔηθες μὴ προΐεσθαι τὰ κακὰ ὑπὲρ κτήσεως τῶν | ἀμεινόνων —, ἀλλὰ τὰ καματηρὰ καὶ ἐπίπονα, p. 243 M.
95 ἅπερ Ἀττικοὶ τὴν πρώτην ὀξυτονοῦντες συλλαβὴν καλοῦσι πόνηρα. ἔστι δὲ τὸ διάταγμα τοιοῦτο· „πᾶν δ ἐὰν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον τῷ κυρίῳ. οὐκ ἀλλάξεις καλὸν πονηρῷ· ἐὰν δὲ ἀλλάξῃς, αὐτό τε καὶ τὸ ἄλλαγμα ἔσται ἅγια“ (Lev. 27,32—33). καίτοι πῶς τό γε πονηρὸν γένοιτ' ἂν ἅγιον; ἀλλ', ὅπερ ἔφην, τὸ ἐπίπονον ἀλλ' οὐ φαῦλον παρείληπται, ὥστε τοιοῦτον εἶναι τὸ δηλούμενον· τέλειον μὲν ἀγαθόν ἐστι τὸ καλόν, ἀτελὲς δὲ ὠφέλιμον πόνος. ἐὰν οὖν τὸ παντελὲς κτήσῃ, μηκέτι ζήτει τὸ ἐνδέον· εἰ δὲ προσυπερβάλλων ἐθελήσεις ἔτι πονεῖν, ἴσθ' ὅτι δόξεις μὲν ἑνὸς ἓν ἀντικαταλλάττεσθαι, κτήσῃ δὲ πρὸς ἀλήθειαν ἀμφότερα·
96 ἑκάτερον γὰρ εἰ καὶ ἰσότιμον, ἀλλ' οὐ τὸ πάντως ἅγιόν ἐστιν. (28.) ἅγιον δὲ πρᾶγμα δοκιμάζεται διὰ τριῶν μαρτύρων, ἀριθμοῦ μέσου, παιδείας, ἀριθμοῦ τελείου. διὸ λέγεται· „πᾶν δ ἐὰν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον“. τὸ μὲν γὰρ ἀπαξιωθὲν ἀριθμοῦ βέβηλον, οὐχ ἅγιον, τὸ δὲ καταριθμηθὲν ἅτε ἐγκεκριμένον ἤδη δόκιμον. τὸν γοῦν ὑπὸ Ἰωσὴφ

---

1 διέσπειρεν coni. Mang. 3 δ' add. Cohn 8 μεταλλοιῶν Mang.: μεταποιῶν U 9 ἢ secludit Holwerda 11 καὶ seclusit Cohn 12 ἐπιτιθέμεναι conicio 13 γε νόμος U (non γενόμενος, ut Mang. et Tisch. adnot.) τοσοῦτον δεῖ Tisch.: τοσούτων δεῖν U 14 ἐπιτρέπειν Tisch.: ἐπιτρέπει U 15 παραλάμβανε coni. Mang. προΐεσθαι Mang.: προείεσθαι U 21 ⟨τὸ⟩ φαῦλον conicio 23 δέ, ⟨ὅμως δὲ⟩ conicio 25 δόξης U ἑνὸς ἓν ἀντικαταλλάττεσθαι scripsi: ἑνὶ ἕνατι καταλλάττειν U, ἓν ἑνὶ καταλλάττειν Mang. 26 οὔτοι πάντως conicio 29 οὐκ U

ἐν Αἰγύπτῳ συναχθέντα σῖτόν φησιν ὁ νόμος μὴ δυνηθῆναι ἀριθμηθῆναι, καὶ ἐπιφέρει· „οὐ γὰρ ἦν ἀριθμός“ (Gen. 41,49), ἐπειδὴ τὰ τοῦ σώματος καὶ τῶν Αἰγυπτίων παθῶν θρεπτικὰ οὐκ ἄξια συνόλως ἀριθμεῖσθαι. ἡ 97
δὲ ῥάβδος παιδείας σύμβολον· ἄνευ γὰρ τοῦ δυσωπηθῆναι καὶ περὶ ἐνίων ἐπιπληχθῆναι νουθεσίαν ἐνδέξασθαι καὶ σωφρονισμὸν ἀμήχανον. δεκὰς δὲ τῆς κατὰ προκοπὴν τελειώσεως πίστις, ἀφ' ἧς ὅσιον ἀπάρχεσθαι τῷ τέξαντι, τῷ παιδεύσαντι, τῷ τὰ ἐλπισθέντα τελεσφορήσαντι. (29.) ταῦτα 98
ἀποχρώντως λελέχθω περὶ τοῦ μεταλλοιοῦντος καὶ τὸ ἀρχαῖον νόμισμα κιβδηλεύοντος, ὃν καὶ πατέρα ὀνομάζει κατοικούντων ἐν σκηναῖς κτηνοτρόφων (Gen. 4,20). κτήνη μὲν οὖν εἰσιν αἱ ἄλογοι αἰσθήσεις, κτηνοτρόφοι δ' οἱ φιλήδονοι καὶ φιλοπαθεῖς τροφὰς παρέχοντες αὐταῖς τὰ ἐκτὸς αἰσθητά, μακρὰν διεστηκότες ποιμένων. οἱ μὲν γὰρ ἀρχόντων τρόπον τὰ πλημμελῶς ζῶντα τῶν θρεμμάτων κολάζουσιν, οἱ δ' ἑστιατόρων τροφὰς
p. 244 M. ἀφθόνους | παρασκευάζοντες ἄδειαν ἁμαρτημάτων παρέχουσιν· ἀνάγκη γὰρ εὐθὺς τὴν ἀπληστίας καὶ κόρου θυγατέρα γεννᾶσθαι ὕβριν. πατὴρ οὖν 99
ἐστιν εἰκότως ⟨ὁ⟩ ἅπαντα μεταχαράττων καὶ μεταποιῶν τὰ καλὰ τῶν τὸ αἰσθητὸν καὶ ἄψυχον ἅπαν ἐζηλωκότων· εἰ γὰρ τὰς ἀσωμάτους ⟨καὶ⟩ νοητὰς φύσεις μετεδίωκε, τοὺς ὁρισθέντας ὑπὸ τῶν πρεσβυτέρων ὅρους ἐφύλαττεν ἄν, οὓς ὑπὲρ ἀρετῆς ὥρισαν ἕκαστον αὐτῆς εἶδος οἰκείῳ τύπῳ χαράξαντες.

(30.) Τοῦ δ' Ἰωβὴλ ἀδελφὸν εἶναί φησι τὸν Ἰουβάλ (Gen. 4,21). 100
ἑρμηνεύεται δὲ καὶ οὗτος μετακλίνων διὰ συμβόλου, ὁ κατὰ προφορὰν λόγος· φύσει γὰρ οὗτος διανοίας ἀδελφός ἐστι. τὸν δὲ τοῦ μεταποιοῦντος νοῦ τὰ πράγματα λόγον μετακλίνοντα σφόδρα δεόντως ὠνόμασε· συμβαίνει γὰρ τρόπον τινὰ καὶ ἐπαμφοτερίζειν καθάπερ ἐπὶ πλάστιγγος ἀντιρρέπον ἢ ὥσπερ θαλαττεῦον σκάφος ὑπὸ πολλοῦ κλύδωνος πρὸς ἑκάτερον τοῖχον ἀποκλῖνον· βέβαιον γὰρ ἢ σταθηρὸν οὐδὲν ὁ ἄφρων λέγειν ἔμαθε. Μωυσῆς δὲ οὔτ' εἰς δεξιὰ οὔτ' εἰς ἀριστερὰ οὐδ' ὅλως εἰς μέρη τοῦ 101

---

4 ἐνίων] ὧν DRDP 7 τέξαντι Mang.: τάξαντι U 8 ἀποχρόντως U 12 ποιμένων Mang.: ποιμνίων U 15 ἀπληστίας U (non ἀπληστίαν) 16 ὁ addidi 17 ἀψύχων U καὶ add. Tisch. 18 ὑπὸ Mang.: ὑπὲρ U 21 φησι Mang.: φασι U Ἰουβάλ scripsi: Ἰωβάλ U 25 τινὰ ⟨ταλαντεύειν⟩ καὶ conicio ἐπαμφοτερίζειν Tisch.: ἐπαμφοτερίζει U ἀντιρρέποντα conicio, ἀντιρρέπον τι Cohn 27 σταθερὸν conicio 28 οὐδὲ R

3—5 DK fol. 129r Φίλωνος ἐκ τῶν η' καὶ θ' τῆς νόμων ἱερῶν ἀλληγορίας DP fol. 116 Κλήμεντος στρωματέων α' DR fol. 136v Κλήμεντος DV p. 435 (Φίλωνος): παιδείας σύμβολον ἡ ῥάβδος· ἄνευ — ἀμήχανον 28 — p. 22,12. 13 R fol. 91r: Μωυσῆς δὲ οὔτ' εἰς δεξιὰ — δεξιὰ οὐδὲ ἀριστερά.

γηίνου Ἐδὼμ ἀποκλίνειν οἴεται δεῖν, τῇ δὲ μέσῃ ὁδῷ παρέρχεσθαι, ἣν κυριώτατα καλεῖ βασιλικήν (Num. 20,17). ἐπειδὴ γὰρ πρῶτος καὶ μόνος τῶν ὅλων βασιλεὺς ὁ θεός ἐστι, καὶ ἡ πρὸς αὐτὸν ἄγουσα ὁδὸς ἅτε βασιλέως οὖσα εἰκότως ὠνόμασται βασιλική. ταύτην δ' ἡγοῦ φιλοσοφίαν, οὐχ ἣν μέτεισιν ὁ νῦν ἀνθρώπων σοφιστικὸς ὅμιλος — λόγων γὰρ οὗτοι τέχνας μελετήσαντες κατὰ τῆς ἀληθείας τὴν πανουργίαν σοφίαν ἐκάλεσαν ἔργῳ μοχθηρῷ θεῖον ἐπιφημίσαντες ὄνομα —, ἀλλ' ἣν ὁ ἀρχαῖος ἀσκητῶν θίασος διήθλει, τὰς τιθασοὺς τῆς ἡδονῆς γοητείας ἀποστρεφό-
102 μενος, ἀστείως καὶ αὐστηρῶς χρώμενος τῇ τοῦ καλοῦ μελέτῃ. τὴν βασιλικὴν γοῦν ταύτην ὁδόν, ἣν ἀληθῆ καὶ γνήσιον ἔφαμεν εἶναι φιλοσοφίαν, ὁ νόμος καλεῖ θεοῦ ῥῆμα καὶ λόγον. γέγραπται γάρ· „οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος οὗ ἐγὼ ἐντέλλομαί σοι σήμερον δεξιὰ οὐδὲ ἀριστερά“ (Deut. 28,14)· ὥστε ἐμφανῶς ἐπιδεδεῖχθαι ὅτι ταὐτόν ἐστι τῇ βασιλικῇ ὁδῷ τὸ θεοῦ ῥῆμα, εἴγε προτρέπει μήτ' ἀπὸ τῆς βασιλικῆς ὁδοῦ μήτ' ἀπὸ τοῦ ῥήματος, ὡς συνωνύμων ὄντων, ἀποκλίνοντας ὀρθῇ διανοίᾳ τὴν ἐπ' εὐθείας ἄγουσαν ἀτραπὸν μέσην τε καὶ λεωφόρον βαδίζειν.

103 (31.) „Ὁ δὲ Ἰουβὰλ οὗτος“ φησίν „ἐστὶ πατὴρ ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν“ (Gen. 4,21). πατέρα μουσικῆς καὶ τῶν κατὰ μουσικὴν πάντων ὀργάνων τὸν γεγωνὸν λόγον προσφυέστατα καλεῖ· τὸ γὰρ φωνητήριον ὄργανον ζῴοις ἡ φύσις πρῶτον καὶ τελειότατον ἐργασαμένη πάσας αὐτῷ τὰς ἁρμονίας καὶ τὰ γένη τῶν μελῳδιῶν εὐθὺς ἐχαρίζετο, ἵν' ᾖ τοῖς ἐκ τέχνης μέλλουσι δημιουργεῖσθαι προειργασμένον
104 παράδειγμα. [καὶ] καθάπερ γὰρ τὸ οὖς ἡμῶν κύκλους ἐν κύκλοις, ἐλάττους ἐν μείζοσι, γράφουσα σφαιρικὸν ἐτόρνευε τοῦ τὴν προσιοῦσαν φωνὴν μὴ χεομένην ἔξω σκεδάννυσθαι, εἴσω δ' ὑπὸ τῶν κύκλων συναγομένην καὶ σφιγγομένην οἷα διαχεομένην τὴν ἀκοὴν εἰς τὰς τοῦ

p. 245 M.

---

1 ἔδων U, ἐδὼν R παρέρχεσθαι Mang.: περιέρχεσθαι U, προέρχεσθαι R

2 κυριω$^{\tau}$ U 4 δὲ R 8 τιθασσοὺς UR, πιθανοὺς Mang. 9 ἀστείως καὶ αὐστηρῶς scripsi: ἀστείω καὶ αὐστηρῶ UR 10 γοῦν R: om. U 12 ἐκκλινεῖς Mang.: ἐκκλίνης UR 15 συννό$^{\mu}$$^{\omega\nu}$ U 16 εὐθείας U: εὐθεῖαν v 18 Ἰουβὰλ scripsi: Ἰωβὰλ U 21 ζῴοις Mang.: ζωρὶς U 24 καὶ seclusit Cohn, καὶ ⟨ἀρχέτυπον⟩ coni. Holwerda 26 χεομένην U (non χεομένου) τῶν κύκλων scripsi: τὸν κύκλον U 27 διαχεομένην τὴν ἀκοὴν scripsi: διαχεομένης τῆς ἀκοῆς U

---

19. 20 R fol. 90v Φίλωνος: πατέρα μουσικῆς — καλεῖ.

ἡγεμονικοῦ δεξαμενὰς ἐπαντλεῖσθαι — καὶ τοῦτ' εὐθὺς ἦν παράδειγμα θεάτρων τῶν κατὰ πόλεις εὐδαίμονας· πρὸς ⟨γὰρ⟩ τὸ ὠτων σχῆμα ἄκρως ἡ θεάτρων κατασκευὴ μεμίμηται —, οὕτως καὶ τὴν τραχεῖαν ἀρτηρίαν ἡ τὰ ζῷα φύσις διαπλάσασα ὥσπερ μουσικὸν κανόνα τείνασα τὰ ἐναρμόνια καὶ χρωματικὰ καὶ διατονικὰ γένη συνυφαίνουσα κατὰ τὰς τῶν συνημμένων καὶ διεζευγμένων μελῳδιῶν παμπληθεῖς ποικιλίας παντὸς ὀργάνου μουσικοῦ παράδειγμα ἱδρύετο. (32.) ὅσα γοῦν αὐλοὶ καὶ λύραι καὶ τὰ 105
παραπλήσια μελῳδοῦσι, τῆς ἀηδόνων ἢ κύκνων μουσικῆς τοσοῦτον ἀπολείπεται, ὅσον ἀπεικόνισμα καὶ μίμημα ἀρχετύπου παραδείγματος, φθαρτὸν εἶδος ἀφθάρτου γένους. τὴν μὲν γὰρ ἀνθρώπων μουσικὴν οὐδενὶ τῶν ἄλλων συγκρίνειν ἄξιον ἔχουσαν γέρας ἐξαίρετον, ᾧ τετίμηται, τὴν ἔναρθρον σαφήνειαν. τὰ μὲν γὰρ ἄλλα τῇ περὶ τὴν φωνὴν κλάσει 106
χρώμενα καὶ ταῖς ἐπαλλήλοις τῶν τόνων μεταβολαῖς ἀκοὰς αὐτὸ μόνον ἡδύνει, ὁ δ' ἄνθρωπος, ὥσπερ πρὸς τὸ λέγειν, οὕτως καὶ πρὸς τὸ ᾄδειν ἁρθρωθεὶς ὑπὸ φύσεως ἑκάτερον, ἀκοήν τε καὶ νοῦν, ἐπάγεται, τὴν μὲν τῷ μέλει κηλῶν, τὸν δὲ τοῖς νοήμασιν ἐπιστρέφων. καθάπερ γὰρ 107
ὄργανον ἀμούσῳ μὲν παραδοθὲν ἀνάρμοστον, μουσικῷ δὲ κατὰ τὴν ἐν αὐτῷ τέχνην εὐάρμοστον γίνεται, τὸν αὐτὸν τρόπον καὶ ὁ λόγος ὑπὸ μὲν φαύλου νοῦ κινούμενος ἀνάρμοστος, ὑπὸ δὲ σπουδαίου πάνυ ἐμμελὴς εὑρίσκεται. λύρα γε μὴν ἢ εἴ τι τῶν ὁμοίων, εἰ μὴ πληχθείη πρός 108
p. 246 M. τινος, ἠρεμεῖ· λόγος τε αὖ | μὴ πληχθεὶς ὑφ' ἡγεμονικοῦ κατὰ τἀναγκαῖον ἡσυχίαν ἄγει. καὶ μὴν ὥσπερ ὄργανα κατὰ τὰς τοῦ μέλους ἀπείρους ὅσας κράσεις μεθαρμόττεται, οὕτως καὶ ὁ λόγος συνῳδός τις ἑρμηνεὺς πραγμάτων γινόμενος ἀμυθήτους λαμβάνει μεταβολάς. τίς γὰρ ἂν 109
ὁμοίως γονεῦσι καὶ τέκνοις διαλεχθείη, τῶν μὲν φύσει δοῦλος, τῶν δὲ γένει δεσπότης ὤν; τίς δ' ἂν ἀδελφοῖς καὶ ἀνεψιοῖς ἢ συνόλως τοῖς ἐγγὺς γένους καὶ μακρὰν οὖσιν; τίς δ' ἂν οἰκείοις καὶ ἀλλοτρίοις, ἢ

---

2 γὰρ add. Mang., ἐπεὶ τὸ conicio 4 φύσις Mang.: φωνῆ U διπλάσασα U 5 χρωματικὰ scripsi: χρωματιστικὰ U διατονικὰ Mang.: διὰ τὸν· κὰ U 7 ὅσα (vel ἴσως) Mang.: ὅσως U, ὅλως coni. Holwerda 8 μελῳδοῦσι U: μελῳδίας ὄργανα Mang. 9 ἀπολείπεται scripsi: ἀπολείπονται U 10 φθαρτὸν Mang.: ἄφθαρτον U γένους Mang.: γένος U 11 ᾧ Mang.: ὡς U 12 κλάσει scripsi: κλάσιν U, κράσει Mang. 13 ταῖς Cohn: τῇ U ἐπαλλήλοις U· ἐπαλλήλῳ Mang. μεταβολαῖς Cohn: μεταβολῇ U 16 κηδῶν an κηλῶν habeat U, incertum 19 ἐμμελὴς scripsi: εὐμελὴς U 20 εἴ secludit Cohn 21 πλεχθεὶς U τάγκαῖον U 23 τις scripsi: ἐστιν U, ἐστι καὶ Mang. 25 τέκνοις Mang.: τέχναις U 26 γενέσει conicio καὶ Cohn: ἢ U

πολίταις καὶ ξένοις, οὐ μικρὰς οὐδὲ * * * τύχης ἢ φύσεως ἢ ἡλικίας ἔχουσι διαφοράς; πρεσβύτῃ γὰρ ἑτέρως ὁμιλητέον καὶ νέῳ, καὶ πάλιν ἐνδόξῳ καὶ ταπεινῷ, καὶ πλουσίῳ καὶ πένητι, καὶ ἄρχοντι καὶ ἰδιώτῃ, καὶ θεράποντι
110 καὶ δεσπότῃ, γυναικί τε αὖ καὶ ἀνδρί, καὶ ἀτέχνῳ καὶ τεχνίτῃ. καὶ τί δεῖ τὰς τῶν προσώπων ἀμυθήτους ἰδέας καταλέγεσθαι, πρὸς ἃς ὁ λόγος τρεπόμενος ἄλλοτε ἀλλοῖα λαμβάνει σχήματα; καὶ γὰρ αἱ τῶν πραγμάτων ἰδιότητες τυποῦσιν αὐτὸν κατὰ τοὺς ἰδίους χαρακτῆρας· μεγάλα γὰρ καὶ μικρὰ ἢ πολλὰ καὶ ὀλίγα ἢ ἰδιωτικὰ καὶ δημόσια ἢ ἱερὰ καὶ βέβηλα ἢ ἀρχαῖα καὶ νέα οὐ τὸν αὐτὸν ἂν ἑρμηνεύσαι τρόπον, ἀλλὰ τὸν ἑκάστοις ἐφαρμόζοντα τῷ πλήθει καὶ ἀξιώματι καὶ μεγέθει, τοτὲ μὲν ὑψηλὸν
111 αἴρων ἑαυτόν, τοτὲ δ' ἔμπαλιν συνάγων τε καὶ συστέλλων. παρέχουσι δ' ὥσπερ τὰ πράγματα καὶ τὰ πρόσωπα τῷ λόγῳ μεταβολάς, οὕτως καὶ αἱ τῶν γινομένων αἰτίαι καὶ οἱ τρόποι καθ' οὓς γίνεται, προσέτι μέντοι καὶ τὰ ὧν οὐκ ἄνευ πάντα, χρόνοι καὶ τόποι. παγκάλως οὖν ὁ μετακλίνων λόγους Ἰουβὰλ πατὴρ εἴρηται ψαλτηρίου καὶ κιθάρας, ἀπὸ μέρους τῆς ὅλης μουσικῆς, ὡς ἐπιδέδεικται.

112 (33.) Τὰ μὲν οὖν τῆς Ἀδᾶς ἔγγονα καὶ αὐτὴ τίς ἐστι δεδήλωται· τὴν δ' ἑτέραν γυναῖκα τοῦ Λάμεχ Σελλὰν καὶ ὅσα ἀποκύει θεασώμεθα. Σελλὰ τοίνυν ἑρμηνεύεται σκιά, τῶν περὶ σῶμα καὶ ἐκτὸς ἀγαθῶν, ἃ τῷ ὄντι σκιᾶς οὐδὲν διαφέρει, σύμβολον. ἢ κάλλος οὐχὶ σκιά, ὃ πρὸς βραχὺν ἀνθῆσαν χρόνον ἀφαυαίνεται, ἰσχὺς δὲ καὶ εὐτονία σώματος, ἃς ἡ τυχοῦσα νόσος ἐξέλυσεν, αἰσθητήρια δὲ καὶ ἡ περὶ ταῦτα ἀκρίβεια, ἣν ῥεῦμα δυσῶδες ἐνέφραξεν ἢ γῆρας, ἡ ἀναγκαία καὶ κοινὴ πάντων νόσος, ἐπήρωσεν; ἔτι δ' οὐχὶ πλοῦτοι καὶ δόξαι καὶ ἀρχαὶ καὶ τιμαὶ
113 καὶ ὅσα τῶν ἐκτὸς ἀγαθὰ νενόμισται | σκιὰ πάντα; χρὴ δὲ τὴν διάνοιαν p. 247 M.
ὡς δι' ἀναβαθμῶν ἐπὶ τὴν τοῦ παντὸς ἐπάγειν ἀρχήν. εἰς Δελφοὺς 26
γεγόνασιν ἄνθρωποι τῶν λεγομένων ἐνδόξων, οἳ τοὺς εὐδαίμονας βίους

---

1 οὐδὲ U: ἢ Mang., εἴτε Tisch. post οὐδὲ lacunam statuo (οὐδὲ ⟨τυχούσας⟩ τύχης?), οὐδὲ τὰς τυχούσας ἢ coni. Holwerda 5 καταλέγεσθαι Tisch.: κατάγεσθαι U 7. 8 καὶ μικρὰ Mang.: ἢ μικρὰ U 9 ἑρμηνεύσαι scripsi: ἑρμηνεῦσαι U, ἑρμηνεύσαις Tisch., ἑρμηνεύσειε Holwerda ἑκάστων conicio 11 συστέλλων Mang.: διαστέλλων U 14 ὧν οὐκ ἄνευ πάντα U: ὧν ⟨ἄνευ⟩ οὐκ ἂν ἅπαντα Mang. 17 Ἀδας U ἔκγονα conicio αὕτη U 18 ἀποκυεῖ conicio θεασόμεθα Holwerda 19 Σέλλαν et Σέλλα U 21 ἀθῆσαν U 21. 22 bis τε pro δὲ conicio 23 ἢν Mang.: ἢ U 24 ἔτι Mang.: ὅτι U, τί Holwerda 25 ὅσως U 26 ὡς Tisch.: ὅπως U ἀναβασμῶν U

---

2. 3 R fol. 91v: πρεσβύτῃ γὰρ ἑτέρως — καὶ πένητι.

ἐκεῖσε ἀνατεθείκασι. καθάπερ οὖν ἐξίτηλοι γραφαί, οὐ χρόνου μήκει μόνον [οὐ] διερρύησαν, ἀλλὰ καὶ καιρῶν ὀξείαις μεταβολαῖς ἐκπεπνεύκασιν, εἰσὶ δ' οὓς οἷα χειμάρρου φορὰ πλημμύροντος ἐξαίφνης ἐπικλύσασα ἠφάνισεν. ἐκ ταύτης τῆς σκιᾶς καὶ τῶν ἀβεβαίων ὀνειράτων 114
ἀποκυεῖται υἱωνός, ὃν ὠνόμασεν Θοβέλ (Gen. 4,22)· ἑρμηνεύεται δὲ σύμπασα. τῷ γὰρ ὄντι οἱ τὸ παρὰ πολλοῖς ᾀδόμενον ἀγαθὸν σύνθετον πλουθυγείαν κτησάμενοι μικρὰ καὶ μεγάλα καὶ πάνθ' ἁπλῶς ἀνῆφθαι δοκοῦσιν. εἰ δὲ καὶ παραγένοιτό τις αὐτεξούσιος ἡγεμονία, φυσηθέντες 115
καὶ μετεωρισθέντες ὑπὸ κούφης ἐννοίας, ἐκλαθόμενοι ἑαυτῶν καὶ ὕλης φθαρτῆς ἐξ ἧς γεγόνασι, μείζονος ἢ κατ' ἀνθρωπίνην σύστασιν οἰηθέντες φύσεως ἐπιλαχεῖν ταῖς τιμαῖς αὐτοὺς ὑπὸ μεγαλαυχίας ἀποσεμνύναντες ἐξεθείωσαν. ἤδη γοῦν τινες ἐπετόλμησαν τὸν ἀληθῆ θεὸν φάναι μὴ εἰδέναι (Exod. 5,2), τῆς περὶ αὐτοὺς ἀνθρωπότητος ἐκλαθόμενοι, διὰ τὴν τῶν περὶ σῶμα καὶ ἐκτὸς ἀμετρίαν ἀφθόνως * * * οὓς ἕκαστος χαρακτη-
ρίζων. (34.) εἶτά φησιν ὅτι „οὗτος ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ 116
σιδήρου“ (Gen. 4,22). τοῦ γὰρ σεσοβημένου περὶ τὰς ἢ σωματικὰς ἡδονὰς [ἢ τὰς ἡδονὰς] ἢ τὰς ἐκτὸς ὕλας ἡ ψυχὴ καθάπερ ἐπ' ἄκμονος σφυρηλατεῖται κατὰ τὰς τῶν ἐπιθυμιῶν μακρὰς καὶ διωλυγίους ἐκτάσεις ἐλαυνομένη. τοὺς μέν γε φιλοσωμάτους ἴδοις ἂν ἀεὶ καὶ πανταχοῦ λίνα καὶ πάγας πρὸς τῶν ὧν ὀρέγονται θήραν τιθέντας, τοὺς δ' αὖ φιλαργύρους καὶ φιλοδόξους τὸν περὶ ταῦτα οἶστρον καὶ ἵμερον ἐπὶ τὰ πέρατα γῆς καὶ θαλάττης ἀποστέλλοντας καὶ ὥσπερ δικτύοις ταῖς ἀορίστοις αὐτῶν ὀρέξεσιν ἐπισπωμένους τὰ πανταχόθεν, μέχρις ἂν ὑπὸ βίας ἡ σφοδρὰ τάσις ῥῆξιν λαβοῦσα καὶ τοὺς ἕλκοντας ἀντεπισπωμένη πρηνεῖς καταβάλλῃ.
δημιουργοὶ δ' εἰσὶ πάντες οὗτοι πολέμου, παρὸ σίδηρον καὶ χαλκὸν 117

---

2 οὐ del. Mang. 3 πλημμυροῦντος conicio 5 Θοβέλ Mang.: Ἰωβέλ U 6 τῷ γὰρ ὄντι οἱ τὸ UR (non τῷ γὰρ ὄντι ὄντος) παρὰ U: παράπαν R 7 κτησάμενοι Tisch.: στησάμενοι UR 11 αὐτούς U αὐτοσεμνύναντες U 12 ἀπετόλμησαν Tisch. ἀληθῆ scripsi (ἀλη U): ἀληθῶς Mang. 14 ⟨τῶν⟩ ἐκτὸς conicio ἄφθονον conicio, sequentia corrupta sunt, sensus inest: ⟨κατὰ θεὸν ἑαυτ⟩οὺς vel ⟨ἑαυτ⟩οὺς ἕκαστος ἀθανατίζων 17 ἢ τὰς ἡδονὰς seclusit Tisch. (om. Mang.) 18 ἐκτάσεις Mang.: ἐκστάσεις U 19 γε] γὰρ conicio 20 τῶν] τὴν Otto 22 ἀορίστοις scripsi: ἀορίσταις U, ἀκορέστοις coni. Mang. αὐτῶν U 23 ἐπισπωμένους U (non ἐπισπασμένους) πανταχόθεν ⟨ἀγαθά⟩ coni. Jessen μέχρι U 24 ἀντεπισπωμένη U, ut vid. (non ἀντεπισπασμένη)

---

6. 8 R fol. 91v τῷ γὰρ — δοκοῦσιν.

ἐργάζεσθαι λέγονται, δι' ὧν οἱ πόλεμοι | συνίστανται. τὰς μὲν γὰρ p. 248 M.
μεγίστας καὶ ἀνδρῶν ἰδίᾳ καὶ πόλεων κοινῇ διαφορὰς εὕροι τις ἂν
σκοπῶν καὶ πάλαι γεγενημένας καὶ νῦν ὑπαρχούσας καὶ ἐσομένας αὖθις
ἢ εὐμορφίας γυναικὸς εἵνεκα ἢ χρημάτων ἢ δόξης ἢ τιμῆς ἢ ἀρχῆς ἢ
κτήσεως ἢ συνόλως ὅσα σώματος καὶ τῶν ἐκτός ἐστι πλεονεκτήματα·
118 παιδείας δὲ καὶ ἀρετῆς χάριν, ἃ τοῦ κρατίστου τῶν ἐν ἡμῖν ἀγαθὰ
διανοίας ἐστίν, οὔτε ξενικὸς οὔτ' ἐμφύλιος πώποτε κατέσχε πόλεμος·
εἰρηναῖα γὰρ φύσει ταῦτα, ἐφ' ὧν εὐνομία καὶ εὐστάθεια καὶ ὅσα
περικαλλέστατα εἴδη τοῖς ψυχῆς ὀξυδερκεστάτοις ὄμμασιν, οὐχὶ τοῖς
σώματος ἀμυδροῖς, θεωρεῖται· ταῦτα μὲν γὰρ τὰς ἐκτὸς ἐπιφανείας
μόνον ὁρᾷ, ὁ δὲ τῆς διανοίας ὀφθαλμὸς εἴσω προελθὼν καὶ βαθύνας
119 τὰ ἐν αὐτοῖς σπλάγχνοις ἐγκεκρυμμένα κατεῖδε. γίνονται δ' αἱ ταραχαὶ
ἢ αἱ στάσεις πᾶσαι τοῖς ἀνθρώποις ἀεὶ σχεδὸν περὶ μὲν οὐδενὸς ἄλλου,
περὶ δὲ τῆς πρὸς ἀλήθειαν σκιᾶς. τὸν γὰρ δημιουργὸν τῶν πολεμιστηρίων
ὅπλων, χαλκοῦ καὶ σιδήρου, Θοβὲλ υἱὸν Σελλᾶς τῆς σκιᾶς ὠνόμασεν, οὐ
λόγων τέχναις, ἀλλὰ νοημάτων ὑπερβάλλοντι κάλλει φιλοσοφῶν. ἔγνω
γὰρ ὅτι πᾶς ἢ ναυτικὸς ἢ πεζὸς στρατὸς τοὺς μεγίστους αἱρεῖται
κινδύνους ἕνεκα σωματικῶν ἡδονῶν ἢ χάριν περιουσίας τῶν ἐκτός, ὧν
οὐδὲν βέβαιον ἢ πάγιον ὑπὸ τοῦ πάντα ἐξελέγχοντος αἰῶνος μαρτυρεῖται·
120 σκιαγραφίαις γὰρ ἐπιπολαίοις ἐξ ἑαυτῶν διαρρεούσαις ἔοικε. (35.) τοῦ
δὲ Θοβὲλ ἀδελφὴν εἶναί φησι Νοεμάν (Gen. 4,22), ἧς ἑρμηνεία πιότης·
ἀκολουθεῖ γὰρ τοῖς εὐπάθειαν σώματος καὶ ἃς εἶπον ὕλας μεταδιώκουσιν,
ὅταν τινὸς ὧν ὀρέγονται λάχωσι, πιαίνεσθαι. τὴν δὲ τοιαύτην πιότητα
οὐκ ἰσχύν, ἀλλ' ἀσθένειαν ἔγωγε τίθεμαι· διδάσκει γὰρ ἀφίστασθαι θεοῦ
121 τιμῆς, ἣ πρώτη καὶ ἀρίστη ψυχῆς ἐστι δύναμις. μάρτυς δ' ὁ νόμος
ἐν ᾠδῇ μείζονι λέγων οὕτως· „ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ
ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτόν, καὶ ἐπελάθετο θεοῦ σωτῆρος
αὐτοῦ“ (Deut. 32,15). ὄντως γὰρ οὐκέτι μέμνηνται τοῦ αἰωνίου, οἷς

---

3 σκοπῶν Mang.: σκοποῦ U 5 κτίσεως U ⟨τῶν⟩ ὅσα conicio
7 κατέστη coni. Mang. 9 τοῖς U (non τῆς) 10 τὰς Tisch.: τὰ U
11 προσελθὼν coni. Mang. ἐμβαθύνας coni. Mang. 12 σπλάγχνοις
U, ut vid. (non σπλάγχνα) 13. 14 ἄλλου, περὶ δὲ Mang.: ἄλλα· περὶ δὲ U, ἀλλ'
ἢ περί γε Tisch. 16 ἀλλὰ νοημάτων scripsi: ἀλλ' ὀνομάτων U φιλοσό-
φων U 19 οὐδὲ U διῶνος U 20 διαρεούλαις U 22 καὶ τὰς
ἐκτὸς ὕλας conicio 23 τινὸς U: τι Tisch. λάχωσι scripsi: λάβωσι U
ποιότητα U 25 ψυχῆς Mang.: ψυχή U (non ψυχῆς, ut Tisch. adnot.)
26 ᾠδὴ U 27 ἐπελάθετο Mang.: ἐπελάθου U 28 μέμνηνται Tisch.:
μέμνηται U

πρὸς καιρὸν ὁ βίος ἤνθησε· νομίζουσι γοῦν τὸν καιρὸν θεόν. διὸ καὶ 122
Μωυσῆς μαρτυρεῖ προτρέπων πολεμεῖν ταῖς ἐναντίαις δόξαις· λέγει
γάρ· „ἀφέστηκεν ὁ καιρὸς ἀπ' αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν“ (Num. 14,9)·
p. 249 M. ὥσθ' | οἷς μὲν ὁ ψυχῆς βίος τετίμηται, λόγος θεῖος ἐνοικεῖ καὶ
ἐμπεριπατεῖ, οἷς δ' ὁ τῶν ἡδονῶν, ἐφήμερον καὶ κατεψευσμένην ἔχουσιν
εὐκαιρίαν. οὗτοι μὲν οὖν ὑπὸ διαρρεούσης πιότητός τε καὶ τέρψεως ἐπὶ
πλέον οἰδήσαντες καὶ περιταθέντες ἐξερράγησαν· οἱ δὲ τῇ τρεφούσῃ τὰς
φιλαρέτους ψυχὰς σοφίᾳ πιαινόμενοι βέβαιον καὶ ἀκράδαντον ἴσχουσι
δύναμιν, ἧς ὑπόδειγμα τὸ ὁλοκαυτούμενον ἀπὸ παντὸς ἱερείου στέαρ.
λέγει γὰρ Μωυσῆς· „πᾶν στέαρ τῷ κυρίῳ νόμιμον αἰώνιον“ (Lev. 3, 123
16.17), ὡς τῆς κατὰ μὲν διάνοιαν πιότητος ἀναφερομένης ἐπὶ θεὸν καὶ
οἰκειουμένης αὐτῷ, διόπερ ἀπαθανατίζεται, τῆς δὲ κατὰ τὸ σῶμα καὶ τὰ
ἐκτὸς ἀναφερομένης ἐπὶ τὸν ἀντίθεον καιρόν, διὸ καὶ τάχιστα παρήκμασεν.

(36.) Περὶ μὲν οὖν τῶν Λάμεχ γυναικῶν τε καὶ ἐκγόνων ἱκανῶς 124
οἶμαι δεδηλῶσθαι· τὴν δ' ὥσπερ παλιγγενεσίαν Ἄβελ τοῦ δολοφονηθέντος
σκεψώμεθα. „ἔγνω“ φησίν „Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ Εὔαν, καὶ συλλα-
βοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ (λέγουσα)· ἐξανέ-
στησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάιν“ (Gen.
4,25). Σὴθ ἑρμηνεύεται ποτισμός. ὥσπερ οὖν τὰ κατὰ γῆν σπέρματα 125
καὶ φυτὰ ποτιζόμενα αὔξεται καὶ βλαστάνει καὶ πρὸς καρπῶν γενέσεις
εὐτοκεῖ, στερόμενα δὲ ἐπιρροῆς ἀφαυαίνεται, οὕτως ἡ ψυχή, καθάπερ
φαίνεται, ὅταν νάματι ποτίμῳ σοφίας ἄρδηται, βλαστάνει τε καὶ ἐπιδίδωσι
πρὸς τὸ βέλτιον. ποτισμὸς δὲ ὁ μέν ἐστι ποτίζοντος, ὁ δ' οὗ ποτιζομένου. 126
ἢ οὐκ ἂν εἴποι τις τῶν αἰσθήσεων ἑκάστην ὥσπερ ἀπὸ πηγῆς τοῦ
νοῦ ποτίζεσθαι τὰς δυνάμεις καθάπερ ὀχετοὺς ἀνευρύνοντός τε καὶ
τείνοντος; οὐδεὶς γοῦν εὖ φρονῶν εἴποι ἂν ὀφθαλμοὺς ὁρᾶν, ἀλλὰ νοῦν
δι' ὀφθαλμῶν, οὐδ' ὦτα ἀκούειν, ἀλλὰ δι' ὤτων ἐκεῖνον, οὐδὲ μυκτῆρας
ὀσφραίνεσθαι, ἀλλὰ διὰ μυκτήρων τὸ ἡγεμονικόν. (37.) διὸ καὶ ἐν 127

---

1 γοῦν] γὰρ conicio διὸ] δ δὴ conicio 4 ψυχῇ U 5 δ' ἡ τῶν U
6 εὐκαιρίαν U: ἀκαιρίαν v 7 πρησθέντες coni. Mang. 8 σοφίᾳ πιαινόμενοι
Mang.: σοφίας πεπαινόμενοι U 9 ἱερείου U (non ἱεροῦ, ut Tisch. adnot.)
11 ⟨τὴν⟩ διάνοιαν conicio 12 αὐτῷ U (non αὐτῶν) 13 διὸ scripsi: δι'
ὃν U 16 σκεψώμεθα Cohn: σκύψωμεν U, σκέψωμεν Mang., σκέψομεν Holwerda
17 λέγουσα ex LXX addidi 18 μοι] μὴ U 21 ἐπιροῆς U ἀφεαίνεται U
καθάπερ φαίνεται] σπερμαίνεται Tisch., καθάπερ φυτόν τι vel tale aliquid subesse videtur,
καθάπερ ἐμφαίνεται coni. Cohn 22 τε] γὰρ v

---

27. 28 cf. Epicharmi fragm. p. 255 Lorenz.

Γενέσει λέγεται· „πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς“ (Gen. 2,6). ἐπεὶ γὰρ ὅλου τοῦ σώματος μέρος ἐξαίρετον ἔνειμεν ἡ φύσις τὸ πρόσωπον αἰσθήσεσιν, ἡ ἀνιοῦσ' ἀφ' ἡγεμονικοῦ πηγὴ σχιζομένη πολλαχῇ καθάπερ τινὰς ὑδρορρόας ἀναστείλασα μέχρι προσώπου, δι' αὐτῶν τὰς δυνάμεις ἐφ' ἕκαστον ἄγει τῶν αἰσθητικῶν ὀργάνων. οὕτως μέντοι καὶ ὁ θεοῦ λόγος | ποτίζει τὰς p. 250 M.
128 ἀρετάς· ἀρχὴ γὰρ καὶ πηγὴ καλῶν πράξεων οὗτος. δηλοῖ δ' ὁ νομοθέτης φάσκων· „ποταμὸς δ' ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον. ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρος ἀρχάς“ (Gen. 2,10). γενικαὶ μὲν γάρ εἰσιν ἀρεταὶ τέσσαρες, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· τούτων δ' ἡγεμονὶς ἑκάστη καὶ βασιλίς ἐστι, καὶ ὁ κτησάμενος αὐτὰς ἄρχων καὶ βασι-
129 λεὺς εὐθέως, κἂν μηδεμιᾶς ὕλης εὐπορῇ. τὸ γὰρ „ἀφορίζεται εἰς τέσσαρας ἀρχάς“ οὐ τούτων διάστασιν, ἀλλ' ἀρετῶν ἡγεμονίαν ἐμφαίνει καὶ κράτος. αὗται δὲ καθάπερ ἐκ μιᾶς ῥίζης ἐκπεφύκασι τοῦ θείου λόγου, ὃν εἰκάζει ποταμῷ διὰ τὴν ἀένναον καὶ συνεχῆ φορὰν ποτίμων λόγων καὶ δογμάτων,
130 οἷς τὰς φιλοθέους τρέφει καὶ συναύξει ψυχάς. (38.) ποῖαι δ' αὗται, κατ' ὀλίγον ἐπάγων ἐκδιδάσκει, ποιούμενος ἀπὸ τῶν φύσει τὴν ὑφήγησιν τεχνῶν. εἰσάγει γὰρ τὴν Ἄγαρ πληροῦσαν ἀσκὸν ὕδατος καὶ τὸ παιδίον ποτίζουσαν — ἔστι ⟨δ' ἡ⟩ Ἄγαρ θεραπαινὶς Σάρρας, τῆς τελείας ἀρετῆς [καὶ] μέση παιδεία — φυσικώτατα· ἐπειδὰν οὖν ἄχρι τοῦ βάθους ἐλθοῦσα τῆς ἐπιστήμης, ἣν ὀνομάζει φρέαρ, ἀρύσηται ὥσπερ εἰς ἄγγος τὴν ψυχὴν τά τε δόγματα καὶ θεωρήματα, ἃ μέτεισιν, οἷς τέθραπται,
131 τούτοις τρέφειν τὸ παιδίον ἀξιοῖ. παιδίον δὲ καλεῖ τὴν ἄρτι διδασκαλίας ὀρεγομένην ψυχὴν καὶ πρὸς τῷ μαθεῖν νυνὶ τρόπον τινὰ γεγενημένην, παρὸ καὶ ἀνδρωθεὶς ὁ παῖς γίνεται σοφιστής, ὃν προσαγορεύει τοξότην· ἐφ' ὃ γὰρ ἂν προθῆται κεφάλαιον ὥσπερ σκοπόν, εὐστόχως ἀποδείξεις
132 ὥσπερ ὀϊστοὺς ἀφίησι. (39.) Ῥεβέκκα δ' οὐκέτι προκοπαῖς ἀλλὰ τελειότητι ποτίζουσα τὸν μαθητὴν εὑρίσκεται. πῶς δέ, αὐτὸς διδάξει ὁ νόμος. „ἡ γὰρ παρθένος“ φησίν „ἦν καλὴ τῇ ὄψει σφόδρα, παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν καὶ ἀνέβη. προσέδραμε δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῇ καὶ εἶπε· πότισόν με δὴ μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου. ἡ δὲ εἶπε· πίε, κύριε. καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς καὶ ἐπότισεν

---

4 ὑδροράς U 12 ἀφορίζεσθαι Tisch. 17 φύ U 19 ἔστι δ' ἡ scripsi: ἔστιν U 20 καὶ seclusi, aut scrib. ⟨ἐγκύκλιος⟩ καὶ μέση: καὶ νέα v οὖν] γοῦν coni. Cohn βάθους Tisch.: πάθους U, βαθείας Mang. 22 ⟨τὰ⟩ θεωρήματα conicio 23 ἀξιοῖ Mang.: ἄξιον U 24 νυνὶ] νεωστὶ conicio 28 τελειότησι conicio 30 ἣν ex LXX Cohn: ἦν U

p. 251 M. αὐτόν, ἕως ἐπαύσατο πίνων· | καὶ εἶπε· καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, ἕως ἂν πᾶσαι πίωσι. καὶ σπεύσασα ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ δραμοῦσα ἐπὶ τὸ φρέαρ ὑδρεύσατο ταῖς καμήλοις" (Gen. 24,16—20). τίς οὐκ ἂν θαυμάσειε τὴν περὶ πάντα ἀκρίβειαν τοῦ 133
5 νομοθέτου; παρθένον εἶπε τὴν 'Ρεβέκκαν, καὶ πάνυ καλὴν παρθένον, ὅτι ἀμιγὴς καὶ ἄδολος καὶ ἀμίαντος ἡ ἀρετῆς φύσις καὶ μόνη τῶν ἐν γενέσει καλή τε καὶ ἀγαθή· ἀφ' ἧς καὶ τὸ στωικὸν ἐβλάστησε δόγμα τὸ μόνον εἶναι τὸ καλὸν ἀγαθόν. (40.) τῶν δ' ἀρετῶν αἱ ⟨μέν⟩ εἰσιν αἰεὶ 134
παρθένοι, αἱ δὲ ἐκ γυναικῶν εἰς παρθένους μετέβαλον, ὥσπερ ἡ Σάρρα·
10 „ἐξέλιπε γὰρ γίνεσθαι τὰ γυναικεῖα" (Gen. 18,11), ὁπότε ἄρχεται τὸ εὔδαιμον γένος κυοφορεῖν, 'Ισαάκ. ἡ δ' ἀεὶ παρθένος ὑπὸ ἀνδρός, ᾗ φησι, συνόλως οὐ γινώσκεται. θνητῶν γὰρ πρὸς ἀλήθειαν οὐδενὶ τὴν ἀδιάφθορον φύσιν μιαίνειν ἐφεῖται, ἀλλ' οὐδ' ἥτις ἐστὶν εἰλικρινῶς εἰδέναι· ἐὰν μέντοι καὶ γνῶναι δυνηθῇ, μισῶν καὶ προβεβλημένος οὐ
15 παύεται. διὸ καὶ Λείαν φυσικῶς εἰσάγει μισουμένην (Gen. 29,31)· οὗς 135
γὰρ τὰ φίλτρα τῶν κατὰ 'Ραχήλ, τὴν αἴσθησιν, ἡδονῶν ἐπάγεται, τούτους οὐκ ἀνέχεται ἡ ἐκτὸς τῶν παθῶν Λεία, διόπερ σκορακιζόμενοι μισοῦσιν αὐτήν· τῇ δὲ ἡ πρὸς τὸ γενητὸν ἀλλοτρίωσις πρὸς θεὸν οἰκείωσιν εἰργάσατο, παρ' οὗ τὰ φρονήσεως παραδεξαμένη σπέρματα
20 ὠδίνει καὶ ἀποτίκτει καλὰς καὶ ἀξίας ἐννοίας τοῦ γεννήσαντος πατρός. ἐὰν οὖν καὶ σὺ μιμησαμένη Λείαν, ὦ ψυχή, ⟨τὰ⟩ θνητὰ ἀποστραφῇς, ἐξ ἀνάγκης ἐπιστρέψει πρὸς τὸν ἄφθαρτον, ὃς ὅλας ἐπομβρήσει σοι τὰς τοῦ καλοῦ πηγάς. (41.) ἡ δὲ 'Ρεβέκκα κατέβη, φησίν, ἐπὶ τὴν πηγὴν 136
πλῆσαι τὴν ὑδρίαν, καὶ ἀνέβη. πόθεν γὰρ τὴν φρονήσεως διψῶσαν
25 διάνοιαν εἰκός ἐστι πληροῦσθαι πλὴν ἀπὸ σοφίας θεοῦ, τῆς ἀνελλιποῦς πηγῆς, εἰς ἣν κατιοῦσα ἀναβαίνει κατά τι συγγενὲς σπουδαίου μαθητοῦ; τοὺς γὰρ ἀπ' οἰήσεως χαύνου κατελθόντας ὁ ἀρετῆς ἐκδεξάμενος καὶ ὑπολαβὼν δι' εὐκλείας εἰς ὕψος αἴρει λόγος. οὗ ἕνεκά μοι δοκεῖ καὶ Μωυσῇ διαλέγεσθαι· „βάδιζε, κατάβηθι, καὶ ἀνάβηθι" (Exod.

1 αὐτὴν U 8 δ' Cohn: τεσσάρων U (confudit δ' et δ') μέν add. Mang. 9 ἡ evanidum 10 γὰρ ⟨Σάρρᾳ⟩ conicio 18 γεννητὸν U 21 τὰ addidi ἀποστραφῇς Mang.: ἀποστροφῆς U 22 ἐπιστρέψεις conicio, ἐπιστρέψῃ coni. Mang. πολλὰς coni. Mang. ἐπομβρήσει Tisch.: ἔτι ὁμβρήσει U 23. 24 πηγὴν πλῆσαι Mang.: γῆν ἀντλῆσαι U 24 ὑδρείαν v 26 τι] τὸ Mang. συγγενὴς conicio σπουδαίου Mang.: σπουδαῖον U 29 Μωυσῇ Tisch.: Μωυσῆς U

4 sqq. Clemens Strom. IV § 163 p. 637 P potius Quaest. in Genesin IV § 99 respicit. cf. etiam Augustini Locutionum librum I 81.

19,24), ὡς παντὸς τοῦ τὴν ἴδιον | ταπεινότητα μετροῦντος ἐπικυδεστέρου p. 152 M.
137 παρὰ τοῖς ἀληθείας κριταῖς γινομένου. παρατετηρημένως δὲ σφόδρα ἡ μὲν [γὰρ] Ἄγαρ ἀσκὸν πρὸς τὴν ὑδρείαν, Ῥεβέκκα δὲ ὑδρίαν ἐπιφέρεται, ὅτι τῇ μὲν τοῖς παιδεύμασι τοῖς ἐγκυκλίοις ⟨ἐγ⟩χορευούσῃ δεῖ καθάπερ τινῶν σωματικῶν τῆς αἰσθήσεως ἀγγείων, ὀφθαλμῶν, ὤτων, πρὸς τὴν τῶν θεωρημάτων ἀνάληψιν — ἐκ γὰρ τοῦ πολλὰ μὲν ἰδεῖν, πολλῶν δὲ ἐπακοῦσαι περιγίνεται τοῖς φιλομαθέσιν ἡ ἐξ ἐπιστήμης ὠφέλεια —, τῇ δὲ ἀκράτου σοφίας πεπληρωμένῃ δερματίνου μὲν ὄγκου ⟨τὸ⟩ παράπαν οὐδενός — ἔμαθε γὰρ ἡ ἀσωμάτων ἐρῶσα ὅλον ἀποδύεσθαι λογισμῷ τὸν ἀσκόν, τὸ σῶμα — ὑδρίας δὲ αὐτὸ μόνον, ἣ σύμβολόν ἐστιν ἀγγείου τὸ πολύχουν ὕδατος τρόπον ἡγεμονικὸν κεχωρηκότος· ὅπερ εἴτε μήνιγγα εἴτε καρδίαν
138 εἶναι συντέτευχεν, οἱ περὶ ταῦτα δεινοὶ φιλοσοφεῖτωσαν. ὑδρευσαμένην οὖν ἀπὸ σοφίας, τῆς θείας πηγῆς, τὰς ἐπιστήμας ὁ φιλομαθὴς ἰδὼν ἐπιτρέχει καὶ ὑπαντιάσας ἱκέτης γίνεται, ὅπως τὴν τοῦ μαθεῖν δίψαν ἀκέσηται. ἡ δὲ τὸ πρεσβύτατον τῶν παιδευμάτων διδαχθεῖσα, τὸ ἀβάσκανον καὶ φιλόδωρον, εὐθὺς ὀρέγει τὸ σοφίας νᾶμα καὶ ἐμπιεῖν ἀθρόου παρακαλεῖ μετὰ τοῦ καὶ κύριον ὀνομάζειν τὸν οἰκέτην. τοῦτο δ' ἐστὶ τὸ δογματικώτατον, ὅτι ὁ σοφὸς μόνος ἐλεύθερός τε καὶ ἄρχων,
139 κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας. (42.) ὀρθότατα μέντοι φαμένου „πότισόν με μικρὸν ὕδωρ“, οὐκ ἀποκρίνεται τὸν ἀκόλουθον τρόπον· ποτιῶ, ἀλλά φησι· „πίε“· τοῦτο μὲν γὰρ ἐπιδεικνυμένης τὸν θεῖον ἦν πλοῦτον, ὃς ἅπασι τοῖς ἀξίοις καὶ δυναμένοις χρῆσθαι προκέχυται, ἐκεῖνο δὲ ἐπαγγελλομένης διδάξειν· οὐδὲν δὲ τῶν ἐξ ἐπαγγέλματος οἰκεῖον
140 ἀρετῇ. τεχνικώτατα μέντοι χαρακτηρίζει τὴν τῆς διδασκούσης καὶ

---

1 μετροῦντος] κατηγοροῦντος conicio, μεταγνόντος coni. Cohn 2 γινομένου Diels: γενομένου U 3 γὰρ del. Holwerda 4 ⟨ἐν⟩ τοῖς coni. Cohn τοῖς παιδεύμασι (fort. προπαιδεύμασι) τοῖς ἐγκυκλίοις Mang.: τοὺς παιδεύμασι καὶ ἐγκυκλίους U τῆς παιδείας τῆς ἐγκυκλίου χηρευούσῃ Tisch. ἐγχορευούσῃ Mang.: χορευούσῃ U 5 σωματικῶν Tisch.: ἀσωμάτων U τῆς scripsi: τῶν U αἰσθήσεως U: αἰσθήσεων v ἀγγείων τῶν αἰσθήσεων coni. Cohn 8 τὸ add. Mang. παράπαν U (non παρὰ τοῦ, ut Tisch. adnot.) 9 λογισμῷ U: λογισμῶν v 12 ὑδρευσαμένην U (non ὑδρευσαμένους, ut Tisch. adnot.) 17 ἀθροῦ U 18 μόνος D: μόνον U τὸ δόγμα τὸ στωικόν conicio 24 τεχνικω$^{\tau\tau}$ U

---

18. 19 DP fol. 331v DV p. 693 (Φίλωνος): μόνος ὁ σοφὸς ἐλεύθερός τε—δεσπότας. — Eadem exstant in Floril. Paris. No. 10, Anton. Mel. I 8 Col. 797, Mel. Barocc. fol. 60v, in Maximi Ecl. cap. 2. ubique antecedunt verba: φρόνησις τῶν ἄλλων ἀρετῶν ἄρχει. (fol. Coisliniani 294, in quo eadem exstant, Eltero teste ex Maximi codice Coisl. 372 illuc delatum est).

ὠφελούσης ὑφήγησιν· „σπεύσασα“ γάρ φησι „καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς“, διὰ μὲν τοῦ σπουδάσαι τῆς πρὸς τὸ εὐεργετεῖν ἐμφαινομένης ὀξύτητος, ἣ ἀπὸ γνώμης συνίσταται, ἧς ὑπερόριος ἐκτετόξευται φθόνος, διὰ δὲ τοῦ καθελεῖν ἐπὶ τὸν βραχίονα αὐτῆς ⟨τῆς⟩ πρὸς τὸν μανθάνοντα τοῦ διδάσκοντος ἐπικλινοῦς καὶ προσεχοῦς οἰκειώσεως. εὐήθεις γὰρ ὅσοι τῶν διδασκάλων μὴ πρὸς τὴν τῶν γνωρίμων 141
p. 253 M. δύναμιν, ἀλλὰ πρὸς τὴν ἑαυτῶν ὑπερβάλλουσαν | ἕξιν ἐπιχειροῦσι ποιεῖσθαι τὰς ὑφηγήσεις, οὐκ εἰδότες ὡς διδασκαλίας ἐπίδειξις μακρῷ διενήνοχεν. ὁ μὲν γὰρ ἐπιδεικνύμενος τῇ τῆς παρούσης ἕξεως εὐφορίᾳ καταχρώμενος ἀνεμποδίστως τὰ ἐν μακρῷ χρόνῳ πονηθέντα οἴκοι καθάπερ γραφέων ἔργα ἢ πλαστῶν εἰς τοὐμφανὲς προφέρει τὸν παρὰ τῶν πολλῶν θηρώμενος ἔπαινον, ὁ δ' αὖ διδάσκειν ἐπιχειρῶν οἷά τις ἰατρὸς ἀγαθὸς οὐ πρὸς τὸ τῆς τέχνης μέγεθος ἀλλὰ πρὸς τὴν τοῦ θεραπευομένου δύναμιν ἀφορῶν οὐχ ὅσα ἐκ τῆς ἐπιστήμης πεπόρικε — ἀμύθητα γὰρ ταῦτά γε —, ἀλλ' ὅσων τῷ κάμνοντι δεῖ στοχαζόμενος τοῦ μετρίου προφέρων ἐπιδίδωσιν. (43.) διὸ καὶ Μωυσῆς ἐν ἑτέροις φησί· 142
„δάνειον δανειεῖς τῷ χρῄζοντι ὅσον δεῖται, καθ' ὃ δεῖται“ (Deut. 15,8), διὰ μὲν τοῦ δευτέρου διδάσκων ὅτι οὐ πάντα πᾶσι χαριστέον, ἀλλὰ τὰ οἰκεῖα τῇ τῶν δεομένων χρείᾳ· τὸ γὰρ ἄγκυραν ἢ πλάτην ἢ πηδάλιον γεωπόνῳ ἢ ἄροτρα καὶ σκαπάνην κυβερνήτῃ ἢ λύραν μὲν ἰατρῷ, μουσικῷ δὲ τὰ κατὰ τὴν χειρουργίαν δωρεῖσθαι ὄργανα καταγέλαστον, εἰ μὴ καὶ διψῶσι μὲν πολυτελῆ σιτία, πεινῶσι δὲ πολὺν ἄκρατον ἐπιφέρειν δεῖ πρὸς ἐπίδειξιν εὐπορίας τε ἅμα καὶ μισανθρωπίας, χλεύην τὰς ἑτέρων τύχας τιθεμένους. τὸ δὲ ποσὸν ἐν ταῖς χάρισιν αὐτῷ παρειλῆπται διὰ συμμετρίαν, πρᾶγμα ὠφελιμώτατον· μὴ γὰρ ὅσα δύνασαι χαρίζου, φησὶν ὁ ὀρθὸς λόγος, ἀλλ' ὅσα ἱκανὸς ὁ δεόμενός ἐστι δέξασθαι.

---

2 σπεῦσαι conicio 4 τῆς add. Tisch. 10 οἴκοι U (non οἶκον), οἰκεῖ D 12 ὁ δ' αὖ] οὐδὲ D 14 ὅσα U (non ὅσους) D ἐπιστήμης] τέχνης D πεπόρικεν D: πεπόρικε U 15 γε] τε D ὅσον D 16 δίδωσιν D ἑτέροις Mang.: ἑτέρῳ U 17 δανειεῖς Holwerda ὅσου coni. Holwerda καθὸ U 18 πᾶσι D: om. U 20 ἄροτρον conicio 24 ἑταίρων U 25 δύνασαι U (non δύναται) D 26 χαρίζου, φησὶν D: φησί, χαρίζου U ὀρθὸς] ἱερὸς DC ὅσα (ὡς DC) ἱκανός ἐστιν ὁ δεχόμενος δέξασθαι D

6—16 D^K fol. 129r ἐκ τοῦ αὐτοῦ: εὐήθεις ὅσοι — προφέρων δίδωσιν post locum ad p. 21,3 allatum. 18. 19 DC fol. 258r Φίλωνος ἐκ τοῦ ἡ καὶ θ' τῆς νόμων ἀλληγορίας D^R fol. 277r Φίλωνος: οὐ πάντα πᾶσι χαριστέον (χαριστητέον D^R), ἀλλὰ τὰ οἰκεῖα τῇ τῶν δεομένων (δεχομένων D^R) χρείᾳ. pergunt lin. 25 25—32,4 ibid. ἀλλὰ μηδὲ ὅσα δύνασαι — κρειττόνων ἀκοῆς. pergunt p. 32,16

143 ἢ οὐχ ὁρᾷς ὅτι καὶ ὁ θεὸς οὐκ ἀναλογοῦντας τῷ μεγέθει τῆς αὐτοῦ τελειότητος χρησμοὺς ἀναφθέγγεται, πρὸς δὲ τὴν τῶν ὠφεληθησομένων ἀεὶ δύναμιν; ἐπεὶ καὶ τίς ἂν ἐχώρησε θεοῦ λόγων ἰσχὺν τῶν ἁπάσης κρειττόνων ἀκοῆς; ὃ ἀψευδέστατα δοκοῦσιν οἱ Μωυσῇ λέγοντες· „λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μὴ ἀποθάνωμεν“ (Exod. 20,19)· ἔγνωσαν γὰρ ὅτι οὐδὲν ἔχουσι παρ' ἑαυτοῖς ἀξιόχρεων ὄργανον
144 θεοῦ νομοθετοῦντος ἐκκλησίαν. οὐδὲ γὰρ εἰ τὸν πλοῦτον ἐπιδείκνυσθαι βουληθείη τὸν ἑαυτοῦ, χωρήσαι ἂν ἠπειρωθείσης καὶ θαλάττης ἡ σύμπασα γῆ· εἰ μὴ νομίζομεν ὑετῶν καὶ τῶν ἄλλων ἐν κόσμῳ φορὰν κατὰ τεταγμένας καιρῶν περιόδους, ἀλλὰ μὴ συνεχῶς γίνεσθαι διὰ σπάνιν καὶ ἔνδειαν αὐτῶν, ἀλλ' οὐχ ἕνεκα προμηθείας τῶν χρῃζόντων, οὓς ἡ συνεχὴς τῶν ὁμοίων δωρεῶν ἀπόλαυσις βλάψειν | μᾶλλον ἔμελλεν p. 254 M.
145 ἢ ὠφελήσειν. διὸ τὰς πρώτας αἰεὶ χάριτας, πρὶν κορεσθέντας ἐξυβρίσαι τοὺς λαχόντας, ἐπισχὼν καὶ ταμιευσάμενος εἰσαῦθις ἑτέρας ἀντ' ἐκείνων καὶ τρίτας ἀντὶ τῶν δευτέρων καὶ αἰεὶ νέας ἀντὶ παλαιοτέρων, τοτὲ μὲν διαφερούσας, τοτὲ δ' αὖ καὶ τὰς αὐτὰς ἐπιδίδωσι. τὸ γὰρ γενητὸν οὐδέποτε μὲν ἀμοιρεῖ τῶν τοῦ θεοῦ χαρίτων — ἐπεὶ πάντως ἂν διέφθαρτο —, φέρειν δὲ τὴν πολλὴν καὶ ἄφθονον αὐτῶν ῥύμην ἀδυνατεῖ. διὸ βουλόμενος ὄνησιν ἡμᾶς ἔχειν ὧν ἐπιδίδωσι πρὸς τὴν τῶν λαμβα-
146 νόντων ἰσχὺν τὰ διδόμενα σταθμᾶται. (44.) ἐπαινετέον οὖν καὶ Ῥεβέκκαν, ἣ τοῖς τοῦ πατρὸς ἑπομένη διατάγμασιν ἀφ' ὑψηλοτέρου χωρίου καθελοῦσα τὸ σοφίας ἀγγεῖον ἐπὶ τὸν βραχίονα, τὴν ὑδρίαν [δὲ],
147 ὀρέγει τῷ μαθητῇ ἃς ἱκανὸς ἐκεῖνός ἐστι δέξασθαι διδασκαλίας. μετὰ δὲ τῶν ἄλλων καὶ τὸ ἄφθονον αὐτῆς καταπέπληγμαι. μικρὸν γὰρ αἰτηθεῖσα πόμα πολὺ δίδωσιν, ἕως ὅλην τὴν ψυχὴν τοῦ μανθάνοντος ποτίμων θεωρημάτων ἐπλήρωσεν. λέγει γάρ· „ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων“, πρὸς φιλανθρωπίαν δίδαγμα θαυμασιώτατον· ἐὰν γάρ

---

1 ante τῷ add. ἡμᾶς D, ἡμῖν conicio αὐτοῦ U 2 τελειότητος D: λογιότητος U δὲ et 3 ἀεὶ om. D 3 δύναμιν ⟨μετρουμένους⟩ conicio λογίων coni. Mang. 4 κρειττόνων D^C: κρείττονος D^R, κρεισσόνων U ἢ ἀψευδέστατοι coni. Mang. δοκοῦσιν] ὁμολογοῦσιν conicio, ⟨φάναι⟩ δοκοῦσιν coni. Cohn Μωσῇ U 8 χωρῆσαι U 9 ὑετῶν καὶ ἀνέμων conicio 10 καταταγμένας U 11 αὐτοῦ conicio 13 κορεσθέντας ἐξυβρίσαι Mang.: κορεσθὲν ἐξύβρισε U 16 γεννητὸν U^{DC} 17 μὲν om. D^R χαρισμάτων D 18 ῥώμην D^C ἀδύνατον D^R 19 δι' ἃ D_2^R ἔχειν ⟨δι'⟩ ὧν conicio 22 δὲ seclusit Tisch.

16—20 ibid. τὸ γὰρ γενητὸν — σταθμᾶται. eadem habet D^R fol. 142v (= D_2^R)

τις πλειόνων μὲν τυγχάνῃ χρεῖος ὤν, ὀλίγα δὲ ὑπ' αἰδοῦς προσιὼν αἰτῇ, μὴ ταῦθ' ἃ φησι μόνα παρέχωμεν, ἀλλὰ καὶ τὰ ἡσυχαζόμενα ἐκεῖνα, ὧν πρὸς ἀλήθειαν ἐνδεής ἐστιν. ἀλλ' οὐκ ἀπόχρη μόνον πρὸς 148 τελείαν ἀπόλαυσιν τῷ γνωρίμῳ καταλαμβάνειν ὅσα ἂν ὁ διδάσκων ὑφηγῆται, εἰ μὴ προσγένοιτο καὶ μνήμη διόπερ ἐπιδεικνυμένη τὸ φιλόδωρον, ὅτε αὐτὸν πληροῖ ποτίσασα, ὑπισχνεῖται καὶ ταῖς καμήλοις ὑδρεύσεσθαι, ἃς συμβολικῶς μνήμας εἶναί φαμεν· μηρυκᾶται γὰρ τὸ ζῷον τὴν τροφὴν ἐπιλεαῖνον, καὶ ὅταν ὀκλάσαν δέξηται βαρύτατον φόρτον, μετὰ πολλῆς ἄγαν εὐτονίας ἐγείρεται κούφως. οὕτως δὲ καὶ ἡ 149 ψυχὴ τοῦ φιλομαθοῦς, ὅταν ἐπιφορηθῇ τὸ τῶν θεωρημάτων ἄχθος, ταπεινοτέρα μὲν οὐ γίνεται, διαναστᾶσα δὲ γέγηθεν· ἐκ δὲ τῆς ἐπαναπολήσεως καὶ ὥσπερ ἐπιλεάνσεως τῆς πρῶτον καταβληθείσης τροφῆς περιγίνεται μνήμη τῶν θεωρημάτων. ἰδοῦσα δὲ εὐπαράδεκτον ἀρετῆς 150 ⟨τὴν⟩ τοῦ παιδὸς φύσιν ὅλην ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, τουτέστι τὴν τοῦ διδάσκοντος ἅπασαν ἐπιστήμην εἰς τὴν ψυχὴν τοῦ μανθάνοντος. σοφισταὶ μὲν γὰρ ὑπὸ μισθαρνίας ἅμα καὶ φθόνου τὰς τῶν γνωρίμων κολούοντες φύσεις πολλὰ τῶν ἃ χρὴ λέγειν ἡσυχάζουσι ταμιευόμενοι τὸν ἀργυρισμὸν εἰσαῦθις ἑαυτοῖς· ἄφθονον δὲ καὶ δωρητικὸν 151
p. 255 M. ἀρετὴ πρᾶγμα, ὡς, τὸ λεγόμενον, χειρὶ καὶ ποδὶ | καὶ πάσῃ δυνάμει μὴ ὀκνεῖν ὠφελεῖν. ὅσα οὖν ἠπίστατο, καθάπερ εἰς δεξαμενὴν τὴν τοῦ γνωρίμου προχέασα διάνοιαν ἔρχεται πάλιν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, ἐπὶ τὴν ἀένναον τοῦ θεοῦ σοφίαν, ἵνα καὶ τὰ ⟨παλαιὰ⟩ παγίως ὀχυρώσηται διὰ μνήμης καὶ ἄλλων καινοτέρων ἐπιστήμαις ποτισθῇ· ἀπερίγραφος γὰρ ὁ σοφίας θεοῦ πλοῦτος καὶ νέα ἐπὶ παλαιοῖς ἐκφέρων βλαστήματα, ὡς ἀνηβῶν τε καὶ ἐπακμάζων μηδέποτε λήγειν. διὸ καὶ πάνυ εὐήθεις 152 ὅσοι πρὸς τὸ πέρας ἡστινοσοῦν ἐπιστήμης ἀφικέσθαι διενοήθησαν· τὸ γὰρ ἐγγὺς εἶναι δόξαν μακρὰν ἄγαν τοῦ τέλους ἀφέστηκεν, ἐπεὶ τέλειος τῶν γεγονότων οὐδεὶς πρὸς οὐδὲν μάθημα, ἀλλὰ τοσοῦτον ἐνδεῖ, ὅσον

---

4 ἀπόλαυσιν Mang.: ἀνάπαυσιν U 6 ὅταν coni. Holwerda ποτίσασα scripsi: ποταμός U, ποτίμοις Holwerda, ποτισμός Tisch. 7 ὑδρεύσεσθαι Holwerda: ὑδρεύσασθαι U 14 τὴν addidi 17 τῶν ἃ scripsi: τί U, ἃ vel ἅτινα Tisch. 21 προχέασα scripsi: προσχέασα U, προχέουσα Mang. 22 παλαιὰ add. Tisch. 23 ποτίσῃ Cohn 25 τε scripsi: δὲ U 26 ὅσοι] οἱ D 27 ἀφέστηκεν D: ἀφέστηκε U 28 γεγηνότων U

---

7 sqq. cf. locos ad librum De agricultura § 131 allatos 25—34,3 DK fol. 261v 262r Φίλωνος ἐκ τοῦ ζ' καὶ η' τῆς νόμων ἱερῶν ἀλληγορίας: πάνυ εὐήθεις οἱ πρὸς τὸ πέρας — ὑφηγητήν.

κομιδῇ νήπιος παῖς ἄρτι τοῦ μανθάνειν ἀρχόμενος πρὸς πολιὸν ἤδη
153 διὰ τὴν ἡλικίαν ἅμα καὶ τὴν τέχνην ὑφηγητήν. (45.) ἐρευνητέον δὲ
τὴν αἰτίαν, δι' ἣν τὸν μὲν παῖδα ἀπὸ τῆς πηγῆς, τὰς δὲ καμήλους
ἀπὸ τοῦ φρέατος ποτίζει. μήποτ' οὖν τὸ μὲν νᾶμα ταὐτόν, * * *
ὁ τὰς ἐπιστήμας ἄρδων [ὁ] ἱερὸς λόγος, τὸ δὲ φρέαρ συγγενὲς μνήμης·
ἃ γὰρ βύθια ἀπέφηνεν ἤδη, ταῦθ' ὥσπερ ἐκ φρέατος δι' ὑπομνήσεως
154 ἄγεται. τοὺς μὲν οὖν τοιούτους τῆς περὶ τὴν φύσιν εὐμοιρίας ἀποδεκτέον·
εἰσὶ δέ τινες τῶν ἀσκητῶν, οἷς τὴν ἐπ' ἀρετὴν ἄγουσαν ὁδὸν τραχεῖαν
καὶ δυσάντη καὶ χαλεπὴν νομισθεῖσαν τὸ πρῶτον λεωφόρον αὖθις ὁ τὰ
πάντα εὐεργέτης ἀπέδειξε θεὸς εἰς γλυκύτητα τὸ πικρὸν τοῦ πόνου
155 μεταβαλών. ὃν δὲ τρόπον μετέβαλε, σημανοῦμεν· ὅτε ἡμᾶς ἐκ τῆς
Αἰγύπτου, τῶν κατὰ τὸ σῶμα παθῶν, ἐξήγαγε, τὴν ἔρημον ἡδονῆς
ἀτραπὸν ὁδεύοντες ἐν Μέρροις ἐστρατοπεδευόμεθα, χωρίῳ πότιμον μὲν
οὐκ ἔχοντι νᾶμα, πικρὸν δὲ σύμπαν (Exod. 15,23)· ἔτι γὰρ αἱ δι'
ὀφθαλμῶν καὶ ὤτων γαστρός τε αὖ καὶ τῶν μετὰ γαστέρα τέρψεις
156 ἔναυλοί τε ἦσαν καὶ σφόδρα ἐκήλουν ὑπηχοῦσαι. ὁπότ' οὖν διαποζεύ-
γνυσθαι κατὰ τὸ παντελὲς ἐθέλοιμεν, ἀνθεῖλκον ἐπαγόμεναι καὶ περι-
πλεκόμεναι καὶ λιπαρῶς καταγοητεύουσαι, ὥστε πρὸς τὰς συνεχεῖς
τιθασείας αὐτῶν ἐνδόντες πόνῳ μὲν ἡλλοτριούμεθα ὡς πικρῷ πάνυ καὶ
δυσκόλῳ, παλινδρομεῖν δὲ εἰς Αἴγυπτον ἐβουλευόμεθα, τὸν ἀσελγοῦς
καὶ ἀκολάστου βίου ὑπόδρομον, εἰ μὴ θᾶττον ὁ σωτὴρ οἶκτον λαβὼν
καθάπερ ἥδυσμα ξύλον γλυκαῖνον (cf. Exod. 15,25) εἰς τὴν ψυχὴν
157 ἐνέβαλε φιλοπονίαν ἀντὶ μισοπονίας ἐργασάμενος· ἤδει γάρ, ἅτε
δημιουργὸς ὤν, ὅτι τῶν ὄντων οὐδενός, εἰ μὴ προσγένοιτο σφοδρὸς
| ἔρως, ἔνεστι περιγενέσθαι. ὅσα οὖν ἐπιτηδεύουσιν ἄνθρωποι, δίχα μὲν p. 256 M.
οἰκειώσεως τῆς πρὸς αὐτὰ τὸ ἁρμόττον τέλος οὐ λαμβάνει, προσγενομένης
δὲ φιλίας καὶ τῆς πρὸς τὸ ποθούμενον συντήξεως ἄκρως κατορθοῦται.
158 (46.) αὕτη τροφὴ ψυχῆς ἀσκητικῆς, ἥδιστον ἀντὶ πικροῦ τὸ πονεῖν
ὑπολαβεῖν, ἧς οὐχ ἅπασι κοινωνῆσαι θέμις, ἀλλ' οἷς ὁ χρυσοῦς μόσχος,

---

1 πολιὸν D: τὸν U 2 διὰ om. D τὴν τέχνην U: τέχνην D δὲ U: τε v 4 lacuna sic fere explenda: ⟨σοφία θεοῦ, διάφορον δὲ πηγὴ καὶ φρέαρ, ἡ μὲν⟩ 5 ὁ alterum seclusi 6 ἀνέφηνεν Holwerda, ἠφάνιστο conicio 13 Μέροις U, Μερρᾷ Mang. 14 αἱ Mang.: ὁ U 17 ἐπαγόμεναι scripsi: ἑλαυνόμεναι U 19 τιθασσείας U 26 αὐτὰ Holwerda: αὐτὸ U 27 συντεύξεως coni. Mang. 28 αὐτή U 29 χρυσοῦς Tisch.: χρυσὸς U

---

28. 29 DR fol. 274r τοῦ αὐτοῦ (Anton. Mel. II 46 col. 1123): αὕτη — ὑπολαμβάνειν.

τὸ Αἰγυπτίων ἀφίδρυμα, τὸ σῶμα, πυρωθὲν καὶ λεανθὲν σπείρεται καθ' ὕδατος. λέγεται γὰρ ἐν ἱεραῖς βίβλοις, ὅτι „λαβὼν Μωυσῆς τὸν μόσχον κατέκαυσε πυρὶ καὶ κατήλεσε λεπτὸν καὶ ἔσπειρεν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισε τοὺς υἱοὺς Ἰσραήλ“ (Exod. 32,20). ὁ γὰρ φιλάρετος ὑπὸ 159
τῆς αὐγοειδοῦς τοῦ καλοῦ φαντασίας πυρωθεὶς καταφλέγει τὰς σωματικὰς ἡδονάς, εἶτα κατακόπτει καὶ ἐπιλεαίνει τῷ ἀπὸ διαιρέσεως λόγῳ χρώμενος, καὶ διδάσκει τὸν τρόπον τοῦτον ὅτι τῶν σωματικῶν ἀγαθῶν ἐστιν ὑγίεια ἢ κάλλος ἢ ἡ τῶν αἰσθήσεων ἀκρίβεια ἢ τὸ ὁλόκληρον μετὰ ἰσχύος καὶ ῥώμης κρατερᾶς, ἅ γε πάντα καὶ τῶν ἐπαράτων καὶ ἐξαγίστων ἐστὶ κοινά, ὧν, εἴπερ ἦν ἀγαθά, φαῦλος οὐδενὸς οὐδεὶς ἂν μετεῖχε. ἀλλ' οὗτοι μέν, εἰ καὶ παντάπασι μοχθηροί, ἀλλ' ἄνθρωποί 160
γε ὄντες καὶ τῆς αὐτῆς φύσεως τοῖς ἀστείοις κεκοινωνηκότες μετέχουσιν αὐτῶν. νυνὶ δὲ καὶ τῶν θηρίων τὰ ἀτιθασώτατα μᾶλλον τοῖς ἀγαθοῖς τούτοις, εἰ δὴ ἀγαθὰ πρὸς ἀλήθειάν ἐστιν, ἢ οἱ λογικοὶ κέχρηνται. τίς 161
γὰρ ἂν ἀθλητὴς πρὸς ταύρου δύναμιν ἢ ἐλέφαντος ἀλκὴν ἐξισωθείη; τίς δ' ἂν δρομεὺς πρὸς σκύλακος ἢ λαγωδαρίου ποδώκειαν; ὁ μὲν γὰρ ἀνθρώπων ὀξυδερκέστατος πρὸς ἱεράκων ἢ ἀετῶν ὄψιν ἀμβλυωπέστατος. ἀκοαῖς γε μὴν ἢ ὀσμαῖς πολλῷ τῷ περιόντι τὰ ἄλογα κεκράτηκεν, ὡς καὶ ὄνος μέν, τὸ δοκοῦν ἐν ζῴοις εἶναι νωθέστατον, κωφὴν ἂν ἀποδείξαι τὴν ἡμετέραν ἀκοὴν ἐλθὼν εἰς ἐπίκρισιν, κύων δὲ περιττὸν ἐν ἀνθρώπῳ μυκτῆρας μέρος δι' ὑπερβολὴν τοῦ περὶ τὰς ὀσμὰς τάχους· ἐξικνοῦνται γὰρ ἐπὶ μήκιστον, ὡς ὀφθαλμῶν ἀμιλλᾶσθαι φορᾷ. (47.) καὶ τί δεῖ 162
περὶ ἑκάστου διεξιόντα μακρηγορεῖν; ἤδη γὰρ τοῦτο παρὰ τοῖς δοκιμωτάτοις τῶν πάλαι λογίων ὡμολόγηται, οἳ τῶν μὲν ἀλόγων μητέρα τὴν
p. 257 M. φύσιν, ἀνθρώπων δὲ μητρυιὰν | ἔφασαν εἶναι, τὴν κατὰ σῶμα τῶν μὲν
26 ἀσθένειαν, τῶν δὲ ὑπερβάλλουσαν ἐν ἅπασιν ἰσχὺν κατανοήσαντες.

---

1 Αιγύπτιον conicio 5 αὐτοειδοῦς U 6 ἐπιλεαίνει Mang.: ἐπελαύνει U ἀπὸ διαιρέσεως U: ἀεὶ διαιρέτῃ coni. Mang., αἰτίῳ διαιρέσεως conicio 7. 8 σωματικῶν ⟨οὐδὲν⟩ ἀγαθόν ἐστιν conicio 9 ἅ γε scripsi: ἀλλά γε U, ἅτινα Mang., ἄλλα τε, ἃ coni. Holwerda, ἅμα γὰρ Cohn 11 μετεῖχε scripsi: μετέχῃ U, μετέχοι coni. Tisch. 13 ἀτιθασσότατα U 15 ἀλκὴν U: ἀρχὴν R 16 λαγωδαρείου U 17 ἱεράκων scripsi (cf. II p. 38,33 M): δορκάδων U 18 ἄλογα Tisch.: ἄλλα U κεκράτηκε U ὡς Mang.: ἢ ὡς U 19 καὶ ὄνος m² in mg., κόνος in textu U ἀποδείξαι Holwerda: ἀποδείξῃ U 21 μυκτῆρας U (non μυκτῆρα, ut Tisch. adnot.) 25 μητρυὰν U σῶμα τῶν Holwerda: σωμάτων U, σώματα Mang. 26 τῶν δὲ Mang.: τὴν δὲ U

14—16 R fol. 91ᵛ: τίς γὰρ — ποδώκειαν 23 cf. locos a Nordenio collectos in vol. XVIII supplementi annalium philologicorum p. 305.

εἰκότως οὖν κατήλεσε τὸν μόσχον ὁ τεχνίτης, τουτέστιν εἰς μέρη διελὼν τὰ οἷς σῶμα πλεονεκτεῖ πάντα τοῦ πρὸς ἀλήθειαν ἐπέδειξεν ἀγαθοῦ μακρὰν διεστῶτα καὶ μηδὲν τῶν ἐφ' ὕδατος σπειρομένων διαφέροντα.
163 διὸ καὶ τὸν καταλεσθέντα μόσχον ἐπὶ τὸ ὕδωρ λόγος κατέχει σπαρῆναι, τοῦ μηδὲν γνήσιον ἀγαθοῦ φυτὸν ἐν ὕλῃ φθαρτῇ ποτε δύνασθαι βλαστάνειν σύμβολον. ὡς γὰρ εἰς ποταμοῦ ῥεῦμα ἢ θαλάττης καταβληθὲν σπέρμα τὰς ἰδίους οὐκ ἂν ἐπιδείξαιτο δυνάμεις — ἀμήχανον γάρ, εἰ ⟨μὴ⟩ ῥίζαις ὥσπερ ἀγκύραις ἐχυροῦ τινος γῆς μέρους ἅπαξ λαβόμενον ἱδρυθείη, ἢ ἔρνος ἀναβλαστῆσαι, καὶ εἰ μὴ περιμηκέστατον, ἀλλά τοι χαμαίζηλον, ἢ καρποὺς καθ' ὥρας τὰς ἐτησίους ἐνεγκεῖν· φθάνει γὰρ τοὺς σπερματικοὺς ἅπαντας τόνους ἡ τοῦ ὕδατος πολλὴ καὶ βίαιος ἀποκλύσασα φορά —, τὸν αὐτὸν τρόπον ὅσα τοῦ τῆς ψυχῆς ἀγγείου λέγεταί τε καὶ ᾄδεται πλεονεκτήματα πρὶν ὑποστῆναι φθείρεται
164 τῆς σωματικῆς οὐσίας αἰεὶ ῥεούσης. πῶς γὰρ νόσοι καὶ γῆρας καὶ παντελεῖς ἐπεγίνοντο φθοραί, εἰ μὴ συνεχὴς ἦν λόγῳ θεωρητῶν ῥευμάτων ἀπάντλησις; τούτοις οὖν ποτίζειν ἀπαξιοῖ ⟨ὁ⟩ ἱεροφάντης τὴν διάνοιαν ἡμῶν τῷ καταφλέξαι τὰς ἡδονάς, τῷ τὸ σύστημα τῶν σωματικῶν ἀγαθῶν εἰς λεπτὸν καὶ ἀνωφελῆ χοῦν καταλέσαντας ἀναλῦσαι, τῷ ὑπολαβεῖν ὅτι ἐξ οὐδενὸς αὐτῶν ἐβλάστησέ ποτε καὶ ἤνθησε τὸ πρὸς ἀλήθειαν καλόν, ὥσπερ οὐδ' ἐκ σπερμάτων ἃ σπείρεται καθ' ὕδατος.
165 (48.) ταῦροι δὲ καὶ κριοὶ καὶ τράγοι, οὓς Αἴγυπτος διὰ τιμῆς ἔχει, καὶ ὅσα ἄλλα φθαρτῆς ὕλης ἀφιδρύματα, ἀκοῇ μόνον νομίζονται θεοί, πρὸς ἀλήθειαν οὐκ ὄντες, ψευδώνυμοι πάντες. ἀπαλαῖς γὰρ ἔτι ταῖς τῶν νέων ψυχαῖς οἱ τραγῳδίαν τὸν βίον τύφων ἐρώντων νομίζοντες κεκιβδηλευμένους χαρακτῆρας ἐναπομάττονται, διακόνοις ἀκοαῖς χρώμενοι, ὧν μυθικὸν λῆρον καταχέαντες καὶ μέχρι διανοίας αὐτῶν ἐντήξαντες θεοπλαστεῖν τοὺς τὰ φρονήματα ἄνδρας μὲν μηδέποτε γινομένους ἀεὶ δὲ

---

1 κατηλέησε U 3 μακρὰν Mang.: μακρὰ U 7 ἰδίας v 8 μὴ add. Mang. μέρους Mang.: μέρος U 9 ἱδρυθείη Cohn: ἱδρυνθῆναι U εἰ καὶ conicio 10 τοι U (non τι) 11 φθάνει U: φθείρει Mang. 12 ἀποκλύσασα Diels: προσκλύσαι U, προσκλύσασα Mang. 15 ἐπεγίνοντ' ἂν conicio λόγῳ Holwerda: λόγων U θεωρητῶν U: θεωρητικῶν ὡς Tisch., σπερματικῶν Mang. 16 ἐπάντλησις olim coniciebam ποτίζειν ἀπαξιοῖ m^2 in mg., propter rasuras legi non potest textus U (οὐκ ἀξιοῖ?) ἀξιοῖ Mang. ὁ add. Tisch. 18 καταλέσαντας Mang.: καταλύσαντας U 20 οὐδ' Holwerda: οὐκ U 24 τύφου γέμοντα conicio, τυφογερόντων coni. Tisch. βίον νομίζοντες, τύφων καὶ ἐρώτων coni. Mang. 25 ἐναπομάττοντες U, corr. Mang. 26 ὧν] τὸν Holwerda αὐτὸν Mang.

θηλυδρίας ὄντας ἠνάγκασαν. ὁ γοῦν μόσχος οὐκ ἐξ ἅπαντος τοῦ 166
p. 258 M. γυναικείου κόσμου κατασκευάζεται, ἀλλ' ἐκ τῶν ἐνωτίων | αὐτὸ μόνον
(Exod. 32,2), διδάσκοντος ἡμᾶς τοῦ νομοθέτου ὅτι χειρόκμητος οὐδείς
ἐστιν ὄψει καὶ πρὸς ἀλήθειαν θεός, ἀλλ' ἀκοῇ καὶ τῷ νομίζεσθαι, καὶ
ἀκοῇ μέντοι γυναικός, οὐκ ἀνδρός· ἐκνενευρισμένης γὰρ ἔργον καὶ
ἐκτεθηλυμμένης τῷ ὄντι ψυχῆς τοὺς τοιούτους ὕθλους παραδέχεσθαι.
τὸ δὲ πρὸς ἀλήθειαν ὂν οὐ δι' ὤτων μόνον, ἀλλὰ τοῖς διανοίας ὄμμασιν 167
ἐκ τῶν κατὰ τὸν κόσμον δυνάμεων καὶ ἐκ τῆς συνεχοῦς καὶ ἀπαύστου
τῶν ἀμυθήτων ἔργων φορᾶς κατανοεῖσθαί τε καὶ γνωρίζεσθαι συμβέβηκε.
διόπερ ἐν ᾠδῇ μείζονι λέγεται ἐκ προσώπου τοῦ θεοῦ· „ἴδετε ἴδετε,
ὅτι ἐγώ εἰμι“ (Deut. 33,39), τοῦ ὄντως ὄντος ἐναργείᾳ μᾶλλον [ἀντι-]
καταλαμβανομένου ἢ λόγων ἀποδείξει συνισταμένου. τὸ δ' ὁρατὸν 168
εἶναι τὸ ὂν οὐ κυριολογεῖται, κατάχρησις δ' ἐστὶν ἐφ' ἑκάστην αὐτοῦ
τῶν δυνάμεων ἀναφερομένου. καὶ γὰρ νῦν οὗ φησιν· ἴδετε ἐμέ —
ἀμήχανον γὰρ τὸν κατὰ τὸ εἶναι θεὸν ὑπὸ γενέσεως τὸ παράπαν
κατανοηθῆναι —, ἀλλ' ὅτι ἐγώ εἰμι ἴδετε, τουτέστι τὴν ἐμὴν ὕπαρξιν
θεάσασθε. ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ μέχρι τοῦ καταμαθεῖν ὅτι
ἔστι τε καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον προελθεῖν· περαιτέρω δὲ
σπουδάζειν τρέπεσθαι, ὡς περὶ οὐσίας ἢ ποιότητος ζητεῖν, ὠγύγιός τις
ἠλιθιότης. οὐδὲ γὰρ Μωυσῇ τῷ πανσόφῳ κατένευσεν ὁ θεὸς τοῦτό γε, 169
καίτοι γε μυρίας ποιησαμένῳ δεήσεις, ἀλλὰ χρησμὸς ἐξέπεσεν αὐτῷ, ὅτι
„τὰ μὲν ὀπίσω θεάσῃ, τὸ δὲ πρόσωπον οὐκ ὄψει“ (Exod. 33,23)·
τοῦτο δ' ἦν· πάνθ' ὅσα μετὰ τὸν θεὸν τῷ σπουδαίῳ καταληπτά, αὐτὸς
δὲ μόνος ἀκατάληπτος· ἀκατάληπτός γε ἐκ τῆς ἀντικρὺς καὶ κατ'
εὐθυωρίαν προσβολῆς — διὰ γὰρ ταύτης οἷος ἦν ἐμηνύετ' ἄν —, ἐκ
δὲ τῶν ἑπομένων καὶ ἀκολούθων δυνάμεων ⟨καταληπτός⟩· αὗται γὰρ
οὐ τὴν οὐσίαν, τὴν δ' ὕπαρξιν ἐκ τῶν ἀποτελουμένων αὐτῷ παριστᾶσι.
(49.) Γεννήσας τοίνυν ὁ νοῦς ἀρχὴν σπουδαίας διαθέσεως καὶ ἀρετῆς 170
τινα πρῶτον τρόπον τὸν Σήθ, τὸν ποτισμόν, ἐπινεανιεύεται καλὴν καὶ
ὁσίαν νεανιείαν. φησὶ γάρ· „ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἕτερον

---

3 χειρόκμητον οὐδὲν conicio 6 ἐκτεθηλυμμένης scripsi: ἐκτεθηλυμένης U
7 ὤτων, ἀλλὰ μόνοις τοῖς conicio 11 ἐν ἀργία U ἀντι seclusit Cohn
14 ἀναφερομένη coni. Mang. 18 τε Mang.: τι U 19 τρέπεσθαι] φέρεσθαι
coni. Mang. περιουσίας U ὠσγύγιός U, ὡς διωλύγιός coni. Mang.
24 γε scripsi: δὲ U 25 εὐθυωρίαν Mang.: εὐθὺ θεωρίαν U 26 καταληπτός
addidi 27 οὐσίαν Mang.: ἰδέαν U αὐτῷ scripsi: αὐτοῖς U
29 πρῶτον τρόπον] πρωτόγονον conicio 30 ἐξανέστησε ex LXX Mang.: ἐξανέ-
στησας U

ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάιν“ (Gen. 4,25). ἐξητασμένως γὰρ καὶ περιττῶς εἴρηται τὸ μηδὲν τῶν θείων σπερμάτων χαμαὶ πίπτειν, ἅπαντα
171 δὲ εἰς τὸ ἄνω χωρεῖν ἀπὸ τῶν περιγείων ἐξανιστάμενα. τὰ μὲν γὰρ ὑπὸ τῶν θνητῶν καταβαλλόμενα σπέρματα πρὸς ζῴων | ἢ φυτῶν γένεσιν p. 259 M.
οὐ πάντα τελεσιουργεῖται, ἀγαπητὸν δ' εἰ μὴ τὰ φθειρόμενα πλείω τῶν διαμενόντων ἐστί· σπείρει δ' ὁ θεὸς ἐν ψυχαῖς ἀτελὲς οὐδέν, ἀλλ' οὕτως καίρια καὶ τέλεια, ὡς εὐθὺς ἐπιφέρεσθαι τὴν τῶν ἰδίων καρπῶν
172 πληθὺν ἕκαστον. (50.) τὸν δὲ Σὴθ σπέρμα ἕτερον εἰπὼν ἀναβλαστῆσαι, ὁποτέρου ἕτερον οὐ δεδήλωκε. ἁρά γε τοῦ δολοφονηθέντος Ἄβελ ἢ τοῦ κτείναντος Κάιν; ἀλλὰ μήποτε ἑκατέρου διαφέρει τὸ γέννημα, τοῦ μὲν Κάιν ὡς ἐχθρόν — δίψα γὰρ ἀρετῆς αὐτομολούσῃ κακίᾳ πολεμιώτατον —, τοῦ δὲ Ἄβελ ὡς φίλον καὶ συγγενές· ἕτερον γάρ, οὐ μὴν ἀλλότριον, τὸ ἄρτι ἀρχόμενον τοῦ τελείου καὶ τὸ πρὸς γένεσιν τοῦ πρὸς
173 τὸ ἀγένητον. διὰ τοῦθ' ὁ μὲν Ἄβελ τὸ θνητὸν ἀπολιπὼν πρὸς τὴν ἀμείνω φύσιν μεταναστὰς οἴχεται, ὁ δὲ Σὴθ ἅτε σπέρμα ὢν ἀνθρωπίνης ἀρετῆς οὐδέποτε τὸ ἀνθρώπων ἀπολείψει γένος, ἀλλὰ πρώτην μὲν παραύξησιν ἄχρι δεκάδος ἀριθμοῦ τελείου λήψεται, καθ' ἣν ὁ δίκαιος Νῶε συνίσταται, δευτέραν δὲ καὶ ἀμείνω τὴν ἀπὸ τοῦ παιδὸς αὐτοῦ Σὴμ εἰς ἑτέραν δεκάδα τελευτῶσαν, ἧς Ἀβραὰμ ὁ πιστὸς ἐπώνυμος, τρίτην δὲ καὶ τελεωτέραν δεκάδος ἑβδομάδα ἀπὸ τούτου μέχρι Μωυσῆ τοῦ πάντα σοφοῦ παρήκουσαν· ἕβδομος γὰρ ἀπὸ Ἀβραὰμ οὗτός ἐστιν, οὐκέτι κατὰ τὸν ἔξω τῶν ἁγίων κύκλον οἷα μύστης εἱλούμενος, ἀλλ'
174 ὥσπερ ἱεροφάντης ἐν τοῖς ἀδύτοις ποιούμενος τὰς διατριβάς. (51.) σκόπει δὲ τάς τε πρὸς βελτίωσιν ἐπιδόσεις τῆς ἁπλήστου καὶ ἀκορέστου τῶν καλῶν ψυχῆς καὶ τὸν ἀπερίγραφον τοῦ θεοῦ πλοῦτον, ὃς ἄλλοις ἀρχὰς τὰ ἑτέρων δεδώρηται τέλη. τὸ μὲν γὰρ πέρας τῆς κατὰ Σὴθ ἐπιστήμης ἀρχὴ τοῦ δικαίου γέγονε Νῶε, τὴν δὲ τούτου τελείωσιν Ἀβραὰμ ἄρχεται παιδεύεσθαι, ἡ δὲ ἀκροτάτη τοῦδε σοφία Μωυσέως ἐστὶν ἄσκησις ἡ
175 πρώτη. τοῦ δὲ ἀνωσμένου καὶ κλιθέντος ὑπὸ ψυχῆς ἀσθενείας Λὼτ αἱ δύο θυγατέρες, βουλὴ καὶ συγκατάθεσις, ἐκ τοῦ νοῦ τοῦ πατρὸς αὐτῶν ἐθέλουσι παιδοποιεῖσθαι (Gen. 19,32), μαχόμεναι τῷ λέγοντι· „ἐξανέστησέ μοι ὁ θεός“. ὃ γὰρ ἐκείνῳ τὸ ὄν, τοῦθ' αὑταῖς φασι τὸν

---

1 γὰρ] ἄγαν conicio 3 τὸ ἄνω U (non τὸν ἄνω) 4 ζῴων Mang.: ζωὴν U 10 διαφέρη U 14 ἀγέννητον U 16 πρώτην U (non πρῶτον) 19 Σὴμ εἰς Tisch.: ἡμεῖς U 22 τὸν Mang.: τὸ U 24 ἐπιδόσεις scripsi: ἐπιτάσεις U 27 δικαίου Mang.: δίκαιος U 28 αὔξησις coni. Mang. 29 ἀνεωσμένου conicio 31 αὐτῶν U 32 τοῦτ' αὐταῖς U

νοῦν περιποιεῖσθαι δύνασθαι, μεθυούσης καὶ παραφόρου ψυχῆς δόγμα
εἰσηγούμεναι· νήφοντος μὲν γὰρ ἔργον λογισμοῦ καὶ ⟨σώφρονος⟩ τὸν
θεὸν ὁμολογεῖν ποιητὴν καὶ πατέρα τοῦ παντός, πίπτοντος δ' ὑπὸ
μέθης καὶ παροινίας ἑαυτὸν ἑκάστου τῶν ἀνθρωπείων πραγμάτων εἶναι
δημιουργόν. πρότερον οὖν αἱ κακαὶ γνῶμαι εἰς ὁμιλίαν οὐκ ἀφίξονται 176
τῷ πατρί, πρὶν ἐπιφορῆσαι τὸν ἀφροσύνης πολὺν ἄκρατον καὶ εἴ τι
p. 260 M. συνετὸν ἦν ἐν αὐτῷ κατακλύσαι. γέγραπται | γὰρ ὅτι „ἐπότισαν τὸν
πατέρα οἶνον“ (Gen. 19,33)· ὥσθ' ὁπότε μὴ ποτίζουσιν, ὑπὸ νήφοντος
οὐδέποτε δέξονται σποράν ἔννομον, ὅταν δ' ὑποβεβρεγμένος κραιπαλᾷ,
κυοφορήσουσι καὶ ἐπιμέμπτοις μὲν ὠδῖσιν, ἐπαράτοις δὲ ταῖς γοναῖς
χρήσονται. (52.) διὸ καὶ Μωυσῆς τὴν ἀσεβῆ καὶ ἄναγνον αὐτῶν 177
σποράν συλλόγου θείου παντὸς ἀπεσχοίνισε· λέγει γάρ· „Ἀμμανῖται
καὶ Μωαβῖται οὐκ εἰσελεύσονται εἰς ἐκκλησίαν κυρίου“ (Deut. 23,2).
οὗτοι δ' εἰσὶν ἔγγονοι τῶν Λὼτ θυγατέρων, ὑπολαβόντες ἐξ αἰσθήσεως
καὶ νοῦ, ἄρρενός τε καὶ θήλεος, ὥσπερ ὑπὸ πατρὸς καὶ μητρὸς πάντα
γεννᾶσθαι, τοῦτο πρὸς ἀλήθειαν γενέσεως αἴτιον ὑπειληφότες. ἡμεῖς 178
μέντοι καὶ ἐὰν δεξώμεθά ποτε τὴν τροπὴν ταύτην, [καὶ] ὥσπερ ἐκ
κλύδωνος ἀνανηξάμενοι λαβώμεθα μετανοίας, ἐχυροῦ καὶ σωτηρίου
πράγματος, καὶ μὴ πρότερον μεθώμεθα ἢ κατὰ τὸ παντελὲς τὸ κυμαῖνον
πέλαγος, τὴν φορὰν τῆς τροπῆς, διεκδῦναι. καθὰ καὶ Ῥαχὴλ πρότερον 179
αἰτησαμένη τὸν νοῦν ὡς αἴτιον τοῦ ποιεῖν ἔκγονα καὶ ἀκούσασα· „μὴ
ἀντὶ θεοῦ ἐγώ εἰμι“; (Gen. 30,2) προσέσχε τε τῷ λεχθέντι καὶ
μαθοῦσα παλινῳδίαν ἱερωτάτην ἐποίησε· γέγραπται γὰρ Ῥαχὴλ παλι-
νῳδία, θεοφιλὴς εὐχή· „προσθέτω μοι ὁ θεὸς υἱὸν ἕτερον“ (Gen.
30,24), ἣν οὐδενὶ τῶν ἀφρόνων ἔξεστι ποιήσασθαι τὴν ἴδιον ἡδονὴν
αὐτὸ μόνον θηρωμένων, τὰ δ' ἄλλα πλατὺν γέλωτα καὶ χλεύην
νομιζόντων. (53.) χορηγὸς δ' ἐστὶ τούτου τοῦ δόγματος ὁ τοῦ δερμα- 180
τίνου Ἤρ συγγενὴς Αὐνάν. „γνοὺς“ γάρ φησιν „οὗτος ὅτι οὐκ αὐτῷ
ἔσται τὸ σπέρμα, ὅταν εἰσῆλθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ, ἐξέχει
τοῦτο ἐπὶ τὴν γῆν“ (Gen. 38,9) φιλαυτίας καὶ φιληδονίας ὑπερβεβηκὼς
τοὺς ὅρους. οὐκοῦν εἴποιμ' ἂν αὐτῷ· εἰ τὸ ἴδιον πορίζεις λυσιτελές, 181

---

2 σώφρονος addidi 7 κατακλύσαι scripsi: καταλύσαι U 9 ὑποβε-
βρεγμένος U (Mang.) (non ὑποβεβρεγκὸς ut Tisch. adnot.) 10 ⟨ταῖς⟩ ὠδῖσιν conicio
11 αὐτῶν U (non αὐτοῦ) 12 πάντως conicio 14 ἔκγονοι conicio
αἰσθήσεων U, corr. Mang. 16 ταῦτα et αἴτια coni. Cohn ὑπειληφότας U,
corr. Mang. 17 τροφὴν U, corr. Mang. καὶ seclusi 26 μόνον θηρωμένων
scripsi: μόνο ras. 2 litt. ηρωμένων U, μόνον τεθηρωμένων v χλεύην Mang.:
χλόην U 28 ἦρ U αὐνᾶν U 31 οὐκοῦν Tisch.: οὐκ ἂν U

πάνθ' ὅσα ἄριστα καταλύσεις, ἐὰν μηδὲν ἐξ αὐτῶν ὠφεληθῇς, τιμὰς γονέων, ἐπιμέλειαν γυναικός, παίδων ἀγωγάς, χρήσεις ἀμέμπτους οἰκετῶν, ἐπιτροπὴν οἰκίας, πόλεως προστασίαν, βεβαίωσιν νόμων, φυλακὴν ἐθῶν, τὴν πρὸς πρεσβυτέρους αἰδῶ, τὴν πρὸς τοὺς τετελευτηκότας εὐφημίαν, τὴν πρὸς τοὺς ζῶντας κοινωνίαν, τὴν πρὸς τὸ θεῖον ἐν λόγοις καὶ ἔργοις εὐσέβειαν; ἀνατρέπεις γὰρ καὶ ἐκχεῖς πάντα ταῦτα, σπείρων σεαυτῷ καὶ τιθηνούμενος τὴν | γάστριν καὶ ἀκόλαστον καὶ ἀρχὴν κακῶν p. 261 M.
182 ἁπάντων ἡδονήν. (54.) ἀφ' ἧς ἐξαναστὰς ὁ ἱερεὺς καὶ θεραπευτὴς τοῦ μόνου καλοῦ Φινεές, ὁ τῶν σωματικῶν στομίων καὶ τρημάτων δίοπος, ὡς μηδὲν αὐτῶν διαμαρτάνον ἐξυβρίζειν — ἑρμηνεύεται γὰρ στόματος φιμός —, λαβὼν τὸν σειρομάστην, τουτέστι μαστεύσας καὶ ἀναζητήσας τὴν τῶν ὄντων φύσιν καὶ μηδὲν σεμνότερον ἀρετῆς ἀνευρὼν κατεκέντει καὶ ἀνῄρει τῷ λόγῳ τὴν μισάρετον καὶ φιλήδονον γένεσιν καὶ τοὺς τόπους, ἐξ ὧν ἐβλάστησαν αἱ παράσημοι καὶ παράκοποι χλιδαί
183 τε καὶ θρύψεις. ὁ γὰρ νόμος ⟨φησὶν⟩ ὅτι διὰ τῆς μήτρας ἐξεκέντησε τὴν γυναῖκα (Num. 25,7.8). οὕτως οὖν καταπαύσας μὲν τὴν ἐν αὐτῷ στάσιν καὶ τὴν ἴδιον ἀποστραφεὶς ἡδονήν, ζηλώσας τὸν θεοῦ τοῦ πρώτου καὶ μόνου ζῆλον, ἆθλων τοῖς μεγίστοις δυσὶ τετίμηται καὶ κατέστεπται, εἰρήνῃ καὶ ἱερωσύνῃ· τῇ μέν, * * * ὅτι ἀδελφόν ἐστιν
184 εἰρήνῃ καὶ ὄνομα καὶ ἔργον. τὴν γὰρ ἱερωμένην διάνοιαν λειτουργὸν καὶ θεραπευτρίδα οὖσαν αὐτοῦ πάνθ' οἷς ὁ δεσπότης χαίρει πράττειν ἀνάγκη· χαίρει δὲ εὐνομίας καὶ εὐσταθείας βεβαιώσει, πολέμων δὲ καὶ στάσεων ἀνατροπῇ, οὐχὶ τῶνδε μόνων οὓς αἱ πόλεις ποιοῦνται πρὸς ἀλλήλας, ἀλλὰ καὶ τῶν κατὰ ψυχήν· μείζονες δ' εἰσὶν οὗτοι καὶ χαλεπώτεροι, ἅτε καὶ τὸ θειότερον τῶν ἐν ἡμῖν λογισμὸν αἰκιζόμενοι, τῶν ὅπλων ἄχρι τῆς σωμάτων καὶ χρημάτων ζημίας προερχομένων,
185 ψυχὴν δὲ ὑγιαίνουσαν μηδέποτε βλάψαι δυναμένων. διόπερ ὀρθῶς ἂν αἱ πόλεις ἐποίησαν, πρὶν ὅπλα καὶ μηχανήματα ἀντεπιφέρειν ἀλλήλαις

---

1 ὠφεληθῇς scripsi: ὠφελῆσαι U, ὠφέλησαι Tisch., ὠφελήσῃ Holwerda τιμὴν coni. Mang. 3 ἐθῶν Mang.: ἐθνῶν U 4 πρὸς ⟨τοὺς⟩ conicio 6 ἐκχεῖς Richter: ἔχεις U, οὐκ ἔχεις m² mg. U 8 ἀφ'] καθ' conicio 9 ῥημάτων Mang. 10 δι' ὁπὸς U 15 φησὶν add. Mang. 16 οὕτος coni. Mang. καταπαύσας Mang.: κατακαύσας U αὐτῷ U 19 ex libri De ebrietate § 75 lacunam sic fere expleo ὅτι τὸν ἐν ψυχῇ τῶν ἐπιθυμιῶν ἐμφύλιον πόλεμον κατέλυσε, τῇ δὲ ἱερωσύνῃ 21 αὐτοῦ] τοῦ θεοῦ conicio 23 ἀνατροπαὶ U τῶν δαιμόνων U 25 θειότατον coni. Mang. τῶν U: τὸν Mang. λογισμὸν U (non λογισμῶν) 26 ante ὅπλων add. ἐν ἡμῖν U, μέν Richter fort. αὐτὸ μόνον add. 28 ἄλλοις coni. Mang.

ἐπ' ἀνδραποδισμῷ καὶ ἀναστάσει παντελεῖ, τῶν πολιτῶν ἕκαστον ἀναπείσασαι τὴν ἐν αὐτῷ μεγάλην καὶ πολλὴν καὶ συνεχῆ στάσιν καταλῦσαι· αὕτη μὲν γὰρ πολέμων, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἁπάντων ἀρχέτυπόν ἐστιν, ἧς ἀναιρεθείσης οὐδ' οἱ κατὰ μίμησιν ἔτι συνιστάμενοι γενήσονται, βαθείας δὲ εἰρήνης χρῆσιν καὶ ἀπόλαυσιν σχήσει τὸ ἀνθρώπων γένος ὑπὸ νόμου φύσεως διδασκόμενον, ἀρετῆς, θεὸν τιμᾶν καὶ τῆς λειτουργίας αὐτοῦ περιέχεσθαι· πηγὴ γὰρ εὐδαιμονίας καὶ βίου μακραίωνος ἥδε.

---

3 καταλῦσαι scripsi: καταγήσαι U, καταπαῦσαι Tisch. αὐτῇ U 5 σχήσει Mang.: σχήσειν U 6 ἀρετῆς fort. corruptum (συνεχῶς?), δι' ἀρετῆς Tisch., αὐτῆς coni. Diels τιμᾶν U: τιμῆσαι Tisch.

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΓΙΓΑΝΤΩΝ

---

1 (1.) „Καὶ δὴ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι p. 262 M.
ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς“ (Gen. 6,1). ἄξιον οἶμαι
διαπορῆσαι, διὰ τί μετὰ τὴν Νῶε καὶ τῶν υἱῶν αὐτοῦ γένεσιν εἰς
πολυανθρωπίαν ἐπιδίδωσιν ἡμῶν τὸ γένος. ἀλλ' ἴσως οὐ χαλεπὸν
ἀποδοῦναι τὴν αἰτίαν· ἀεὶ γὰρ ἐπειδὰν τὸ σπάνιον φανῇ, πάμπολυ τὸ 5
2 ἐναντίον εὑρίσκεται. ἑνὸς οὖν εὐφυΐα τὴν περὶ μυρίους διαδείκνυσιν
ἀφυΐαν, καὶ τὰ τεχνικὰ μέντοι καὶ ἐπιστημονικὰ καὶ ἀγαθὰ καὶ καλὰ
ὄντα ὀλίγα τὴν τῶν ἀτέχνων καὶ ἀνεπιστημόνων καὶ ἀδίκων καὶ συνόλως
3 φαύλων ἄπειρον ὅσην πληθὺν ἐπεσκιασμένην ἀποφαίνει. οὐχ ὁρᾷς ὅτι
καὶ ἐν τῷ παντὶ ἥλιος εἷς ὢν τὸ μυρίον καὶ βαθὺ σκότος κατὰ γῆν καὶ 10
κατὰ θάλατταν κεχυμένον ἐπιλάμψας ἀνασκίδνησιν; εἰκότως οὖν καὶ ἡ
τοῦ δικαίου Νῶε γένεσις καὶ τῶν υἱῶν αὐτοῦ τοὺς ἀδίκους πολλοὺς
διασυνίστησι· τῷ γὰρ ἐναντίῳ τὰ ἐναντία πέφυκέ πως μάλιστα γνωρίζεσθαι.
4 ἄδικος δὲ οὐδεὶς ἄρρενα γενεὰν ἐν ψυχῇ σπείρει τὸ παράπαν, ἀλλὰ
θηλυγονοῦσιν ἐκ φύσεως ἄνανδροι καὶ κατεαγότες καὶ θηλυδρίαι τὰ 15
φρονήματα, δένδρον οὐδὲν ἀρετῆς, οὗ καλοὺς καὶ γενναίους ἐξ ἀνάγκης
ἔδει τοὺς καρποὺς γενέσθαι, πάντα δὲ κακίας καὶ παθῶν, ὧν γυναικώδεις

φίλωνος περὶ γιγάντων MAH, φίλωνος ἰουδαίου σοφοῦ περὶ γιγάντων λόγος η' U, τοῦ αὐτοῦ περὶ γιγάντων P 1 πολλοὶ γίνεσθαι] πληθύνεσθαι U 5 τι σπάνιον coni. Cohn σπάνιον ⟨ἀγαθὸν⟩ conicio 6 ἀνευρίσκεται U οὖν] τοῦ ἐν U διαδείκνυσιν] δεικνύντος U 7 τὰ om. U καὶ ἀγαθὰ καὶ om. U 9 ἀπαῖρον U ὅσην scripsi: ὅσον codd., corr. in οὖσαν H πλῆθος U ἀπεσκιασμένην HP, ταῖς κακίαις μενηγὸς (sic!) U 11 θάλασσαν U ἀποσκίδνησιν U καὶ om. U 12 υἱῶν] μερῶν U 13 τὸ ἐναντίον conicio 16 νοήματα L δένδρον U: ὢν ἄρα δένδρον M, ὢν ἄρα AP, ὡς ἄρα H, ὄντες, δένδρον coni. Diels οὗ MH: οὐ AUP 17 παθῶν] καρπῶν U 17. 43,1 ὧν αἱ γυναικώδεις εἰσὶ βλάσται U

αἱ βλάσται, φυτεύσαντες· οὗ χάριν θυγατέρας οἱ ἄνθρωποι οὗτοι γεννῆσαι 5
λέγονται, υἱὸν δὲ οὐδεὶς αὐτῶν. ἐπεὶ γὰρ ὁ δίκαιος ἀρρενογονεῖ Νῶε
τέλειον καὶ ὀρθὸν λόγον καὶ ἄρρενα ὄντως μετιών, θηλυτόκος ἡ κατὰ
p. 263 M. τοὺς πολλοὺς ἀδικία πάντως | ἀναφαίνεται· ἀμήχανον γὰρ τὰ αὐτὰ πρὸς
τῶν ἐναντίων, ἀλλὰ μὴ τὰ ἐναντία πάλιν γενέσθαι.

(2.) „Ἰδόντες δὲ οἱ ἄγγελοι τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, 6
ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο“
(Gen. 6,2). οὓς ἄλλοι φιλόσοφοι δαίμονας, ἀγγέλους Μωυσῆς εἴωθεν
ὀνομάζειν· ψυχαὶ δ' εἰσὶ κατὰ τὸν ἀέρα πετόμεναι. καὶ μηδεὶς ὑπολάβῃ 7
μῦθον εἶναι τὸ εἰρημένον· ἀνάγκη γὰρ ὅλον δι' ὅλων τὸν κόσμον
ἐψυχῶσθαι, τῶν πρώτων καὶ στοιχειωδῶν μερῶν ἑκάστου τὰ οἰκεῖα καὶ
πρόσφορα ζῷα περιέχοντος, γῆς μὲν τὰ χερσαῖα, θαλάττης δὲ καὶ
ποταμῶν τὰ ἔνυδρα, πυρὸς δὲ τὰ πυρίγονα — λόγος δὲ ἔχει ταῦτα κατὰ
Μακεδονίαν μάλιστα γίνεσθαι —, οὐρανοῦ δὲ τοὺς ἀστέρας. καὶ γὰρ 8
οὗτοι ψυχαὶ ὅλαι δι' ὅλων ἀκήρατοί τε καὶ θεῖαι, παρὸ καὶ κύκλῳ
κινοῦνται τὴν συγγενεστάτην νῷ κίνησιν· νοῦς γὰρ ἕκαστος αὐτῶν
ἀκραιφνέστατος. ἔστιν οὖν ἀναγκαῖον καὶ τὸν ἀέρα ζῴων πεπληρῶσθαι·
ταῦτα δὲ ἡμῖν ἐστιν ἀόρατα, ὅτιπερ καὶ αὐτὸς οὐχ ὁρατὸς αἰσθήσει.
ἀλλ' οὐ παρ' ὅσον ἀδύνατος ἡ ὄψις ψυχῶν φαντασιωθῆναι τύπους, διὰ 9
τοῦτ' οὔκ εἰσιν ἐν ἀέρι ψυχαί, καταλαμβάνεσθαι δ' αὐτὰς ἀναγκαῖον
ὑπὸ νοῦ, ἵνα πρὸς τῶν ὁμοίων τὸ ὅμοιον θεωρῆται. ἐπεὶ καὶ τί φήσομεν;
πάνθ' ὅσα χερσαῖα καὶ ἔνυδρα οὐκ ἀέρι καὶ πνεύματι ζῇ; τί δέ; οὐκ 10
ἀέρος κακωθέντος τὰ λοιμικὰ συνίστασθαι παθήματα φιλεῖ, ὡς ἂν αἰτίου
τῆς ψυχώσεως ἑκάστοις; τί δέ; ὁπότε ἀπήμων καὶ ἀβλαβὴς εἴη, ὁποῖον
ἐν ταῖς βορείοις μάλιστα αὔραις εἴωθε γίνεσθαι, οὐ καθαρωτέρου
σπῶντα τοῦ πνεύματος πρὸς πλείονα καὶ κραταιοτέραν διαμονὴν ἐπιδί-
δωσιν; ἆρ' οὖν εἰκὸς δι' οὗ τὰ ἄλλα, ἔνυδρά τε καὶ χερσαῖα, ἐψύχωται, 11
ἔρημον εἶναι ἢ ψυχῶν ἀμοιρεῖν; τοὐναντίον μὲν οὖν, εἰ καὶ τὰ ἄλλα

---

1 θυγατέρας post οὗτοι transpos. A 2 υἱῶν A 3 θηλυτόκος AUH²: θηλυκοτόκος MH¹P 4 τοὺς om. A 5 ἔμπαλιν coni. Mang. γενέσθαι MAP, mg. H: ἰδέσθαι text. H, γεννᾶσθαι U 8 οἱ ἄλλοι U Μωυσῆς ἀγγέλους U Μωσῆς MAHP 9 ποτώμεναι H¹P μήτις U ὑπολάβοι A 10 εἶναι τὸ evanida in U, τὸ fort. deest. 11 ἐμψυχῶσθαι H¹L 15 ὅλοι A ὅλαι δι' om. U παρ' ὃ AUP 18 εἰσιν H 19 οὐ] οὐδὲ PH¹ 20 ἐν om. H¹P 21 πρὸς τοῦ ὁμοίου conicio καὶ eras. H φήσωμεν U ut vid. 23 φιλίως ἀναιτίου U 24 ὁποῖος conicio 25 ταῖς] τοῖς H 26 πνεύματος] πατρὸς L ⟨πάντα⟩ πρὸς conicio πλείω A 28 ἔρημον εἶναι ἢ U: om. ceteri τὸ ἐναντίον A

πάντα ζῴων ἄγονα ἦν, μόνος ἀὴρ ὤφειλε ζωτοκῆσαι τὰ ψυχῆς κατ'
12 ἐξαίρετον χάριν παρὰ τοῦ δημιουργοῦ σπέρματα λαβών. (3.) τῶν οὖν
ψυχῶν αἱ μὲν πρὸς σώματα κατέβησαν, αἱ δὲ | οὐδενὶ τῶν γῆς μορίων p. 264 M.
ἠξίωσάν ποτε συνενεχθῆναι. ταύταις ἀφιερωθείσαις καὶ τῆς τοῦ πατρὸς
θεραπείας περιεχομέναις ὑπηρέτισι καὶ διακόνοις ὁ δημιουργὸς εἴωθε
13 χρῆσθαι πρὸς τὴν τῶν θνητῶν ἐπιστασίαν. ἐκεῖναι δ' ὥσπερ εἰς ποταμὸν
τὸ σῶμα καταβᾶσαι ποτὲ μὲν ὑπὸ συρμοῦ δίνης βιαιοτάτης ἁρπασθεῖσαι
κατεπόθησαν, ποτὲ δὲ πρὸς τὴν φορὰν ἀντισχεῖν δυνηθεῖσαι τὸ μὲν
14 πρῶτον ἀνενήξαντο, εἶτα ὅθεν ὥρμησαν, ἐκεῖσε πάλιν ἀνέπτησαν. αὗται
μὲν οὖν εἰσι ψυχαὶ τῶν ἀνόθως φιλοσοφησάντων, ἐξ ἀρχῆς ἄχρι
τέλους μελετῶσαι τὸν μετὰ σωμάτων ἀποθνήσκειν βίον, ἵνα τῆς ἀσωμάτου
15 καὶ ἀφθάρτου παρὰ τῷ ἀγενήτῳ καὶ ἀφθάρτῳ ζωῆς μεταλάχωσιν, αἱ δὲ
καταποντωθεῖσαι τῶν ἄλλων ἀνθρώπων ὅσοι σοφίας ἠλόγησαν ἐκδόντες
ἀστάτοις καὶ τυχηροῖς πράγμασιν ἑαυτούς, ὧν οὐδὲν εἰς τὸ κράτιστον
τῶν ἐν ἡμῖν, ψυχὴν ἢ νοῦν, ἀναφέρεται, πάντα δὲ ἐπὶ τὸν συμφυᾶ
νεκρὸν ἡμῶν, τὸ σῶμα, ἢ ἐπὶ τὰ ἀψυχότερα τούτου, δόξαν λέγω καὶ
χρήματα καὶ ἀρχὰς καὶ τιμὰς καὶ ὅσα ἄλλα ὑπὸ τῶν μὴ τεθεαμένων
τὰ πρὸς ἀλήθειαν καλὰ ἀπάτῃ ψευδοῦς δόξης ἀναπλάττεται ἢ ζωγραφεῖται.
16 (4.) ψυχὰς οὖν καὶ δαίμονας καὶ ἀγγέλους ὀνόματα μὲν διαφέροντα, ἓν
δὲ καὶ ταὐτὸν ὑποκείμενον διανοηθεὶς ἄχθος βαρύτατον ἀποθήσῃ δεισι-

---

1 ὦ φίλε U 2 post λαβὼν add. ἀθανάτου ψυχάς U 3 τὰ σώματα A
4 ἠξιώθησαν U ταύταις codd.: αἷς Mang. 5 περιεχομέναις UH²: περιεχομένας αἷς MAH¹P 6 ἐπιστασίαν scripsi: ἐπίστασιν MAUP, σύστασιν H 7 ποτὲ MAUE: τοτὲ HP δείνης U 8 ποτὲ MAUPE: τοτὲ H 9 ὥρμησαν MAH¹P: ὡρμήθησαν UH²E ἀνέπτησαν E: ἀπέπτησαν ceteri 10 ἀνόθως Mang.: ἄνωθέν πως MAHP, ἄνωθεν εὐσθενῶς UE 11 τὸν] τῶν A ἀποθνήσκει A 12 ἀγενήτῳ Hbr: ἀγεννήτῳ ceteri 13 καταποντωθεῖσαι MAHP: καταποθεῖσαι UE, καταποντισθεῖσαι L 14 πνεύμασιν H οὐδεὶς τὸ U 14. 15 τὸ — ἡμῖν om. E 15 τῶν ἐν ἡμῖν om. U δ' U 16 ψυχρότερα A 17 ὑπὸ MAHE: ἀπὸ UP 18 τὰ om. HP 19 οὖν δαίμονας HP ὀνόματι μὲν διαφέροντας E 20 ἀποθήσῃ H: ἀποθήσει MAP, ἀποθήσεις UE

---

2 sqq. *Origenes Contra Celsum V 55 p. 620:* καὶ τῶν πρὸ ἡμῶν τις ταῦτα ἀνήγαγεν εἰς τὸν περὶ ψυχῶν λόγον ἐν ἐπιθυμίᾳ γενομένων τοῦ ἐν σώματι ἀνθρώπων βίου, ἅπερ (leg. ὄνπερ) τροπολογῶν ἔφασκε λελέχθαι θυγατέρας ἀνθρώπων. *Comment. in Ioannem VI 25 p. 142:* ἥντινα κατάβασιν αἰνίσσεσθαί τινες ὑπειλήφασι τὴν τῶν ψυχῶν κάθοδον ἐπὶ τὰ σώματα, θυγατέρας ἀνθρώπων τροπικώτερον τὸ γήινον σκῆνος λέγεσθαι ὑπειληφότες.
6—45,8 ἐκεῖναι δ' ὥσπερ — ἀγγέλων πονηρῶν exstant in Epitome Περὶ κόσμου (= E) cap. 3, II p. 604,38—605,26 M. consensum codicum, non editionum lectiones adnotavi.
16 cf. Aristot. fr. 60.

δαιμονίαν. ὥσπερ γὰρ ἀγαθοὺς δαίμονας καὶ κακοὺς λέγουσιν οἱ πολλοὶ καὶ ψυχὰς ὁμοίως, οὕτως καὶ ἀγγέλους τοὺς μὲν τῆς προσρήσεως ἀξίους πρεσβευτας τινας ἀνθρώπων πρὸς θεὸν καὶ θεοῦ πρὸς ἀνθρώπους ἱεροὺς καὶ ἀσύλους διὰ τὴν ἀνυπαίτιον καὶ παγκάλην ταύτην ὑπηρεσίαν, τοὺς δ' ἔμπαλιν ἀνιέρους καὶ ἀναξίους τῆς προσρήσεως καὶ αὐτὸς ὑπολαμβάνων οὐχ ἁμαρτήσει. μαρτυρεῖ δέ μου τῷ λόγῳ τὸ παρὰ τῷ ὑμνογράφῳ 17
εἰρημένον ἐν ᾄσματι τούτῳ· „ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν“ (Psalm.
p. 265 M. 77,49). οὗτοί | εἰσιν οἱ πονηροὶ τὸ ἀγγέλων ὄνομα ὑποδυόμενοι, τὰς μὲν ὀρθοῦ λόγου θυγατέρας, ἐπιστήμας καὶ ἀρετάς, οὐκ εἰδότες, τὰς δὲ τῶν ἀνθρώπων θνητὰς θνητῶν ἀπογόνους ἡδονὰς μετερχόμενοι γνήσιον μὲν οὐδὲν ἐπιφερομένας κάλλος, ὃ διανοίᾳ μόνῃ θεωρεῖται, νόθον δὲ εὐμορφίαν, δι' ἧς ἡ αἴσθησις ἀπατᾶται. λαμβάνουσι δὲ οὐ πάσας 18
ἅπαντες τὰς θυγατέρας, ἀλλ' ἔνιοι ἐνίας ἐκ μυρίων ὅσων ἐπελέξαντο ἑαυτοῖς, οἱ μὲν τὰς δι' ὄψεως, ἕτεροι δὲ τὰς δι' ἀκοῆς, τὰς δ' αὖ διὰ γεύσεως καὶ γαστρὸς ἄλλοι, τινὲς δὲ τὰς μετὰ γαστέρα, πολλοὶ δὲ καὶ τῶν πορρωτάτω διῳκισμένων ἀντελάβοντο τὰς μηκίστας ἐν ἑαυτοῖς τείνοντες ἐπιθυμίας· ποικίλαι γὰρ ἐξ ἀνάγκης αἱ ποικίλων ἡδονῶν αἱρέσεις, ἄλλων ᾠκειωμένων ἄλλαις.

(5.) Ἐν δὴ τοῖς τοιούτοις ἀμήχανον τὸ τοῦ θεοῦ καταμεῖναι καὶ 19
διαιωνίσαι πνεῦμα, ὡς δηλοῖ καὶ αὐτὸς ὁ νομοθέτης. „εἶπε“ γάρ φησι „κύριος ὁ θεός· οὐ καταμενεῖ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας“ (Gen. 6,3). μένει μὲν γὰρ ἔστιν ὅτε, 20
καταμένει δ' οὐκ εἰσάπαν παρὰ τοῖς πολλοῖς ἡμῖν. τίς γὰρ οὕτως

---

1 γὰρ UE: om. MAH¹P, δὲ H² 2 οὕτω E τῆς] τῆς ἀγαθῆς H² προρρήσεως AE ἀξίους om. HP 3 πρεσβύτας U 3. 4 ἀσύλους καὶ ἱεροὺς HP 4 post ἀσύλους add. φύλακας E πανάλην (sic) U 5 προρρήσεως A καὶ αὐτὸς] καὶ ὑπαιτίους coni. Mang. 6 ἁμαρτήσεις UH²E 6. 7 λόγῳ ὁ ὑμνογράφος οὐτωσὶ λέγων E 7 τοῦτο U (coni. Mang.) 8 θυμὸν — ἀποστολὴν om. E ἀποστελεῖ A 9 οὗτοι] spat. 5 litt. M οἱ ante τὸ add. H² τὸ om. M 11 θνητὰς τῶν ἀνθρώπων HP θνητῶν θνητὰς U 13 εὐμορφίαν ἣ αἴσθησις ἀπάγεται U 14 ἐνίας MHP: ἐνίας ἃς A, ἃς U ὅσον A ἐπελέξαντο MAU: ἐξελέξαντο HP 15 δὲ om. HP 17 ἀντελάβοντο scripsi: ἀνελάβοντο codd. πρὸς μήκιστον τὰς ἐν conicio vel μηκίστας τὰς ἐν μηκίστας MAU: ἡκίστας (s. s. μ) P, ποικίλας in ras. H 18 τείναντες U(?) 19 ὠκειωμένων AH²: ὠκειουμένων U, οἰκειωμένων MH¹P 20 τὸ om. U 22 οὐ μὴ καταμείνῃ U εἰς om. U 23 μὲν om. U 24 καταμενεῖ AP οὐκ] οὐδ' H

---

2. 3 cf. Platonis Symposion p. 202 E

ἄλογος ἢ ἄψυχός ἐστιν, ὡς μηδέποτε ἔννοιαν τοῦ ἀρίστου μήθ' ἑκὼν μήτ' ἄκων λαβεῖν; ἀλλὰ γὰρ καὶ τοῖς ἐξαγίστοις ἐπιποτᾶται πολλάκις αἰφνίδιος ἡ τοῦ καλοῦ φαντασία, συλλαβεῖν δ' αὐτὴν καὶ φυλάξαι παρ'
21 ἑαυτοῖς ἀδυνατοῦσιν. οἴχεται γὰρ εὐθέως μεταναστᾶσα, τοὺς προσεληλυθότας οἰκήτορας νόμον καὶ δίκην ἐκδεδιητημένους ἀποστραφεῖσα, πρὸς οὓς οὐδ' ἄν ποτε ἦκεν, εἰ μὴ τοῦ διελέγξαι χάριν τοὺς ἀντὶ καλῶν
22 αἰσχρὰ αἱρουμένους. λέγεται δὲ θεοῦ πνεῦμα καθ' ἕνα μὲν τρόπον ὁ ῥέων ἀὴρ ἀπὸ γῆς, τρίτον στοιχεῖον ἐποχούμενον ὕδατι — παρό φησιν ἐν τῇ κοσμοποιίᾳ· „πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος“ (Gen. 1,2), ἐπειδήπερ ἐξαιρόμενος ὁ ἀὴρ κοῦφος ὢν ἄνω φέρεται ὕδατι βάσει χρώμενος —, καθ' ἕτερον δὲ τρόπον ἡ ἀκήρατος ἐπιστήμη, ἧς πᾶς ὁ
23 σοφὸς εἰκότως μετέχει. δηλοῖ δὲ ἐπὶ τοῦ τῶν ἁγίων ἔργων δημιουργοῦ καὶ τεχνίτου φάσκων, ὅτι „ἀνεκάλεσεν ὁ θεὸς τὸν Βεσελεὴλ καὶ ἐνέπλησεν αὐτὸν πνεύματος θείου, σοφίας, συνέσεως, ἐπιστήμης, ἐπὶ παντὶ ἔργῳ διανοεῖσθαι“ (Exod. 31, 2—3)· ὥστε τὸ τί ἐστι πνεῦμα
24 θεῖον ὁρικῶς διὰ τῶν λεχθέντων ὑπογράφεσθαι. (6.) τοιοῦτόν ἐστι καὶ τὸ Μωυσέως πνεῦμα, ὃ ἐπιφοιτᾷ τοῖς ἑβδομήκοντα πρεσβυτέροις τοῦ διενεγκεῖν ἑτέρων καὶ βελτιωθῆναι χάριν· | οἷς οὐδὲ πρεσβυτέροις πρὸς p. 266 M.
ἀλήθειαν ἔνεστι γενέσθαι μὴ μεταλαβοῦσι τοῦ πανσόφου πνεύματος ἐκείνου. λέγεται γὰρ ὅτι „ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ καὶ
25 ἐπιθήσω ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέρους“ (Num. 11,17). ἀλλὰ μὴ νομίσῃς οὕτως ἀφαίρεσιν κατὰ ἀποκοπὴν καὶ διάζευξιν γίνεσθαι, ἀλλ' οἷα

---

1 ἢ UH²: om. MAH¹P 3 συμφυλάξαι U 4 ἀμηχανοῦσιν U 4. 5 προσεληλυθότας UH¹P: προεληλυθότας MA, μετεληλυθότας H² 5 ἐκδεδιητημένους U: ἐκδεδιητημένοις MAP, ἐκδεδιητημένην H ἀποστραφεῖσα om. U 6 οὐδ'] οὐκ U 7 προαιρουμένους U 8 ἀπὸ MAH¹P: τὸ ἀπὸ U, ἐπὶ H² παρ' δ MAU 10 ἐξαιρούμενος P ὁ om. U 12 δ' U ἔργου HP 13 ὅτι ἀνεκάλεσεν HP: ὅταν ἐκάλεσεν MA, ὅτι ἐκάλεσε U ὁ θεὸς] κς U 14 ἐνέπλησεν] ἐπλήρωσεν U ἐπὶ] ἐν U 16 ὁριστικῶς U 17 Μωυσέος AHP ἐπεφοίτησε U 18. 19 πρὸς ἀλήθειαν ἔνεστι προσγενέσθαι U, ἔνεστι γενέσθαι πρὸς ἀλήθειαν HP 19 μεταλαχοῦσι A 20 ἀπὸ om. U 22 post οὕτως add. τὴν H² γίνεσθαι καὶ διάζευξιν U

---

22 sqq. *Origenes Contra Celsum VI 70 p. 685:* ἀεὶ γὰρ ὁ θεὸς μεταδίδωσι τοῖς δυναμένοις μετέχειν αὐτοῦ τοῦ ἰδίου πνεύματος οὐ κατὰ ἀποτομὴν καὶ διαίρεσιν ἐγγινομένου τοῖς ἀξίοις, *Homilia in Numeros VI 2 p. 287:* quod dixit, quia assumens de spiritu Moysi dedit septuaginta senioribus spiritum, non ita intellegas, quasi materialem aliquam corporeamque substantiam auferens deus a Moyse in septuaginta secuerit portiones et ita unicuique seniorum exiguam particulam dederit. impium est ita intelligere naturam spiritus

γένοιτ' ἂν ἀπὸ πυρὸς, ὅ, κἂν μυρίας δᾷδας ἐξάψῃ, μένει μήδ' ὁτιοῦν ἐλαττωθὲν ἐν ὁμοίῳ. τοιαύτη τίς ἐστι καὶ τῆς ἐπιστήμης ἡ φύσις· τοὺς γὰρ φοιτητὰς καὶ γνωρίμους ἀποφήνασα ἐμπείρους πάντας κατ' οὐδὲν μέρος ἐλαττοῦται, πολλάκις δὲ καὶ πρὸς τὸ ἄμεινον ἐπιδίδωσιν, ὥσπερ φασὶ τὰς ἀπαντλουμένας πηγάς· καὶ γὰρ ἐκείνας λόγος ἔχει τότε μᾶλλον γλυκαίνεσθαι. αἱ γὰρ συνεχεῖς πρὸς ἑτέρους ὁμιλίαι μελέτην καὶ ἄσκησιν 26 ἐμποιοῦσαι ὁλόκληρον τελειότητα ἐργάζονται. εἰ μὲν οὖν τὸ ἴδιον αὐτοῦ Μωυσέως πνεῦμα ἤ τινος ἄλλου γενητοῦ τοσούτῳ πλήθει γνωρίμων ἔμελλε διανέμεσθαι, κἂν κατακερματισθὲν εἰς μοίρας τοσαύτας ἐμειοῦτο. νῦν δὲ τὸ ἐπ' αὐτῷ πνεῦμά ἐστι τὸ σοφόν, τὸ θεῖον, τὸ ἄτμητον, τὸ 27 ἀδιαίρετον, τὸ ἀστεῖον, τὸ πάντῃ δι' ὅλων ἐκπεπληρωμένον· ὅπερ ὠφελοῦν οὐ βλάπτεται οὐδὲ μεταδοθὲν ἑτέροις οὐδ' αὖ προστεθὲν ἐλαττοῦται τὴν σύνεσιν καὶ ἐπιστήμην καὶ σοφίαν. (7.) διὸ δὴ πνεῦμα 28 θεῖον μένειν μὲν δυνατὸν ἐν ψυχῇ, διαμένειν δὲ ἀδύνατον, ὡς εἴπομεν. καὶ τί θαυμάζομεν; οὐδὲ γὰρ ἄλλου τὸ παράπαν οὐδενὸς ἐχυρὰ καὶ βέβαιος ἐγγίνεται κτῆσις ἀντιρρεπόντων καὶ πρὸς ἑκάτερα ταλαντευόντων τῶν ἀνθρωπίνων πραγμάτων καὶ ἄλλοτε ἀλλοίας ἐνδεχομένων μεταβολάς. αἴτιον δὲ τῆς ἀνεπιστημοσύνης μέγιστον ἡ σὰρξ καὶ ἡ πρὸς σάρκα 29 οἰκείωσις· καὶ αὐτὸς δὲ ὁμολογεῖ φάσκων „διὰ τὸ εἶναι αὐτοὺς σάρκας" μὴ δύνασθαι τὸ θεῖον πνεῦμα καταμεῖναι. καίτοι καὶ γάμος καὶ παιδοτροφία καὶ πορισμὸς τῶν ἀναγκαίων ἀδοξία τε μετὰ ἀχρηματίας καὶ πραγματεῖαι, ὧν αἱ μὲν ἴδιαι αἱ δὲ κοιναί, καὶ μυρία ἄλλα, πρὶν σοφίαν

---

1 ἐξάψῃς conicio μένει post ὁμοίῳ posuit U 2 καὶ om. U τοὺς μὲν γὰρ U 3 ἅπαντας ἀποφήνασα ἐμπείρους κατ' U ἅπαντας P 8 Μωυσέως U: Μωσέως ceteri γεννητοῦ A γνωρίμων Mang.: γνώριμον U, γνωρίμω ceteri 10 νυνὶ U αὐτὸν P 12 οὐδὲ A: οὐ MPH¹, om. UH² μεταδοθὲν ἑτέροις om. U ἑτέροις M: ἑτέρῳ ceteri προστιθοῦν U 13 διὸ] αἱ U 14 post θεῖον add. εἰσὶ U καταμένειν coni. Mang. 15 οὐδενὸς om. U ὀχυρὰ P¹ 16 κτίσις A ἑκάτερα MAU, mg. H, mg. P: ἄλληλα text. HP 17 ἄλλας coni. Mang. ἐνδεχομένων UH: ἐκδεχομένων MAP μεταβολάς] τροπάς U 19 σάρκα U 22 πραγματειῶν αἱ U 22. 48,1 πρὶν ἀνομβρῆσαι σοφίαν ἀλλ' U

---

sancti. sed hoc modo figuram mystici huius sermonis adverte, quasi Moyses et spiritus qui erat in Moyse clarissimi cuiusdam luminis fuerit lucerna, ex qua alias septuaginta lucernas accenderit deus, ad quas ita principalis illius luminis splendor pervenerit, ut origo ipsa luminis nihil damni ex commercio derivationis acceperit. cf. *Augustini Quaest. libr. IV 55* 4—6 *Clem. Alex. Strom. I § 12 p. 323 P:* τὰ ῥεύματα ἐξαντλούμενα διειδέστερον ὕδωρ ἀναδίδωσι, τρέπεται δὲ εἰς φθορὰν ὧν μεταλαμβάνει οὐδείς.

30 ἀνθῆσαι, κατεμάραναν. ἀλλ' οὐδὲν οὕτως ἐμπόδιον πρὸς αὔξησιν αὐτῆς,
ὡς ἡ σαρκῶν φύσις. αὕτη γὰρ καθάπερ τις θεμέλιος ἀγνοίας καὶ
ἀμαθίας πρῶτος καὶ μέγιστος ὑποβέβληται, ᾧ τῶν εἰρημένων ἕκαστον
31 ἐποικοδομεῖται. ψυχαὶ μὲν γὰρ ἄσαρκοι καὶ ἀσώματοι ἐν τῷ τοῦ
παντὸς θεάτρῳ διημερεύουσαι θεαμάτων καὶ ἀκουσμάτων θείων, | ὧν p. 267 M.
ἄπληστος αὐτὰς εἰσελήλυθεν ἔρως, μηδενὸς κωλυσιεργοῦντος ἀπολαύουσιν. 6
ὅσαι δὲ τὸν σαρκῶν φόρτον ἀχθοφοροῦσι, βαρυνόμεναι καὶ πιεζόμεναι
ἄνω μὲν βλέπειν εἰς τὰς οὐρανίους περιόδους ἀδυνατοῦσι, κάτω δὲ
ἑλκυσθεῖσαι τὸν αὐχένα βιαίως δίκην τετραπόδων γῇ προσερρίζωνται.
32 (8.) παρὸ καὶ τὰς ἐκνόμους καὶ ἐκθέσμους ὁμιλίας τε καὶ μίξεις 10
ἐγνωκὼς ὁ νομοθέτης ἀναιρεῖν προοιμιάζεται τὸν τρόπον τοῦτον· „ἄνθρω-
πος ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐ προσελεύσεται
ἀποκαλύψαι ἀσχημοσύνην· ἐγὼ κύριος“ (Lev. 18,6). πῶς ἄν τις προ-
τρέψαιτο μᾶλλον σαρκὸς καὶ τῶν σαρκὸς οἰκείων καταφρονεῖν ἢ τοῦτον
33 τὸν τρόπον; καίτοι οὐκ ἀποτρέπει μόνον, ἀλλὰ καὶ παγίως ἀποφαίνεται, 15
ὅτι ὁ πρὸς ἀλήθειαν ἄνθρωπος οὐ προσελεύσεταί ποτε ἑκὼν ταῖς φίλαις
καὶ συγγενέσι σώματος ἡδοναῖς, ἀλλυτρίωσιν δὲ τὴν πρὸς αὐτὰς ἀεὶ
μελετήσει. τὸ μὲν οὖν μὴ ἅπαξ ἀλλὰ δὶς φάναι „ἄνθρωπος ἄνθρωπος“
σημεῖόν ἐστι τοῦ μὴ τὸν ἐκ σώματος καὶ ψυχῆς ἀλλὰ τὸν ἀρετῇ
κεχρημένον δηλοῦσθαι. ὄντως γὰρ ὁ ἀληθινὸς οὗτός ἐστιν, ὃν καὶ τῶν 20
παλαιῶν λύχνον τις μεσημβρίας ἁψάμενος πρὸς τοὺς πυνθανομένους
34 ἄνθρωπον ἔφη ζητεῖν. τὸ δὲ μὴ πρὸς πάντα οἰκεῖον προσέρχεσθαι τῆς
σαρκὸς ἔχει λόγον ἀναγκαῖον. ἕνια γὰρ προσετέον, οἷον αὐτὰ τὰ
ἐπιτήδεια, οἷς χρώμενοι ζῆν ἀνόσως καὶ ὑγιεινῶς δυνησόμεθα, τὰ δὲ

---

2 σαρκὸς U 3 ἕκαστος U 4 γὰρ om. A 5 θελημάτων H
6 αὐτὰς U: εἰς ταύτας MA, εἰς τοσαύτας P, εἰς τοσοῦτον H (sed υ et ον in ras.)
7 τὸν] τῶν AU τὸν φόρτον U 8 οὐρανίας, s. s. ους H ὁδοὺς U
9 προσερρίζονται A 10 παρ' ὃ U, παρ' ὧν corr. ex παρὸ A 12 ἄνθρωπος
om. UH¹, ἀνθρώπω AP¹ πρὸς πᾶσαν σάρκα οἰκίαν U 14. 15 τὸν τρόπον
τοῦτον U 16 ποτε om. U 17 αὐτὰ H², αὐτὴν P 18 ἄνθρωπος ἀνθρώπῳ A
19 prius τὸν om. P τὸν ἐν ἀρετῇ U 20 ὄντος A ὃν] ὃς corr. ex ὃν
A, ὁ U, ὡς coni. Mang. 20. 21 τὸν παλαιὸν A 21 τις] τῆς corr. ex τις A
ἐν μεσημβρίᾳ τις λύχνον U 22 πάντα τὰ οἰκεῖα U 23 ἀναγκαῖον] ἀναπτύξαι
ἄξιον coni. Mang. ἕνια μὲν γὰρ U προσεκτέον A 24 δὲ om. H¹P

18—20 *Origenes Homilia XXIV 2 in Numeros p. 363 (ad Num. 30,2):* quae est ista repetendi nominis causa? .... ille interior est homo ... in illo namque est habitaculum virtutum. *refutatur haec interpretatio in Augustini Locutionum libr. III 59 (ad Levit. 24,15)* 21 Laert. Diog. VI 41.

περιττὰ σκοραχιστέον, ὑφ' ὧν ἐξαπτόμεναι αἱ ἐπιθυμίαι τὰ σπουδαῖα
πάντα ῥύμῃ μιᾷ καταφλέγουσι. μὴ πρὸς πάντα οὖν τὰ τῇ σαρκὶ φίλα 35
αἱ ὀρέξεις ἀνηρεθίσθωσαν· ἡδοναὶ γὰρ αἱ ἀτίθασοι πολλάκις, ὅταν κυνῶν
τρόπον προσσαίνωσιν, ἐξ ὑποστροφῆς ἀνίατα ἔδακον. ὥστε τὴν ἀρετῆς
φίλην ὀλιγοδεΐαν πρὸ τῶν σώματος οἰκείων ἀσπαζόμενοι τὸν πολὺν καὶ
ἀνήνυτον ὄχλον ἀσπόνδων ἐχθρῶν καταλύωμεν. ἐὰν δέ πού τις καιρὸς
βιάζηται πλείω τῶν μετρίων καὶ ἱκανῶν λαμβάνειν, αὐτοὶ μὴ προσερχώ-
μεθα· λέγει γάρ· „οὐ προσελεύσεται αὐτὸς ἀποκαλύψαι ἀσχημοσύνην".
(9.) τί δὲ τοῦτό ἐστιν, ἄξιον ἀναπτύξαι· πολλάκις οὐ γενόμενοί τινες 36
πορισταὶ χρημάτων ἄφθονον ἔσχον περιουσίαν, ἕτεροι δὲ δόξαν οὐκ
ἐπιτηδεύσαντες ἐπαίνων δημοσίᾳ καὶ τιμῶν ἠξιώθησαν, τοῖς δὲ οὐδὲ
μικρὰν ἰσχὺν ἐλπίσασι μεγίστη προσεγένετο εὐτονία. μαθέτωσαν δὴ 37
πάντες οὗτοι μηδενὶ προσέρχεσθαι γνώμῃ τῶν εἰρημένων, τοῦτο δέ ἐστι
μὴ θαυμάζειν αὐτὰ καὶ ἀποδέχεσθαι πλέον τοῦ μετρίου κρίνοντας ἕκαστον
p. 268 M. αὐτῶν οὐκ | ἀγαθὸν [μόνον], ἀλλὰ καὶ μέγιστον κακόν, τὰ χρήματα, τὴν
δόξαν, τὴν σωμάτων δύναμιν. φιλαργύροις μὲν γὰρ ἡ πρὸς ἀργύριον,
φιλοδόξοις δὲ ἡ πρὸς δόξαν, φιλάθλοις δὲ καὶ φιλογυμνασταῖς ἡ πρὸς
ἰσχὺν πρόσοδος οἰκεία· τὸ γὰρ ἄμεινον, ψυχήν, τοῖς χείροσιν ἐκδεδώκασιν,
ἀψύχοις. ὅσοι δὲ ἐντὸς ἑαυτῶν εἰσι, τὰς λαμπρὰς καὶ περιμαχήτους 38
εὐπραγίας ὑπηκόους ἀποφαίνουσιν ὡς ἡγεμόνι τῷ νῷ, προσιούσας μὲν
δεχόμενοι πρὸς ἐπανόρθωσιν, μακρὰν δὲ ἀφεστηκυίαις οὐ προσερχόμενοι,
ὡς καὶ δίχα αὐτῶν δυνηθέντες ἂν εὐδαιμονῆσαι. ὁ δὲ μετιὼν καὶ κατ' 39
ἴχνος βαίνειν ἐθέλων αἰσχρᾶς ἀναπίμπλησι δόξης φιλοσοφίαν· οὗ χάριν
λέγεται „ἀποκαλύψαι τὴν ἀσχημοσύνην". πῶς γὰρ οὐκ ἐναργῆ καὶ
πρόδηλα τὰ ὀνείδη τῶν λεγόντων μὲν εἶναι σοφῶν, πωλούντων δὲ σοφίαν
καὶ ἐπευωνιζόντων, ὥσπερ φασὶ τοὺς ἐν ἀγορᾷ τὰ ὤνια προκηρύττοντας,
τοτὲ μὲν μικροῦ λήμματος, τοτὲ δὲ ἡδέος καὶ εὐπαραγώγου λόγου, τοτὲ
δὲ ἀβεβαίου ἐλπίδος ἀπὸ μηδενὸς ἠρτημένης ἐχυροῦ, ἔστι δ' ὅτε καὶ

---

3 ἀνηρεθίσθωσαν M: ἀνηρεθήσθωσαν A, ἀνερεθίσθωσαν UH¹P, ἀνερεθιζέσθωσαν H² ἀτίθασσοι AU, τιθασοὶ coni. Mang. 4 προσσαίνωσιν M: προσαίνωσιν HP, πρὸς ἕνωσιν A, προσγενῶσιν U ἐπιστροφῆς H 5 ὀλιγοδέειαν H¹P 6 καταλύωμεν PH¹: καταλύσωμεν U, καταλύομεν MAH² 7 ἱκανῶς P 7. 8 προσερχόμεθα A 9 δ' ἐστὶ τοῦτο U 10 τῶν χρημάτων HP 11 οὐδὲ] οὐ A 13 δ' ἐστὶ U 15 μόνον om. U οὐ μόνον οὐκ ἀγαθόν conicio 16 τὴν τῶν σωμάτων U 17 alterum δὲ om. MAH¹ 18 πρόσοδος] δύναμις U ψυχὴν MAUP, mg. H: τῆς ψυχῆς text. H 19 ἐντὸς ἑαυτῶν MA: ἐν τοῖς ἑαυτῶν U, ἑαυτῶν P, ἑαυτῶν ἐντός H 23 ἐμπίπλησι AH¹, sed ἐμπι in ras. A δόξης om. P 24 γὰρ om. A 25 φιλοσοφίαν U 27 ποτὲ ter A ἡδέως U 28 δὲ ἀβεβαίου] δι' ἀβεβαίου H², διὰ βεβαίου H¹, δὲ διὰ βεβαίου P, δὲ δι' ἀβεβαίου L αἰσχροῦ U

ὑποσχέσεων, αἳ διαφέρουσιν ὀνειράτων οὐδέν; (10.) τὸ δὲ ἐπιφερόμενον „ἐγὼ κύριος“ παγκάλως καὶ σφόδρα παιδευτικῶς εἴρηται. ἀντίθες γάρ, φησίν, ὦ γενναῖε, τὸ σαρκὸς ἀγαθὸν τῷ τῆς ψυχῆς καὶ τῷ τοῦ παντὸς ἀγαθῷ· οὐκοῦν τὸ μὲν σαρκός ἐστιν ἄλογος ἡδονή, τὸ δὲ ψυχῆς καὶ τοῦ παντὸς ὁ νοῦς τῶν ὅλων, ὁ θεός. ἐφάμιλλός γε ἡ ἀσύγκριτος σύγκρισις, ὡς παρὰ τὴν ἐγγὺς ὁμοιότητα ἀπατηθῆναι· εἰ μὴ καὶ τὰ ἔμψυχα ἀψύχοις ἐρεῖ τις καὶ τὰ λογικὰ ἀλόγοις καὶ ἡρμοσμένα ἀναρμόστοις καὶ περιττοῖς ἄρτια καὶ φωτὶ σκότος καὶ ἡμέραν νυκτὶ καὶ πάντα τἀναντία τοῖς ἐναντίοις τὰ αὐτὰ πρὸς ἀλήθειαν εἶναι. καίτοι καὶ εἰ ταῦτα τῷ γένεσιν ἐνδεδέχθαι κοινωνίαν τινὰ ἔχει καὶ συγγένειαν, ἀλλά γε ὁ θεὸς οὐδὲ τῷ ἀρίστῳ τῶν φύντων ὅμοιος, ὅτιπερ τὸ μὲν γέγονέ τε καὶ πείσεται, ὁ δ' ἐστὶν ἀγένητός τε καὶ ποιῶν ἀεί. καλὸν δὲ μὴ λιποτακτῆσαι μὲν τῆς τοῦ θεοῦ τάξεως, ἐν ᾗ τοὺς τεταγμένους πάντας ἀριστεύειν ἀνάγκη, αὐτομολῆσαι δὲ πρὸς τὴν ἄνανδρον καὶ κεκλασμένην ἡδονήν, ἣ βλάπτει μὲν τοὺς φίλους, ὠφελεῖ δὲ τοὺς ἐχθρούς. καινοτάτη γάρ τις αὐτῆς ἡ φύσις· οἷς μὲν ἂν ἐθελήσῃ τῶν ἰδίων ἀγαθῶν μεταδοῦναι, τούτους εὐθὺς ἐζημίωσεν, οὓς δ' ἂν ἀφελέσθαι, τὰ μέγιστα ὤνησε· βλάπτει μὲν γὰρ ὅταν διδῷ, χαρίζεται δὲ ὅταν ἀφαιρῆται. ἐὰν οὖν, ὦ ψυχή, προσκαλῆταί σέ τι τῶν ἡδονῆς φίλτρων, μετάκλινε σεαυτὴν καὶ ἀντιπεριάγουσα τὴν ὄψιν κάτιδε τὸ γνήσιον ἀρετῆς κάλλος καὶ ὁρῶσα ἐπίμεινον, ἄχρις ἂν ἵμερος ἐντακῇ σοι καὶ ὡς σιδηρῖτις λίθος ἐπισπάσηταί σε καὶ ἐγγὺς ἀγάγῃ καὶ ἐξαρτήσῃ τοῦ ποθουμένου. (11.) τὸ δὲ „ἐγὼ

---

2 εἴρηται MAH²: ἤρτηται PH¹, διήρηται U 4 τῆς ψυχῆς HP 5 ὁ θεός MA: θεός UHP γε scripsi: τε codd. ἡ (ἢ H) ἀσύγκριτος σύγκρισις MAH¹ (ἡ σύγκρισις H²)P: καὶ ἀσύγκριτος σύγκρισις U, καὶ ἀσύγκριτος ἡ σύγκρισις L, ἡ ἀσυγκρίτων σύγκρισις conicio 6 εἰ μὴ καὶ τὰ MΛ: μήκιστα U, εἰ καὶ μὴ P, εἰ καὶ H 7 ἄψυχα U τὰ om. L τὰ ἡρμοσμένα U 8 ἡμέρα M 9 πρὸς ἀλήθειαν εἶναι τὰ αὐτά HP εἰ καὶ U 10 ἐνεδέχη M 10. 11 ἀλλ' ὅ γε θεὸς U 11 φυτῶν U γεγονέναι P τε U: τι ceteri 12 πείσεται] φθαρήσεται U δέ U ἀγέννητος AU τε om. U δὲ] δὴ H² 13 λειποτακτῆσαι codd. χάριτος καὶ τάξεως U 16 αὐτῆς] αὕτη D μὲν γὰρ ἂν ἠθέλησε D ἐθελήσοι A (οι in ras.), θελήσῃ U ἰδίων MAUD: οἰκείων HP 16. 17 δοῦναι ἀγαθῶν D 17 δ' U 19 τίς P τῶν τῆς ἡδονῆς H 20 κάλλος om. A 21 ἄν σοι μέρος ἐντακῇ ἃ ἡ σιδηρῖτις U ἐκτακῇ A σιδηρῖτις U: σιδηρίτης ceteri ἐπισπάσεται U 22 ἐξαρτίσῃ Λ, ἐξαρτήσει U

13—18 DR fol. 244ᵛ Φίλωνος: οὐ καλὸν αὐτομολῆσαι πρὸς τὴν ἄνανδρον ἡδονήν — ὅταν ἀφαιρῆται.

p. 269 M. | κύριος" ἀκουστέον οὐ μόνον ἐν ἴσῳ τῷ „ἐγὼ τὸ τέλειον καὶ ἄφθαρτον καὶ
πρὸς ἀλήθειαν ἀγαθόν", οὗ περιεχόμενός τις τὸ ἀτελὲς καὶ φθαρτὸν καὶ
σαρκῶν ἠρτημένον ἀποστραφήσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ „ἐγὼ ὁ ἄρχων
καὶ [ὁ] βασιλεὺς καὶ δεσπότης". οὔτε δὲ ὑπηκόοις παρόντων ἡγεμόνων 46
οὔτε δούλοις δεσποτῶν ἀδικεῖν ἀσφαλές· ἐγγὺς γὰρ ὅταν ὦσιν οἱ κολασταί,
φόβῳ σωφρονίζονται οἱ ἐξ ἑαυτῶν μὴ πεφυκότες νουθετεῖσθαι. πάντα 47
γὰρ πεπληρωκὼς ὁ θεὸς ἐγγύς ἐστιν, ὥστε ἐφορῶντος καὶ πλησίον ὄντος
μάλιστα μὲν αἰδεσθέντες, εἰ δὲ μὴ τοῦτο, εὐλαβηθέντες γοῦν τὸ ἀνίκητον
τῆς ἀρχῆς αὐτοῦ κράτος καὶ τὸ φοβερὸν καὶ ἀπαραίτητον ἐν ταῖς
τιμωρίαις, ὁπότε τῇ κολαστηρίῳ χρῆσθαι δυνάμει διανοηθείη, ἠρεμήσωμεν
ἀδικοῦντες, ἵνα καὶ τὸ σοφίας πνεῦμα θεῖον μὴ ῥᾳδίως μεταναστὰν
οἴχηται, πάμπολυν δὲ χρόνον καταμείνῃ παρ' ἡμῖν, ἐπεὶ καὶ παρὰ
Μωυσεῖ τῷ σοφῷ· χρῆται γὰρ οὗτος ταῖς εἰρηνικωτάταις σχέσεσιν 48
ἢ ὡς ἑστὼς ἢ ὡς καθεζόμενος, ἥκιστα τρέπεσθαι καὶ μεταβολαῖς χρῆσθαι
πεφυκώς· λέγεται γὰρ ὅτι „Μωυσῆς καὶ ἡ κιβωτὸς οὐκ ἐκινήθησαν"
(Num. 14,44), ἤτοι παρ' ὅσον ὁ σοφὸς ἀχώριστος ἀρετῆς ἢ παρ' ὅσον
οὔτε ἀρετὴ κινητὸν οὔτε σπουδαῖος μεταβλητόν, ἀλλ' ἑκάτερον ὀρθοῦ
λόγου βεβαιότητι ἱδρυμένον· καὶ πάλιν ἐν ἑτέροις· „σὺ δὲ αὐτοῦ στῆθι 49
μετ' ἐμοῦ" (Deut. 5, 31). λόγιόν ἐστι τοῦτο χρησθὲν τῷ προφήτῃ·
στάσις τε καὶ ἠρεμία ἀκλινὴς ἡ παρὰ τὸν ἀκλινῶς ἑστῶτα ἀεὶ θεόν·
ἀνάγκη γὰρ ὑγιεῖ κανόνι τὰ παρατιθέμενα εὐθύνεσθαι. διὰ τοῦτό μοι 50
δοκεῖ καὶ ὁ περισσὸς τῦφος, ἐπίκλησιν Ἰοθόρ, καταπλαγεὶς τὴν ἀρρεπῆ
καὶ ἰσαιτάτην καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν προαίρεσιν τοῦ
σοφοῦ σχετλιάζειν καὶ ἀναπυνθάνεσθαι τὸν τρόπον τοῦτον· „διὰ τί σὺ
κάθησαι μόνος" (Exod. 18,14); ἰδὼν γάρ τις τὸν ἐν εἰρήνῃ συνεχῆ 51
πόλεμον ἀνθρώπων οὐ κατὰ ἔθνη καὶ χώρας καὶ πόλεις αὐτὸ μόνον

---

1 τῷ] τὸ Π¹P τέλειον τὸ ἄφθαρτον U 2 καὶ φθαρτὸν U: om. ceteri
3 σαρκῶν U: σαρκὶ ceteri ἐξηρτημένον coni. Mang. 4 ὁ om. U δὲ om.
HP 6 αὐτῶν ΠP 7 γὰρ] δὲ U 8 εἰ — εὐλαβηθέντες om. U
9 τὸ κράτος τῆς ἀρχῆς αὐτοῦ ΠP (τὸ del. Π²) 10 χρῆσθαι τῇ κολαστηρίῳ δυνάμει U ἠρεμήσωμεν MAUΠ: ἠρεμήσαμεν P, ἠρεμήσομεν Turn. 12 οἴχηται MU: οἴχεται A, οἰχήσεται ΠP 13 Μωσεῖ codd. ἠρεμαιοτάταις coni. Mang.
14 ὡς bis MA: om. UΠP 14 τρέπεσθαι MAUPΠ¹: τροπαῖς τε Π² καὶ om. U 14. 15 κεχρῆσθαι πεφυκός U 15 λέγεται U: λέγει ceteri ὅτι MAUP²: ὁ HP¹ Μωσῆς MAHP 17 οὔθ' ὁ σπουδαῖος U, οὔτε σπουδὴ A
19 λόγιον γάρ ἐστι HP 20 ἠρεμία παντελὴς ἢ U παρὰ] πρὸς conicio
ἀκλινῆ H¹P ἑστῶσα P θεὸν ⟨πρόσοδος⟩ conicio 22 ἐπίκλην U ἰέθρων U, εἰωθὼς A 23 ἰσαιτάτην MAU: ἰσοτάτην H, ἰσωτάτην P ἀναίρεσιν U
24 σχετλιάζει καὶ ἀναπυνθάνεται U 25 συνεχεῖ PΠ¹ 26 ἀνθρώπων om. H
κατὰ τὰ ἔθνη A πόλεις καὶ χώρας U

συνιστάμενον, ἀλλὰ καὶ κατ' οἰκίαν, μᾶλλον δὲ καὶ καθ' ἕνα ἄνδρα ἕκαστον, καὶ τὸν ἐν ταῖς ψυχαῖς ἄλεκτον καὶ βαρὺν χειμῶνα, ὃς ὑπὸ βιαιοτάτης φορᾶς τῶν κατὰ τὸν βίον πραγμάτων ἀναρριπίζεται, τεθαύμακεν εἰκότως, εἴ τις ἐν χειμῶνι εὐδίαν ἢ ἐν κλύδωνι κυμαινούσης θαλάττης
52 γαλήνην ἄγειν δύναται. ὁρᾷς ὅτι οὐδὲ ὁ ἀρχιερεὺς λόγος ἐνδιατρίβειν ἀεὶ καὶ ἐνσχολάζειν τοῖς ἁγίοις δόγμασι δυνάμενος ἄδειαν ἔσχηκεν ἀνὰ πάντα καιρὸν πρὸς | αὐτὰ φοιτᾶν, ἀλλ' ἅπαξ δι' ἐνιαυτοῦ μόλις (Lev. 16,2. 34); τὸ μὲν γὰρ μετὰ λόγου τοῦ κατὰ προφορὰν οὐ βέβαιον, ὅτι δυάς, τὸ δ' ἄνευ φωνῆς μόνῃ ψυχῇ τὸ ὂν θεωρεῖν ἐχυρώτατον, ὅτι κατὰ τὴν
53 ἀδιαίρετον ἵσταται μονάδα. (12.) ὥστε οὖν ἐν μὲν τοῖς πολλοῖς, τουτέστι τοῖς πολλὰ τοῦ βίου τέλη προτεθειμένοις, οὐ καταμένει τὸ θεῖον πνεῦμα, κἂν πρὸς ὀλίγον χρόνον ἀναστραφῇ, μόνῳ δὲ ἀνθρώπων εἴδει ἐνὶ παραγίνεται, ὃ πάντα ἀπαμφιασάμενον τὰ ἐν γενέσει καὶ τὸ ἐσωτάτω καταπέτασμα καὶ προκάλυμμα τῆς δόξης ἀνειμένῃ καὶ γυμνῇ τῇ διανοίᾳ
54 πρὸς θεὸν ἀφίξεται. οὕτως καὶ Μωυσῆς ἔξω τῆς παρεμβολῆς καὶ τοῦ σωματικοῦ παντὸς στρατοπέδου πήξας τὴν ἑαυτοῦ σκηνήν (Exod. 33, 7), τουτέστι τὴν γνώμην ἱδρυσάμενος ἀκλινῆ, προσκυνεῖν τὸν θεὸν ἄρχεται καὶ εἰς τὸν γνόφον, τὸν ἀειδῆ χῶρον, εἰσελθὼν αὐτοῦ καταμένει τελούμενος τὰς ἱερωτάτας τελετάς. γίνεται δὲ οὐ μόνον μύστης, ἀλλὰ καὶ ἱεροφάντης ὀργίων καὶ διδάσκαλος θείων, ἃ τοῖς ὦτα κεκαθαρμένοις
55 ὑφηγήσεται. τούτῳ μὲν οὖν τὸ θεῖον ἀεὶ παρίσταται πνεῦμα πάσης ὀρθῆς ἀφηγούμενον ὁδοῦ, τῶν δὲ ἄλλων, ὡς ἔφην, τάχιστα διαζεύγνυται, ὧν καὶ τὸν βίον ἐν εἴκοσι καὶ ἑκατὸν ἐτῶν ἀριθμῷ πεπλήρωκε· λέγει
56 γάρ· „ἔσονται αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσιν“ (Gen. 6,3). ἀλλὰ καὶ Μωυσῆς τῶν ἴσων γενόμενος ἐτῶν τοῦ θνητοῦ βίου μετανίσταται

---

1 συνιστάμενος PH¹ οἰκίας H² 2 καὶ τὸν UH²: καίτοι ceteri ψυκταῖς ἄληκτον U ὃς] ὡς U 4 ἢ codd.] καὶ Turn. 4. 5 γαλήνην ἄγειν κυμαινούσης θαλάσσης U 4 θαλάσσης UHP 5 οὐδὲ MHP: καὶ A, om. U 6 ἀεὶ ante τοῖς posuit U καὶ ἐνσχολάζειν om. A ἐνσχολάζειν MU: σχολάζειν HP ἐν τοῖς H δώμασι Mang. ἁγίοις] θείοις U ἔσχηκεν ἀνὰ MA: ἔσχηκεν ν (sic!) U, ἔσχηκε κατὰ HP 7 ἀλλὰ U μόλις] μόνον coni. Cohn 9 ὄν] οὔτε U ὀχυρότατον A 10. 11 τοῦτο δ' ἔστι τὸ εἰς πολλὰ U 11 τέλει A προτιθεμένοις U 12 ἀναστρέφῃ U, συναναστραφῇ coni. Mang. 13 ἀπαμφιασάμενος U 13. 14 τὰ ἐσώτατα καταπετάσματα καὶ προκαλύμματα H² 14 ἀνημμένῃ A 15 οὕτω U Μωσῆς MAHP 15. 16 παντὸς τοῦ σωματικοῦ U 20. 21 κεκαρμένοις U 21 τοῦτο μὲν οὖν ἀεὶ παρίσταται τὸ θεῖον U, τοῦτον μὲν οὖν τῷ θείῳ ἀεὶ παρίσταται A πνεύματι ex πνεῦμα corr. A 22 δ' U ἀναζεύγνυται HP 23 ὧν] ὡ U εἴκοσιν U ἐτῶν πεπεραιωκέναι λέγει U 24 ρκ' P

(Deut. 34,7). πῶς οὖν εἰκὸς ἰσοχρονίους εἶναι τοὺς ὑπαιτίους τῷ πανσόφῳ καὶ προφήτῃ; εἰς μὲν οὖν τὸ παρὸν ἀρκέσει τοῦτο εἰπεῖν, ὅτι τὰ ὁμώνυμα οὐ πάντως ἔσθ' ὅμοια, πολλάκις δὲ καὶ ὅλῳ γένει διέζευκται, καὶ ὅτι τὸ φαῦλον τῷ σπουδαίῳ δύναται μὲν καὶ ἀριθμοὺς καὶ χρόνους ἔχειν τοὺς ἴσους, ἐπεὶ καὶ δίδυμον εἰσάγεται, ἀπηρτημένας δὲ καὶ μακρὰν ἀλλήλων διῳκισμένας δυνάμεις. τὸν δὲ ἀκριβῆ λόγον τῶν εἴκοσι καὶ 57
ἑκατὸν ἐτῶν ὑπερθησόμεθα εἰς τὴν τοῦ προφητικοῦ βίου παντὸς ἐξέτασιν, ὅταν αὐτὸν ἱκανοὶ γενώμεθα μυεῖσθαι, νυνὶ δὲ τὰ ἑξῆς λέγωμεν.

(13.) „Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις“ 58
(Gen. 6,4). ἴσως τις τὰ παρὰ τοῖς ποιηταῖς μεμυθευμένα περὶ τῶν γιγάντων οἴεται τὸν νομοθέτην αἰνίττεσθαι πλεῖστον ὅσον διεστηκότα τοῦ μυθοπλαστεῖν καὶ τοῖς ἀληθείας ἴχνεσιν αὐτῆς ἐπιβαίνειν ἀξιοῦντα. παρὸ 59
καὶ εὐδοκίμους καὶ γλαφυρὰς τέχνας, ζωγραφίαν καὶ ἀνδριαντοποιίαν, ἐκ
p. 271 M. τῆς καθ' αὑτὸν πολιτείας | ἐξήλασεν, ὅτι τὴν τοῦ ἀληθοῦς ψευδόμεναι φύσιν ἀπάτας καὶ σοφίσματα δι' ὀφθαλμῶν ψυχαῖς εὐπαραγώγοις τεχνιτεύουσι. μῦθον μὲν οὖν οὐδένα περὶ γιγάντων εἰσηγεῖται τὸ παράπαν, 60
βούλεται δὲ ἐκεῖνό σοι παραστῆσαι, ὅτι οἱ μὲν γῆς, οἱ δὲ οὐρανοῦ, οἱ δὲ θεοῦ γεγόνασιν ἄνθρωποι· γῆς μὲν οἱ θηρευτικοὶ τῶν σώματος ἡδονῶν ἀπόλαυσίν τε καὶ χρῆσιν ἐπιτηδεύοντες αὐτῶν καὶ πορισταὶ τῶν συντεινόντων εἰς ἑκάστην, οὐρανοῦ δὲ ὅσοι τεχνῖται καὶ ἐπιστήμονες καὶ φιλομαθεῖς — τὸ γὰρ οὐράνιον τῶν ἐν ἡμῖν ὁ νοῦς (νοῦς δὲ καὶ τῶν κατ' οὐρανὸν ἕκαστον) τὰ ἐγκύκλια καὶ τὰς ἄλλας ἅπαξ ἁπάσας ἐπιτηδεύει τέχνας, παραθήγων καὶ ἀκονῶν ἔτι τε γυμνάζων καὶ συγκροτῶν ἐν τοῖς νοητοῖς αὐτόν —, θεοῦ δὲ ἄνθρωποι ἱερεῖς καὶ προφῆται, οἵτινες οὐκ 61
ἠξίωσαν πολιτείας τῆς παρὰ τῷ κόσμῳ τυχεῖν καὶ κοσμοπολῖται γενέσθαι, τὸ δὲ αἰσθητὸν πᾶν ὑπερκύψαντες εἰς τὸν νοητὸν κόσμον μετανέστησαν κἀκεῖθι ᾤκησαν ἐγγραφέντες ἀφθάρτων ⟨καὶ⟩ ἀσωμάτων ἰδεῶν πολιτείᾳ.

(14.) ὁ γοῦν Ἀβραὰμ μέχρι μὲν διατρίβων ἦν ἐν τῇ Χαλδαίων γῇ τε 62

---

1 ἰσοχρόνους U 2 καὶ om. UHP 3 γένει ὅλῳ HP 4 ὅτι om. HP
5 ἔχοντας ἴσους U 6 τὰς δυνάμεις H^2, λύσεις U τῶν] τὸν H 6. 7 ἑκατὸν καὶ εἴκοσιν U παντὸς ἐξέτασιν βίου U πάντως H^2 8 αὐτῶν UH^1P λέξομεν U 10 τις] ὅτι AP τὰ om. U τοῖς om. AU 12 καὶ] κἀν U τοῖς MAU: τῆς PH^1, τοῖς τῆς H^2 παρ' ὃ UH 13 εὐδοκίμους U: οὐ δοκίμους MA, δοκίμους PH^1, τὰς δοκίμους H^2 14 ἑαυτὸν U τἀληθοῦς U
16 οὖν UH^2: om. ceteri περὶ γιγάντων οὐδένα U 17 δὲ πάντως ἐκεῖνο U
18 θηρευτικοὶ codd.: θηρευταὶ Mang. „ex Mss.“ (??) 21 τῶν] τὸν A 22 ἑκάστων Turn. ἁπάσας om. U 23 τε] δὲ U 24 αὐτόν H^2: αὐτόν ceteri
25 τῆς ἐν κόσμῳ U 27 καὶ add. Mang. σωμάτων ἰδέαις ὁ U 28 διατρίβων ἦν] διέτριβεν conicio ἦν om. A

καὶ δόξῃ, πρὶν μετονομασθῆναι, καλούμενος Ἀβρὰμ ⟨ἦν⟩ ἄνθρωπος
οὐρανοῦ τήν τε μετάρσιον καὶ τὴν αἰθέριον φύσιν ἐρευνῶν καὶ τά τε
συμβαίνοντα καὶ τὰς αἰτίας καὶ εἴ τι ἄλλο ὁμοιότροπον φιλοσοφῶν — οὗ
χάριν καὶ προσρήσεως οἷς ἐπετήδευσεν ἔτυχεν οἰκείας· Ἀβρὰμ γὰρ ἑρμηνευ-
θεὶς πατήρ ἐστι μετέωρος, ὄνομα τοῦ τὰ μετέωρα καὶ ἐπουράνια περισκο- 5
πουμένου πάντα πάντῃ νοῦ πατρός, πατὴρ δὲ τοῦ συγκρίματος ὁ νοῦς ἐστιν
63 ὁ ἄχρις αἰθέρος καὶ ἔτι περαιτέρω μηκυνόμενος —· ὅταν δὲ βελτιωθεὶς μέλλῃ
μετονομάζεσθαι, γίνεται ἄνθρωπος θεοῦ κατὰ τὸ χρησθὲν αὐτῷ λόγιον
„ἐγώ εἰμι ὁ θεός σου· εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος“
64 (Gen. 17,1). εἰ δ' ὁ τοῦ κόσμου θεὸς καὶ μόνος ὢν θεὸς καὶ αὐτοῦ 10
κατὰ χάριν ἐξαίρετον ἰδίᾳ θεός, ἐξ ἀνάγκης δήπου καὶ αὐτὸς θεοῦ.
καλεῖται γὰρ πατὴρ ἐκλεκτὸς ἠχοῦς ἑρμηνευθεὶς Ἀβραάμ, ὁ τοῦ
σπουδαίου λογισμός· ἐξειλεγμένος τε γὰρ καὶ κεκαθαρμένος καὶ πατὴρ
φωνῆς ᾗ συνηχοῦμεν. ὁ δὲ τοιοῦτος τῷ ἑνὶ μόνῳ προσκεκλήρωται
θεῷ, οὗ γινόμενος ὀπαδὸς εὐθύνει τὴν ἀτραπὸν τοῦ παντὸς βίου βασι- 15
λικῇ τῷ ὄντι χρώμενος ὁδῷ τῇ τοῦ μόνου βασιλέως καὶ παντοκράτορος,
65 ἐπὶ μηδέτερα ἀποκλίνων καὶ ἐκτρεπόμενος. (15.) οἱ δὲ γῆς παῖδες τὸν
νοῦν ἐκβιβάσαντες τοῦ λογίζεσθαι καὶ | μεταλλοιώσαντες εἰς τὴν ἄψυχον p. 272 M.
καὶ ἀκίνητον σαρκῶν φύσιν — „ἐγένοντο γὰρ οἱ δύο εἰς σάρκα μίαν“,
ᾗ φησιν ὁ νομοθέτης (Gen. 2, 24) — τὸ ἄριστον ἐκιβδήλευσαν νόμισμα 20
καὶ τὴν μὲν ἀμείνω καὶ οἰκείαν τάξιν ἔλιπον, πρὸς δὲ τὴν χείρω καὶ
66 ἐναντίαν ηὐτομόλησαν ἄρξαντος τοῦ ἔργου Νεβρώδ· λέγει γὰρ ὁ νομο-
θέτης, ὅτι „οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς“ (Gen. 10, 8), ἑρμη-
νεύεται δὲ Νεβρὼδ αὐτομόλησις· οὐ γὰρ ἐξήρκεσε τῇ παναθλίᾳ ψυχῇ
μετὰ μηδετέρων στῆναι, ἀλλὰ προσχωρήσασα τοῖς ἐχθροῖς ὅπλα κατὰ 25
τῶν φίλων ἤρατο καὶ φανερῶς ἀνθεστῶσα αὐτοῖς ἐπολέμει. παρὸ καὶ

---

1 πρὶν ἂν H Ἀβραάμ U ἦν addidi 2 διερευνῶν HP 4 οἷς] ἧς AU ἐπετήδευσεν MA: ἐπετήδευεν U, ἐπιτετήδευκε H, ἐπετετήδευκε P τετύχηκεν HP Ἀβραὰμ HP, Ἀβραὰμ μὲν U 5 οὐράνια U 6 πάντῃ U: om. ceteri πατρὸς U: om. ceteri 7 ἄχρι codd. βελτιωθῇ μέλλει A 8. 9 λόγιον τὸ δὲ ἐγώ εἰμι ὁ θεός σου· περιπάτει εἰς πρόσωπόν μου καὶ γίνου τέλειος U 9 εὐαρεστήσει A 10 μόνος — καὶ om. U ὢν MAP: ἦν H, αὖ Mang. καὶ ante αὐτοῦ om. A 11 θεοῦ MU: θεὸς AHP 12 ᾗ χοῦς M 13 καὶ ante πατὴρ om. A πατρὸς U 14 ἑνὶ μόνῳ U: ἐπιμόνῳ ceteri 15 θεῷ H²: θεοῦ MAPH¹, om. U οὐ γένος ὀπαδὸς U γενόμενος Turn. 16 χρώμενος τῷ ὄντι HP μόνου] νοῦ M 18 ἐκβιβάζοντες U μεταλλοιώσαντες scripsi: μεταλλεύσαντες MHP, μεταλλεύοντες U, μεταβάλλοντες A, αὐτομολήσαντες coni. Mang. 20 ᾗ] οἳ A, ὧς L¹ 21 οἰκείαν καὶ ἀμείνω HP 25 μετὰ ἑτέρων A 26 ἤρξατο H ἀνθεστῶσ' U παρ' ὃ A

ἀρχὴν τῷ Νεβρὼδ τῆς βασιλείας ὑπογράφει Βαβυλῶνα, μετάθεσις δὲ καλεῖται Βαβυλών, συγγενὲς αὐτομολίᾳ καὶ ὄνομα ὀνόματι καὶ ἔργον ἔργῳ· παντὸς γὰρ αὐτομολοῦντος προοίμια γνώμης μεταβολὴ καὶ μετάθεσις. ἀκόλουθον ⟨οὖν⟩ ἂν εἴη λέγειν, ὅτι κατὰ τὸν ἱερώτατον Μωυσέα ὁ 67
5 μὲν φαῦλος, ὥσπερ ἄοικος καὶ ἄπολις καὶ ἀνίδρυτος καὶ φυγάς, οὕτως καὶ αὐτόμολος, ὁ δὲ σπουδαῖος βεβαιότατος σύμμαχος. τοσαῦτα εἰς γε τὸ παρὸν ἀρκούντως περὶ τῶν γιγάντων εἰρηκότες ἐπὶ τὰ ἀκόλουθα τοῦ λόγου τρεψώμεθα. ἔστι δὲ ταῦτα·

---

1 τὴν ἀρχὴν Turn. βαβυλὼν HP 2 συγγενὲς scripsi: συγγενὴς codd. ὄνομα om. U 2. 3 ἔργω ἔργον HP 3. 4 πρὸ οὐ μιᾶς γνώμης μεταβολὴν καὶ μετάθεσιν U 4 οὖν addidi Μωσέα MAHP 5 ὥσπερ — φυγάς om. U οὕτως] ὄντως U 6 σπουδαιότατος L εἰς] οἷς A γε om. U 7 ἀρκούντως om. U τῶν om. U 7. 8 αὖθις ἐπὶ τὰ ἀκόλουθα καιρῷ τῷ δεόντι τρεψώμεθα U 8 ἔστι δὲ ταῦτα om. U subscripsit φίλωνος περὶ γιγάντων U HP addunt: ἀκολούθω (leg. ἀκολουθεῖ) τὸ (τὲ H)· καὶ μετ᾽ ἐκεῖνο [καὶ], φησίν, ὡς ἂν εἰσεπορεύοντο ex p. 56,1

ΦΙΛΩΝΟΣ

ΟΤΙ ΑΤΡΕΠΤΟΝ

ΤΟ ΘΕΙΟΝ

---

1 (1.) „Καὶ μετ' ἐκεῖνο“ φησίν „ὡς ἂν εἰσεπορεύοντο οἱ ἄγγελοι τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγέννων αὐτοῖς“ (Gen. 6, 4). οὐκοῦν ἄξιον σκέψασθαι, τίνα ἔχει λόγον τὸ „μετ' ἐκεῖνο“. ἔστι τοίνυν ἀναφορὰ δεικνύουσά τι τῶν προειρημένων ἐναργέστερον.
2 προείρηται δὲ περὶ θείου πνεύματος, ὃ καταμεῖναι μέχρι τοῦ παντὸς αἰῶνος ἐν πολυσχιδεῖ καὶ πολυμόρφῳ ψυχῇ σαρκῶν ὄχλον βαρύτατον ἄχθος ἀνημμένῃ δυσεργότατον εἶπεν εἶναι. μετ' ἐκεῖνο δὴ | τὸ πνεῦμα p. 273 M.
3 οἱ ἄγγελοι πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων εἰσίασιν. ἕως μὲν γὰρ ἐλλάμπουσι τῇ ψυχῇ καθαραὶ φρονήσεως αὐγαί, δι' ὧν τὸν θεὸν καὶ τὰς αὐτοῦ δυνάμεις ὁρᾷ ὁ σοφός, οὐδεὶς τῶν ψευδαγγελούντων ἐπεισέρχεται τῷ λογισμῷ, ἀλλ' ἔξω περιρραντηρίων ἅπαντες εἴργονται· ὅταν δὲ ἀμυδρωθὲν ἐπισκιασθῇ τὸ διανοίας φῶς, οἱ τοῦ σκότους ἑταῖροι παρευημερήσαντες πάθεσι τοῖς κατεαγόσι καὶ τεθηλυμμένοις, ἃς θυγατέρας εἴρηκεν ἀνθρώπων, συνέρχονται καὶ γεννῶσιν ἑαυτοῖς, οὐ τῷ θεῷ. τὰ μὲν γὰρ
4 οἰκεῖα τοῦ θεοῦ γεννήματα αἱ ὁλόκληροι ἀρεταί, τὰ δὲ συγγενῆ φαύλων

φίλωνος ὅτι ἄτρεπτον τὸ θεῖον MAGH, φίλωνος ἰουδαίου ὅτι ἄτρεπτόν ἐστι τὸ θεῖον λόγος θ' U, περὶ τοῦ ὅτι ἄτρεπτόν ἐστι τὸ θεῖον F, τοῦ αὐτοῦ ὅτι ἄτρεπτον τὸ θεῖον P, cf. Prolegomena 2 ἐγέννων MA: ἐγεννῶσαν ceteri αὐτοῖς A: αὐτοῖς ceteri 3 οὐκ ἀνάξιον U 4 διαφορὰ UF ἐναργέστατον P 5 τοῦ om. UF 6 πολυσχεδεῖ UFH¹L πολυτρόπῳ coni. Mang. ὄχλον] ὄγκον coni. Mang. 7 εἶπεν A: εἰπεῖν ceteri 9 ἐλλάμπουσι MAH²: ἐκλάμπουσι ceteri 10 ⟨δύναται⟩ ὁρᾶν conicio ὁρᾶν G 12 ἀμβλυθὲν U, ἀμβλυνθὲν F ἐπισκιασθὲν UF ἀμυδρωθῇ ante τὸ add. U ἑταῖροι] spatium in M, om. AG 13 τεθηλυμένοις AUF 15 αἱ] ἀεὶ UF τῶν φαύλων GUFL²

αἱ ἀνάρμοστοι κακίαι. μάθε δ', εἰ θέλεις, ὦ διάνοια, τὸ μὴ ἑαυτῇ γεννᾶν οἷόν ἐστι παρὰ Ἀβραὰμ τοῦ τελείου, ὃς τὸ ἀγαπητὸν καὶ μόνον τῆς ψυχῆς ἔγγονον γνήσιον, τῆς αὐτομαθοῦς σοφίας εἰκόνα ἐναργεστάτην, ἐπίκλησιν Ἰσαάκ, ἀνάγει θεῷ καὶ ἀποδίδωσι μετὰ πάσης εὐθυμίας ἀναγκαῖον καὶ ἁρμόττον χαριστήριον συμποδίσας, ὡς φησιν ὁ νόμος (Gen. 22, 2. 9), τὸ καινουργηθὲν ἱερεῖον, ἤτοι παρ' ὅσον ἐπ' οὐδενὸς θνητοῦ βαίνειν ἅπαξ ἐπιθειάσας ἠξίου, ἢ παρ' ὅσον ἀνίδρυτον καὶ ἄστατον κατεῖδε τὴν γένεσιν, ὅτε τὴν περὶ τὸ ὂν ἀνενδοίαστον ἔγνω βεβαίοτητα, ἣ λέγεται πεπιστευκέναι (Gen. 15, 6). (2.) τούτου γίνεται μαθητρὶς καὶ διάδοχος Ἄννα, τῆς τοῦ θεοῦ δώρημα σοφίας· ἑρμηνεύεται γὰρ χάρις αὐτῆς. ἐπειδὴ γὰρ ἐγκύμων ἐγένετο παραδεξαμένη θείας γονὰς καὶ τελεσφόροις ἐχρήσατο ὠδῖσι, τὸν τεταγμένον ἐν τῇ τοῦ θεοῦ τάξει τρόπον ἀποκυήσασα, ὃν ἐπεφήμισε Σαμουήλ — καλεῖται δ' ἑρμηνευθεὶς τεταγμένος θεῷ —, λαβοῦσα ἀνταποδίδωσι τῷ δόντι μηδὲν ἴδιον ἑαυτῆς κρίνουσα ἀγαθόν, ὃ μὴ χάρις ἐστὶ θεία. λέγει γὰρ ἐν τῇ πρώτῃ τῶν βασιλειῶν αὕτη τὸν τρόπον τοῦτον· „δίδωμί σοι αὐτὸν δοτόν" (I Reg. 1, 28), ἐν ἴσῳ τῷ δοτὸν ὄντα, ὥστ' εἶναι „τὸν δεδομένον δίδωμι", κατὰ τὸ ἱερώτατον Μωυσέως γράμμα τοῦτο· „τὰ δῶρά μου, δόματά μου, καρπώματά μου διατηρήσετε προσφέρειν ἐμοί" (Num. 28, 2.) τίνι γὰρ εὐχαριστητέον

1 ἐνάρμοστοι H^1P δ'] δὴ conicio τὸ] τῶ ex corr. G,H ἑαυτῇ GUF: αὐτῶ MAPH^1, ἑαυτῶ H^2 2 τὸ post ἐστὶ add. UFL^2 ὃς] ὡς UF 3 ἔκγονον conicio 5 ἁρμόζον A 6 οὐδενὸς ἔτι θνητοῦ UF 7 εὐείδρυτον U, ἀίδρυτον F 10 αὐτῆς MAPH^1: αὐτῇ GH^2, αὐτὴ U, αὕτη F 11 γονὰς θείας UF ταῖς τελεσφόροις GH^2 13 ἐπεφήμισε Mang.: ἐφήμισε codd. δὲ MGU 14 κρίνασα AD 14—18 ἀγαθόν. ἔφη γάρ· δοτὸν ὄντα δίδωμι αὐτὸν τῷ δόντι θεῷ κατὰ τὸ ἱερώτατον τοῦ νόμου πρόσταγμα τὸ φάσκον· δῶρά μου D 14 δ] ὃ A 15 αὐτῆς G 16 ὄντα post τοῦτον add. G τῷ] τὸν A 17 δοτὸν ὄντα] δοτῶν ὃ (sic) G 18 Μωυσέως U: Μωυσέος GF, Μωσέως MAP, Μωσέος H γράμμα Μωυσ. transpos. UF τὰ δῶρα—ἐμοὶ] τὴν προσφοράν μου ἄρτον μου εἰς πυρόν μου διατηρήσεται τοῦ προσφέρειν ἐμοί (μοι U) UF 19 διατηρήσεται AG, διατηρήσατε D μοι D

9. 10 R fol. 91r τοῦ αὐτοῦ: τούτου γίνεται μαθητρὶς καὶ διάδοχος ἄννα. 19—58,5. 14—19 DC fol. 254r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ γιγάντων DR fol. 269v τοῦ αὐτοῦ: τίνι εὐχαριστητέον πλὴν θεῷ — καθαρεύσωμεν ἀδικημάτων. pergunt lin. 14—19: οὕτως ἡ Ἄννα τὸν Σαμουὴλ ἀντιδίδωσι τῷ δόντι — προσφέρειν μοι. 18 sqq. *Origenes, Homilia XXIII 2 in Numeros p. 357 (ad eundem locum):* nemo suum aliquid offert deo, sed quod offert, domini est; et non tam sua quis offert deo quam ipsi quae sua sunt reddit . . . . a me enim cuncta quae habet humanum genus percipit.

ἄλλῳ πλὴν θεῷ; διὰ τίνων δὲ ὅτι μὴ διὰ τῶν ὑπ' αὐτοῦ δοθέντων; οὐδὲ γὰρ ἄλλων εὐπορῆσαι δυνατόν. χρεῖος δ' οὐδενὸς ὢν κελεύει προσφέρειν αὑτῷ τὰ ἑαυτοῦ δι' ὑπερβολὴν τῆς πρὸς τὸ γένος ἡμῶν εὐεργεσίας· μελετήσαντες γὰρ εὐχαριστητικῶς ἔχειν καὶ τιμητικῶς αὐτοῦ καθαρεύσομεν ἀδικημάτων ἐκνιψάμενοι τὰ καταρρυπαίνοντα τὸν βίον ἔν
8 τε λόγοις καὶ ἐννοίαις καὶ ἔργοις. καὶ γὰρ εὔηθες εἰς μὲν τὰ ἱερὰ | μὴ p. 274 M.
ἐξεῖναι βαδίζειν, ὃς ἂν μὴ πρότερον λουσάμενος φαιδρύνηται τὸ σῶμα, εὔχεσθαι δὲ καὶ θύειν ἐπιχειρεῖν ἔτι κεκηλιδωμένῃ καὶ πεφυρμένῃ διανοίᾳ. καίτοι τὰ μὲν ἱερὰ λίθων καὶ ξύλων ἀψύχου τῆς ὕλης πεποίηται, καθ' αὑτὸ δὲ καὶ τὸ σῶμα ἄψυχον· ἀλλ' ὅμως ὂν
ἄψυχον ἀψύχων οὐ προσάψεται μὴ περιρραντηρίοις καὶ καθαρσίοις ἁγνευτικοῖς χρησάμενον, ὑπομενεῖ δέ τις τῷ θεῷ προσελθεῖν ἀκάθαρτος ὢν ψυχὴν τὴν ἑαυτοῦ τῷ καθαρωτάτῳ, καὶ ταῦτα μὴ μέλλων μετανοήσειν;
9 ὁ μὲν γὰρ πρὸς τῷ μηδὲν ἐπεξεργάσασθαι κακὸν καὶ τὰ παλαιὰ ἐκνίψασθαι δικαιώσας γεγηθὼς προσίτω, ὁ δ' ἄνευ τούτων δυσκάθαρτος ὢν
ἀφιστάσθω· λήσεται γὰρ οὐδέποτε τὸν τὰ ἐν μυχοῖς τῆς διανοίας
10 ὁρῶντα καὶ τοῖς ἀδύτοις αὐτῆς ἐμπεριπατοῦντα. (3.) τῆς μέντοι θεοφιλοῦς ψυχῆς δεῖγμα ἐναργεστατόν ἐστι καὶ τὸ ᾆσμα, ἐν ᾧ περιέχεται τὸ „στεῖρα ἔτεκεν ἑπτά, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε“ (I Reg. 2, 5)·
11 καίτοι γε ἑνός ἐστι μήτηρ τοῦ Σαμουὴλ ἡ λέγουσα. πῶς οὖν ἑπτὰ τετοκέναι φησίν, εἰ μή τι μονάδα ἑβδομάδι τὴν αὐτὴν φυσικώτατα νομίζει, οὐ μόνον ἐν ἀριθμοῖς, ἀλλὰ καὶ ἐν τῇ τοῦ παντὸς ἁρμονίᾳ καὶ ἐν τοῖς τῆς ἐναρέτου λόγοις ψυχῆς; ὁ γὰρ τεταγμένος μόνῳ θεῷ Σαμουήλ, ἄλλῳ δὲ τὸ παράπαν συνιὼν μηδενί, κατὰ τὸ ἓν καὶ τὴν μονάδα, τὸ

---

1 ὅτι μὴ] ἢ HP, εἰ μὴ D δοθέντων ἡμῖν D 2 χρῄζων δὲ οὐδενὸς κελεύει D 3 αὐτῷ M: αὐτῶ ceteri τὰ ἑαυτοῦ D (αὐτοῦ D^c): om. codd. 4 εὐχαριστητικῶς MH^1P,D^c in mg.: εὐχαριστικῶς ceteri D καὶ τιμητικῶς ἔχειν (om. αὐτοῦ) D 5 καθαρεύσομεν F: καθαρεύσωμεν ceteri D 6 ἐννοίαις scripsi (an διανοίαις, διανοήσεσι?): ὀνείδεσι MAGIIP, εἴδεσι UF, νοήμασι vel νοήσεσι coni. Cohn νομιζόμενα ante ἱερὰ add. G 7 λουσάμενος πρότερον UF φαιδρύνεται AU 8 δὲ om. U ἔτι om. H^1P, ἐπὶ H^2 10 πεποίηται UF: πεποίηνται ceteri κατ' αὐτὸ UF 10. 11 ἀλλ' ὅμως καθιδρυμένον ὂν ἄψυχον UF, mg. L (καθιδρυμένον delevi): om. ceteri 12 ὑπομένει U, ὑπομεῖναι A 13 μετανοήσειν A 14 τῷ] τὸ AU ἐξεργάσασθαι G, εἰργάσθαι F 15 δυσκατόρθωτος PH^1 16 τὸν om. U 17 αὐτοῖς AHP 18 τὸ] τόδε F 19 ἡ δὲ] καὶ ἡ A 21 εἰ — αὐτήν] ἡ μονὰς ἑβδοματικὴν αὐτὴν UF εἰ μή τι om. A τι M: τὴν G, τις ceteri 21. 22 νομίζοι H^1P 23 ἐναρέτου] ἐπ' ἀρετῇ A θεῷ μόνῳ H, μόνῳ om. UF 24 συνεῖναι UF

ὄντως ὄν, κεκόσμηται. αὕτη δ' ἡ κατάστασίς ἐστιν ἑβδομάδος, ἀνα- 12
παυομένης ἐν θεῷ ψυχῆς καὶ περὶ μηδὲν τῶν θνητῶν ἔργων ἔτι πονου-
μένης, κατὰ ἀπόλειψιν ἑξάδος, ἣν ἀπένειμε τοῖς τὰ πρωτεῖα λαβεῖν μὴ
δυνηθεῖσι, δευτερείων δ' ἐξ ἀνάγκης μεταποιουμένοις. τὴν μὲν οὖν 13
στεῖραν, οὐ τὴν ἄγονον, ἀλλὰ τὴν στερρὰν καὶ ἔτι σφριγῶσαν, τοὺς διὰ
καρτερίας καὶ ἀνδρείας καὶ ὑπομονῆς ἐπὶ κτήσει τοῦ ἀρίστου διαθλοῦσαν
ἄθλους, ἑβδομάδι τὴν ἰσότιμον μονάδα τίκτειν εἰκὸς ἦν· εὔτοκος γὰρ καὶ
εὔπαις ἡ φύσις. τὴν δὲ πολλὴν ἀσθενεῖν ἐν τέκνοις εἶπεν ἀψευδῶς καὶ 14
σφόδρα ἐναργῶς· ὅταν γὰρ μία οὖσα ψυχὴ πολλὰ ὠδίνῃ τοῦ ἑνὸς ἀπο-
στᾶσα, μυρία κατὰ τὸ εἰκὸς γίνεται, κἄπειτα πλήθει τέκνων ἐξηρτημένων
βαρυνομένη καὶ πιεζομένη — ἔστι δὲ ἡλιτόμηνα καὶ ἀμβλωθρίδια τὰ πλεῖστα
αὐτῶν — ἐξασθενεῖ. τίκτει μὲν γὰρ τὰς πρὸς σχήματα καὶ χρώματα 15
δι' ὀφθαλμῶν ἐπιθυμίας, τίκτει δὲ τὰς πρὸς φωνὰς δι' ὤτων, ἐγκύμων
δ' ἐστὶ καὶ τῶν γαστρὸς καὶ τῶν ὑπ' αὐτήν, ὥστε πολλῶν ἐκκρεμαμέ-
νων ἐγγόνων βαρύτατον ἄχθος φέρουσα παρίεται καὶ χεῖρας ὑπ' ἀσθε-
νείας καθεῖσα ἀπολέγεται. τοῦτον μὲν δὴ τὸν τρόπον ἡττῆσθαι συμ-
βαίνει πᾶσιν, ὅσοι φθαρτοῖς ἑαυτοῖς φθαρτὰ γεννῶσιν. (4.) ἔνιοι δ' 16
p. 275 M. | οὐχ ἧτταν μόνον ἀλλὰ καὶ θάνατον ὑπὸ φιλαυτίας ἀνεδέξαντο. ὁ γοῦν
Αὐνάν, „αἰσθόμενος ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα“ (Gen. 38, 9), οὐ
πρότερον ἐπαύσατο τὸ λογικόν, ὅπερ ἄριστον τῶν ὄντων γένος ἐστί,
διαφθείρων ἢ καὶ αὐτὸς ἀνεδέξατο φθορὰν παντελῆ, σφόδρα ὀρθῶς καὶ
προσηκόντως· εἰ γὰρ ἅπαντα πράξουσί τινες αὐτῶν ἕνεκα, μὴ γονέων 17
τιμῆς, μὴ παίδων εὐκοσμίας, μὴ σωτηρίας πατρίδος, μὴ νόμων φυλακῆς,
μὴ ἐθῶν βεβαιότητος, μὴ ἰδίων μὴ κοινῶν ἐπανορθώσεως, μὴ ἱερῶν
ἁγιστείας, μὴ τῆς πρὸς θεὸν εὐσεβείας ἐπιστρεφόμενοι, κακοδαιμονήσου-

---

1 δ' ἡ] δὴ AG 1. 2 ἀναπαυσομένης F 2 ψυχῆς om. G 2. 3 μεταποιουμένης A 7 ἄθλους om. AG, ἄθλου M ἑβδομάδι MH¹P: ἑβδομάδα AGUFH² τὴν] τὸν H μονάδα MAGPII¹: μονάδι UFH² ἦν] ὢν H εὔτοκος MAGUF: εὔτεκνος HP γὰρ om. HP 9 σφόδρα om. UF πολλῆ A ὠδίνει UF 10 γίγνεται UF κἄπὶ τὰ πλήθη A 11 εἰλητόμηνα H¹P καὶ] ἢ F δ' post πλεῖστα add. UF 12 ἐξασθενεῖν A τὰς UF: τὰ ceteri προσχήματα MAGP πρὸς χρώματα καὶ σχήματα UF 13 τὰς] τὰ H προσφωνὰς AGF 14 καὶ τῶν om. UF αὐτὴν UFHP: αὐτῆς MAG 15 ἐκγόνων conicio παρείεται G, παρεῖται H² 17 ἑαυτῶ G 18 ἧτταν UFH²: ἧττον ceteri ὑπὸ G: ὑπὲρ ceteri 19 Αὐνὰν MG: Αὔναν A, Ἄνναν PH¹, κατ' Ἄνναν H², ἀν ων text. U (corr. in mg.), ὧν ἂν F ἀναισθάμενος U, corr. in mg. οὐχ αὐτῶ H² τὸ om. UF 20 ὄντων] φύντων G ἐστὶ γένος UF 21 ἂν ἐδέξατο H² 22 πράξουσι FP: πράξωσι ceteri αὐτῶν H²: αὐτῶν ceteri 24 ἐθνῶν GUFII μὴ ante κοινῶν om. A 25 ἁγιστείας UF, ἁγιστίας HP, ἁγιστίας A

18 σιν. ἑνὸς γὰρ ὢν εἶπον χάριν ἀντικαταλλάξασθαι καὶ αὐτὸ τὸ ζῆν εὐκλεές, οἱ δ' ἄρα καὶ ἀθρόων τῶν οὕτω περιμαχήτων φασίν, εἰ μή τινα ἡδονὴν μέλλοι περιποιεῖν, κατολιγωρήσειν. τοιγάρτοι πονηρὰν εἰσήγησιν ὁ ἀδέκαστος θεὸς ἐκφύλου δόγματος, ἐπίκλησιν Αὐνάν, ἐκποδὼν ἀνελεῖ.

19 παραιτητέοι δὴ πάντες οἱ γεννῶντες αὐτοῖς, τὸ δ' ἐστὶν ὅσοι τὸ ἴδιον λυσιτελὲς μόνον θηρώμενοι τῶν ἄλλων ὑπερορῶσιν, ὥσπερ αὐτοῖς μόνοις φύντες, οὐχὶ δὲ μυρίοις ἄλλοις, πατρί, μητρί, γυναικί, τέκνοις, πατρίδι, ἀνθρώπων γένει, εἰ δὲ δεῖ προελθόντας τι περαιτέρω φάναι, οὐρανῷ, γῇ, τῷ παντὶ κόσμῳ, ἐπιστήμαις, ἀρεταῖς, τῷ πατρὶ καὶ ἡγεμόνι τῶν συμπάντων· ὧν ἑκάστῳ κατὰ δύναμιν ἀπονεμητέον τὸ ἁρμόττον μὴ τὰ πάντα προσθήκην ἑαυτοῦ, ἑαυτὸν δὲ τῶν πάντων νομίζοντα.

20 (5.) Τούτων μὲν δὴ ἅλις, τὰ δ' ἀκόλουθα τῷ λόγῳ συνυφήνωμεν. „ἰδὼν" οὖν φησι „κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ ἐπιμελῶς τὰ πονηρὰ πάσας τὰς ἡμέρας, ἐνεθυμήθη ὁ θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη. καὶ εἶπεν ὁ θεός· ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ

21 προσώπου τῆς γῆς" (Gen. 6,5—7). ἴσως τινὲς τῶν ἀνεξετάστων ὑποτοπήσουσι τὸν νομοθέτην αἰνίττεσθαι, ὅτι ἐπὶ τῇ γενέσει τῶν ἀνθρώπων ὁ δημιουργὸς μετέγνω κατιδὼν τὴν ἀσέβειαν αὐτῶν, ἧς χάριν αἰτίας ἐβουλήθη σύμπαν διαφθεῖραι τὸ γένος. ἀλλ' ἴστωσαν ὅτι ταῦτα δοξάζοντες ἐπελαφρίζουσι καὶ ἐπικουφίζουσι τὰ τῶν παλαιῶν ἐκείνων ἁμαρ-

22 τήματα δι' ὑπερβολὴν τῆς περὶ αὐτοὺς ἀθεότητος. τί γὰρ ἂν ἀσέβημα

---

1 αὐτὸ τὸ] ἀπὸ τοῦ A 1. 2 εὐκλεεῖς FL² 2 ἀθρόον A 2. 3 τι ἡδονὴν A, τινι ἡδονῇ UF 3 μέλλει A κατολιγωρήσειν GII²: κατολιγώρησιν F, κατ' ὀλιγώρησιν U, κατολιγωρήσουσι PII¹, κατολιγωρήσωσι MA 4 ἐκφαύλου AUF Αὐνάν MG: Αὔναν AP, Ἄνναν H, ὦ ἂν UF ἐκποδὼν ἀνελεῖ scripsi: ἐκποδὼν ἀνέλῃ UF, ἐκποδών. ἀμέλει MAGII¹P, ἐκποδὼν ποιεῖ. ἀμέλει II², ἐκποδὼν ποιεῖ L 5 αὐτοῖς MII²: αὐτοῖς AH¹P, ἑαυτοῖς GUF 6 αὐτοῖς MH²: αὐτοῖς ceteri 7 πατρίδι om. H 8 προελθόντι περαιτέρω UF, προελθόντα conicio 10 ὧν ἐν ἑκάστω F 11 ἑαυτὸν UFII²: σεαυτὸν ceteri 12 μὲν] δὲ A 13 ἐπλήσθηναν DR 14 διενοεῖτο GUF καρδίᾳ αὐτοῦ D τὰ] ἐπὶ τὰ FD 15 γὰρ ante ὁ add. UF ὁ θεὸς om. UFD 16 ἔπλασα UF ἀπὸ] πρὸ F 17 γῆς] χθονός UF τινὸς A ἀνεξετάστων] ἐναγεστάτων FL² 19 κατέγνω IIL¹ αἰτίας fort. del. 20 ἠβουλήθη UFD διαφθεῖραι σύμπαν D 20. 21 δόξαντες G 21 ἐπελαφρύνουσι DR 22 αὐτὸν D

12—61,1 DC fol. 220v τοῦ αὐτοῦ ἐκ τῶν ἐν γενέσει ζητημάτων DR fol. 206r τοῦ αὐτοῦ: εἰδώς, φησίν, ὁ θεὸς — τὸν ἄτρεπτον τρέπεσθαι. pergunt p. 61,21

p. 276 M. μεῖζον γένοιτο τοῦ ὑπολαμβάνειν τὸν ἄτρεπτον τρέπεσθαι; καίτοι | τινῶν
ἀξιούντων μηδὲ πάντας ἀνθρώπους ταῖς γνώμαις ἐπαμφοτερίζειν· τοὺς
γὰρ ἀδόλως καὶ καθαρῶς φιλοσοφήσαντας μέγιστον ἐκ τῆς ἐπιστήμης
ἀγαθὸν εὕρασθαι τὸ μὴ τοῖς πράγμασι συμμεταβάλλειν, ἀλλὰ μετὰ
στερρότητος ἀκλινοῦς καὶ παγίου βεβαιότητος ἅπασι τοῖς ἁρμόττουσιν
ἐγχειρεῖν. (6.) ἀρέσκει δὲ καὶ τῷ νομοθέτῃ τὸν τέλειον ἠρεμίας ἐφίε- 23
σθαι· τὸ γὰρ εἰρημένον τῷ σοφῷ ἐκ προσώπου τοῦ θεοῦ „σὺ δὲ αὐτοῦ
στῆθι μετ' ἐμοῦ“ (Deut. 5, 31) τὸ ἀκλινὲς καὶ ἀρρεπὲς τῆς γνώμης καὶ
ἱδρυμένον πάντῃ σαφέστατα παρίστησι. τῷ γὰρ ὄντι θαυμάσιον, ὥσπερ 24
τινὰ λύραν τὴν ψυχὴν μουσικῶς ἁρμοσάμενον οὐκ ὀξέσι καὶ βαρέσι τοῖς
φθόγγοις, ἀλλ' ἐπιστήμῃ μὲν τῶν ἐναντίων, χρήσει δὲ τῶν ἀμεινόνων,
μήτε ἐπιτεῖναι προσυπερβάλλοντα μήτε ἀνεῖναι μαλθάξαντα τὴν ἀρετῶν
καὶ τῶν φύσει καλῶν ἁρμονίαν, δι' ἴσου δ' αὐτὴν φυλάξαντα κροτεῖν
καὶ ἐπιψάλλειν ἐμμελῶς. ὄργανον γὰρ τελεώτατον ὑπὸ φύσεως δημιουρ- 25
γηθὲν ἀρχέτυπον τῶν χειροκμήτων τοῦτό γε· ὅπερ εἰ καλῶς ἁρμοσθείη,
τὴν πασῶν ἀρίστην συμφωνίαν ἀπεργάσεται, ἥτις οὐκ ἐν κλάσει καὶ
τόνοις ἐμμελοῦς φωνῆς, ἀλλ' ἐν ὁμολογίᾳ τῶν κατὰ τὸν βίον πράξεων
ἔχει τὸ τέλος. ὅπου γοῦν ἀνθρώπων ψυχὴ τὸν πολὺν κλύδωνα καὶ 26
σάλον, ὃν καταρραγὲν σφοδρὸν πνεῦμα τὸ κακίας αἰφνίδιον ἤγειρεν, ἐπι-
στήμης καὶ σοφίας αὔραις ἀποτίθεται καὶ τὸ κυμαῖνον καὶ παρῳδηκὸς
ὑφεῖσα νηνέμῳ εὐδίᾳ χρωμένη γαληνιάζει, εἶτ' ἐνδοιάζεις, ὅτι ὁ ἄφθαρ-

---

1 γένοιτο GUFH²D: ἐγένετο MAPH¹ τὸν] τὸ UH καίτοι] καί τι P², καί H¹P¹ τί τῶν AP² 2 μηδὲ UF: μηδὲν AGHP, μὴ M πάντας MUF: ὄντας ceteri 2. 3 ἐπαμφοτερίζειν – ἐκ τῆς add. in mg. H²P² 4 εὑρέσθαι PH¹ 5 ἁρμόζουσιν GH² 6 τῆς ἠρεμίας P 9 τοῦτο γὰρ τὸ θαυμάσιον G θαυμαστὸν UF 10 μουσικῶς τὴν ψυχὴν UF 11 μὲν τὰ τῶν A ⟨ἀγαθῶν καὶ⟩ τῶν ἐναντίων coni. Mang. 12 προσυπερβάλλοντα UH²: πρὸς ὑπερβάλλοντα ceteri 13 φύσει καλῶν] φυσικῶν UF διείδουσι δ' αὐτὴν UF κρούειν GUF 14 ἐπιψαύειν mg. H² ὀργάνων UF γὰρ καὶ τελεώτατον AGUF 15 χειροκμήτων UF: χειροτμήτων ceteri ὅπερ εἰ] οὐ U, εἰ F 16 ἐν κλάσει MHP: ἐγκαλέσει U, ἐν κάλλεσι F, ἐναλάσσει AG, ἐν κράσει coni. Mang. 18 γοῦν] τοινυν G ἀνθρώπου H² πολυκλύδωνα U 19. 20 ἐπιστήμης GH²: ἐπιστῆμαι P, ἐπιστήμαις ceteri 20 σοφίαις AU 21 ὑφιεῖσα A, ὑφεὶς GU ἀνηνέμω G εἶτ' om. GH², εἴτε A ὅτι M, mg. P²: ὅτι εἰ A, εἰ ceteri ὁ om. F

---

21 — 62,5 ibid.: ὁ γὰρ ἄφθαρτος — συμβαίνειν ἀνάγκη. ὁ δὲ θεὸς οὐκ ἀψίκορος (p. 62,8). ὡς ἐν αὐγῇ γὰρ αὐτῷ καθαρᾷ (καθαρὰ D^R) πάντα (καὶ add. D^R) ἀρίδηλα (p. 62,13. 14). D^C pergit p. 63,15.

τος καὶ μακάριος καὶ τῶν ἀρετῶν καὶ αὐτῆς τελειότητος καὶ εὐδαιμονίας ἀνημμένος τὸ κράτος οὐ χρῆται γνώμης μεταβολῇ, μένει
27 δὲ ἐφ' ὧν ἐξ ἀρχῆς ἐβουλεύσατο οὐδὲν αὐτῶν μετατιθείς; ἀνθρώποις μὲν οὖν τὸ εὐμετάβολον ἢ διὰ τὴν ἐν αὐτοῖς ἢ διὰ τὴν ἐκτὸς ἀβεβαιότητα συμβαίνειν ἀνάγκη· οἷον οὕτως φίλους ἑλόμενοι πολλάκις καὶ βραχύν τινα αὐτοῖς συνδιατρίψαντες χρόνον, οὐδὲν ἐγκαλεῖν ἔχοντες ἀπεστράφημεν, ὡς εἰς ἐχθρῶν ἢ ἀγνουμένων γοῦν τάξιν ἐμβιβάσαι.
28 τοῦτο τὸ ἔργον κούφην εὐχέρειαν ἡμῶν αὐτῶν ἐλέγχει τὰς ἐξ ἀρχῆς ὑποθέσεις ἀδυνατούντων κραταιῶς διαφυλάττειν· ὁ δὲ θεὸς οὐχ ἁψίκορος. καὶ μὴν ἔστιν ὅτε διανοούμεθα μὲν ἐπιμένειν κριτηρίοις τοῖς αὐτοῖς, οἱ δὲ προσελθόντες οὐκ ἔμειναν ἐν ὁμοίῳ, ὥστ' ἐξ ἀνάγκης καὶ αἱ ἡμέτε-
29 ραι γνῶμαι συμμετέβαλον. προϊδέσθαι γὰρ ἢ μελλόντων πραγμάτων συντυχίας ἢ γνώμας ἑτέρων ἄνθρωπον ὄντα ἀμήχανον, τῷ δὲ θεῷ ὡς ἐν αὐγῇ καθαρᾷ πάντα ἀρίδηλα. καὶ γὰρ ἄχρι τῶν ψυχῆς μυχῶν | φθάτας, ἃ τοῖς ἄλλοις ἐστὶν ἀόρατα τηλαυγῶς πέφυκε καθορᾶν, καὶ p. 277 M.
προμηθείᾳ καὶ προνοίᾳ χρώμενος, οἰκείαις ἀρεταῖς, οὐδὲν ἀπελευθεριάζειν καὶ ἔξω τῆς ἑαυτοῦ καταλήψεως βαίνειν ἐᾷ· ἐπειδήπερ οὐδ' ἡ τῶν μελλόντων ἀδηλότης αὐτῷ συμβατή· οὔτε γὰρ ἄδηλον οὔτε μέλλον οὐδὲν
30 θεῷ. δῆλον μὲν οὖν, ὅτι καὶ τῶν γεννηθέντων τὸν φυτεύσαντα καὶ τῶν δημιουργηθέντων τὸν τεχνίτην καὶ τὸν ἐπίτροπον τῶν ἐπιτροπευμένων ἐπιστήμονα [ἀναγκαῖον] εἶναι δεῖ. ὁ δὲ θεὸς πατὴρ καὶ τεχνίτης

---

1 τελειότητος καὶ om. GUFD 2 ἀνημμένος] ἀνειμένος DC, ἀνειληφὼς DR μένων U 3 ἐφ' οἷς D μεταθεὶς D 4. 5 εὐμετάβλητον διὰ τὴν ἐν τοῖς ἐκτὸς ἀβεβαιότητα D 4 τὴν ⟨τῶν⟩ conicio 6 καὶ] εἰ καὶ F 6 διατρίψαντες D ἐγκαλεῖν UFD: ἐπικαλεῖν MΑGPH¹ (prius ἐπιβαλεῖν P), ἐπεγκαλεῖν H² 7 ὡς] ὥστ' Turn. γοῦν om. H 9 οὐχ ἁψίκορος UF: οὐκ ἀψίκορος ceteri I) 10 μὲν om. U ἐπιβαίνειν P¹H¹ 11 αἱ om. G 14. 15 ὡς ἐναγῆ U 14 αὐγῇ πάντα καθαρά, πάντα ἀρίδηλα DR fol. 51 τῶν] τῶν τῆς D 15 ἄλλοις] ὀφθαλμοῖς DR 16 οἰκείαις] πυκναῖς D οὐδὲν] αὐτοῦ DR, αὐτὰ DC 17 βαίνειν οὐκ ἐᾷ D οὐδὲ ἡ D, οὐ δὴ A τῶν UFD: om. ceteri 18 συμβατεῖ PH¹, συμβατῆς A, συμβατικὴ D 18. 19 οὐδὲν θεῷ MDC: οὐδέν ἐστι θεῷ UF, ἐστὶ θεῷ (om. οὐδὲν) AH¹P, ἐστὶ θεῷ οὐδέν GH², θεῷ οὐδέν DR οὖν] οὖν δι G² in ras. 20 ἐπιστρατευομένων A 21 ἐπιστήμην F ἀναγκαῖον seclusi δεῖ secl. Cohn θεὸς UFE: om. ceteri

---

3—7 DR fol. 125r τοῦ αὐτοῦ ἐκ τῶν ἐν γενέσει ζητουμένων: ἀνθρώποις τὸ εὐμετάβλητον διὰ τὴν ἐν τοῖς ἐκτὸς ἀβεβαιότητα συμβαίνειν ἀνάγκη· οὕτω γοῦν φίλους — ἀπεστράφημεν ὡσεὶ ἐχθροί. 13—18 DR fol. 51r DC fol. 34r: τῷ θεῷ ὡς ἐν αὐγῇ — οὐδὲν θεῷ. 21—63,13 ὁ γὰρ δὴ θεὸς καὶ πατὴρ — ὑφέστηκεν exstant in Epitome Περὶ κόσμου (= E) cap. 7, Mang. II p. 608,40—609,9.

καὶ ἐπίτροπος τῶν ἐν οὐρανῷ τε καὶ κόσμῳ πρὸς ἀλήθειάν ἐστι. καὶ μὴν τά γε μέλλοντα συσκίαζεται ὑπὸ τοῦ αὖθις χρόνου, τοτὲ μὲν βραχεῖ, τοτὲ δὲ μακρῷ διαστήματι. δημιουργὸς δὲ καὶ χρόνου θεός· καὶ γὰρ τοῦ 31
πατρὸς αὐτοῦ πατὴρ — πατὴρ δὲ χρόνου κόσμος — τὴν κίνησιν αὐτοῦ
5 γένεσιν ἀποφήνας ἐκείνου· ὥστε υἱωνοῦ τάξιν ἔχειν πρὸς θεὸν τὸν χρόνον. ὁ μὲν γὰρ κόσμος οὗτος νεώτερος υἱὸς θεοῦ, ἅτε αἰσθητὸς ὤν· τὸν γὰρ πρεσβύτερον [οὐδένα εἶπε] — νοητὸς δ' ἐκεῖνος — πρεσβείων ἀξιώσας παρ' ἑαυτῷ καταμένειν διενοήθη. οὗτος οὖν ὁ νεώτερος υἱὸς ὁ αἰσθητὸς 32
κινηθεὶς τὴν χρόνου φύσιν ἀναλάμψαι καὶ ἀνασχεῖν ἐποίησεν· ὥστε
10 οὐδὲν παρὰ θεῷ μέλλον τῷ καὶ τὰ τῶν χρόνων ὑπηγμένῳ πέρατα. καὶ γὰρ οὐ χρόνος, ἀλλὰ τὸ ἀρχέτυπον τοῦ χρόνου καὶ παράδειγμα αἰὼν ὁ βίος ἐστὶν αὐτοῦ· ἐν αἰῶνι δὲ οὔτε παρελήλυθεν οὐδὲν οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν.

(7.) Ἱκανῶς οὖν διειλεγμένοι περὶ τοῦ μὴ χρῆσθαι μετανοίᾳ τὸ 33
15 ὃν ἀκολούθως ἀποδώσομεν, τί ἐστι τὸ „ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς καὶ διενοήθη“ (Gen. 6,6). ἔννοιαν καὶ δια- 34
νόησιν, τὴν μὲν ἐναποκειμένην οὖσαν νόησιν, τὴν δὲ νοήσεως διέξοδον, βεβαιοτάτας δυνάμεις ὁ ποιητὴς τῶν ὅλων κληρωσάμενος καὶ χρώμενος ἀεὶ ταύταις τὰ ἔργα ἑαυτοῦ καταθεᾶται. τὰ μὲν δὴ μὴ λείποντα τὴν
20 τάξιν τῆς πειθαρχίας ἕνεκα ἐπαινεῖ, τὰ δὲ μεθιστάμενα τῇ κατὰ λιπο-

---

2 βραχὺ H 3 ὁ θεός GUFE 4 κόσμος χρόνου UFE τὴν αὐτοῦ κίνησιν E ἑαυτοῦ G, αὐτοῦ H^2, αὐτὴν P 5 ὥστε υἱωνοῦ — ἐποίησεν om. E 6 γὰρ post τὸν] δὲ L 7 τούτου ante οὐδένα add. HP οὐδένα εἶπε seclusi οὐδένα] ἰδέαν coni. Mang. δ' ante ἀξιώσας add. H^2 ἀξιωθεὶς U 8 καταμένει F alterum ὁ om. G 9 κίνησιν τοῦ χρόνου F ἀνίσχειν UF ὥστ' P 10 τῷ θεῷ G μᾶλλον G^1 τῷ καὶ] τῶν κατὰ G, τῷ κατὰ FL^2 τῶν χρόνων H^1P, τὸν χρόνον F ὑπηγμένῳ UFH^2: ὑπηγμένα MAH^1P, om. G περάτων G^2 11 οὐ] ὁ P αἰών Turn.: δι' ὧν codd. 11. 12 δι' ὧν — αὐτῶν om. E 12 αὐτῶν ἐστιν U αὐτοῦ Mang.: αὐτῶν codd. 14 διαλεχθέντες UF 14. 15 μετανοία τῶν ἀκολούθων μεταδώσομεν UF 15 ἔστιν ὅτι ἐνεθυμήθη UF 16 ἐπὶ τῆς γῆς G^2UFD: ἀπὸ τῆς γῆς G^1, om. MAHP 17 ἀποκειμένην UF 18 βεβαιοτάτας UF: βεβαιότητα τὰς MGPH^{1}D, βεβαιοτάτην τὰς AH^2 ὁ] γὰρ ὁ D καὶ χρώμενος om. D 19 αὐτοῦ UFD τὰ] καὶ τὰ D μὴ om. U λείποντα MAGPD: λιπόντα UFH 19 τὴν om. D 20 θεαρχίας D ἕνεκα om. D 20. 21 λειποτακτῶν codd.

---

11 cf. Platonis Timaeum p. 37 D

15—64,1 DC (cf. ad p. 61,21): τί οὖν ἐστι τὸ ἐνεθυμήθη — μετέρχεται δίκῃ.

35 τακτῶν ὡρισμένῃ μετέρχεται δίκῃ. τῶν γὰρ σωμάτων τὰ μὲν ἐνεδήσατο ἕξει, τὰ δὲ φύσει, τὰ δὲ ψυχῇ, τὰ δὲ λογικῇ ψυχῇ. λίθων μὲν οὖν καὶ ξύλων, ἃ δὴ τῆς συμφυΐας ἀπέσπασται, δεσμὸν κραταιότατον ἕξιν | εἰργάζετο· ἡ δέ ἐστι πνεῦμα ἀναστρέφον ἐφ' ἑαυτό· ἄρχεται μὲν γὰρ p. 278 M.
ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα τείνεσθαι, ψαῦσαν δὲ ἄκρας ἐπιφανείας
ἀνακάμπτει πάλιν, ἄχρις ἂν ἐπὶ τὸν αὐτὸν ἀφίκηται τόπον, ἀφ' οὗ τὸ
36 πρῶτον ὡρμήθη· ἕξεως ὁ συνεχὴς οὗτος δίαυλος ἄφθαρτος, ὃν οἱ
δρομεῖς ἀπομιμούμενοι ταῖς τριετηρίσιν ἐν τοῖς ἀνθρώπων ἁπάντων
κοινοῖς θεάτροις ὡς μέγα δὴ καὶ λαμπρὸν καὶ περιμάχητον ἔργον ἐπι-
37 δείκνυνται. (8.) τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς κερασάμενος αὐτὴν
ἐκ πλείστων δυνάμεων, θρεπτικῆς τε καὶ μεταβλητικῆς καὶ αὐξητικῆς.
καὶ γὰρ τρέφεται τροφῆς ὄντα χρεῖα, τεκμήριον δέ· τὰ μὴ ἀρδόμενα
φθίνει καὶ ἀφαυαίνεται, ὥσπερ αὖ τὰ ποτιζόμενα ἐμφανῶς αὔξεται· τὰ
γὰρ τέως διὰ βραχύτητα χαμαίζηλα ἐξαίφνης ἀναδραμόντα ἔρνη γίνεται
38 περιμηκέστατα. τί χρὴ λέγειν περὶ μεταβολῆς αὐτῶν; ταῖς μὲν γὰρ
χειμεριναῖς τροπαῖς τὰ πέταλα μαρανθέντα εἰς τοὔδαφος χεῖται, οἵ τε
ἐν ταῖς κληματίσι λεγόμενοι πρὸς τῶν γεωπόνων ὀφθαλμοὶ καθάπερ ἐν
τοῖς ζῴοις καταμύουσι, τά τε πρὸς τὰς ἐκφύσεις στόμια πάντα ἔσφιγκται
τῆς φύσεως εἴσω τότε συνειλημμένης καὶ ἡσυχαζούσης, ἵνα διαπνεύσασα
οἷά τις ἀθλητὴς προηγωνισμένος καὶ συλλεξαμένη τὴν ἰδίαν ἰσχὺν πρὸς
39 τοὺς ἐθάδας ἄθλους ἐξ ὑπαρχῆς ἀπαντᾷ. γίνεται δὲ τοῦτο ταῖς ἐαριναῖς
καὶ κατὰ θέρος ὥραις· ὥσπερ γὰρ ἐκ βαθέος ὕπνου περιαναστᾶσα τούς

---

1 ἐνεδύσατο AH, ἐνεδύσαντο E 2 ἕξιν UE φύσιν UE ψυχὴν E
δὲ καὶ λογικῇ UF λογικὴν ψυχὴν E λίθον MH¹P 3 ξύλον MH²P
τῇ συμφυΐα A, τῆς συμφωνίας b 4 εἰργάσατο HPE ἡ] εἰ A 7 ante ἕξεως
add. φυτῶν δυνάμεις τρεῖς, θρεπτική, αὐξητική, μεταβλητική MAGHP δίαυλος] διά-
βολος U 7—10 ἄφθαρτος — δείκνυνται om. E 8 μιμούμενοι UF
8. 9 τοῖς ἁπανταχοῦ τῆς οἰκουμένης θεάτροις conicio 8 ἀνθρώποις οἱ πάντων UF
κοινοῖς ἁπάντων G 10 κερασάμενοι A 11 θρεπτικῆς τε καὶ γεννητικῆς E, καὶ
αὐξητικῆς om. UF 12 χρείας A post δὲ add. ὅτι H² 13 καὶ] καὶ
μὴν A ἀφαυαίνεται — ποτιζόμενα om. A ὥσπερ — ποτιζόμενα om. UF, qui
καὶ μὴν addunt (καὶ μὴν καὶ F²) αὐτὰ GHP ποτιζόμενα] spat. 8 litt. M
14 τέως om. U βραδυτῆτα G ἔρνη om. A 15 τί om. G
τί — αὐτῶν om. UF 16 χεῖται M: κεῖται AGFHP, κεῖνται U 17 γεηπόνων
ὀφθαλμῶν A 18 φύσεις G ἐσφράγισται L² 19 συνειλεγμένης G
22 βάθους G

1—11 exstant in E cap. 4, Mang. II 606,10—23: ἀλλ' ἐπαναλαβόντες τὸν λόγον σαφη-
νείας χάριν εἴπωμεν ὅτι τῶν σωμάτων τὰ μὲν — θρεπτικῆς τε καὶ γεννητικῆς. pergit E
p. 65,9

τε ὀφθαλμοὺς διοίγνυσι τά τε μεμυκότα τῶν στομίων ἀναστείλασα εὐρύνει, ὧν δ' ἐστὶν ἐγκύμων πάντα ἀποτίκτει, πέταλα καὶ κληματίδας, ἕλικας, οἴναρα, καρπὸν ἐπὶ πᾶσιν· εἶθ' ὅταν τελεσθῇ, παρέχεται τὰς τροφὰς οἷα μήτηρ τῷ γενομένῳ διά τινων ἀφανῶν πόρων, οἳ τοῖς ἐν γυναιξὶ μαστοῖς ἀναλογοῦσι, καὶ οὐ πρότερον παύεται τρέφουσα ἢ τὸν καρπὸν τελεσφορηθῆναι· τελεσφορεῖται δὲ ὁ πεπανθεὶς ἄκρως, ἡνίκα, κἂν μηδεὶς ὀρέπηται, τῆς συμφυΐας αὐτὸς ἐπείγεται διαζεύγνυσθαι ἅτε μηκέτι τροφῶν τῶν ἀπὸ τῆς τεκούσης δεόμενος, ἱκανὸς δ' ὢν, εἰ χώρας ἀγαθῆς ἐπιλάχοι, σπείρειν καὶ γεννᾶν ὅμοια τοῖς φυτεύσασι. (9.) ψυχὴν δὲ φύσεως τρισὶ διαλλάττουσαν ὁ ποιῶν ἐποίει, αἰσθήσει, φαντασίᾳ, ὁρμῇ· τὰ μὲν γὰρ φυτὰ ἀόρμητα, ἀφάνταστα, αἰσθήσεως ἀμέτοχα, τῶν δὲ ζῴων ἕκαστον ἀθρόων μετέχει τῶν εἰρημένων. αἴσθησις μὲν οὖν, ὡς αὐτό που δηλοῖ τοὔνομα, εἴσθεσίς τις οὖσα τὰ φανέντα ἐπεισφέρει τῷ νῷ· τούτῳ γάρ, ἐπειδὴ μέγιστόν ἐστι ταμεῖον καὶ πανδεχές, πάνθ' ὅσα δι' ὁράσεως καὶ ἀκοῆς καὶ τῶν ἄλλων αἰσθητικῶν ὀργάνων ἐντίθεται καὶ
p. 279 M. ἐναποθησαυρίζεται. φαντασία δέ ἐστι τύπωσις | ἐν ψυχῇ· ὧν γὰρ εἰσήγαγεν ἑκάστη τῶν αἰσθήσεων, ὥσπερ δακτύλιός τις ἢ σφραγὶς ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα· κηρῷ δὲ ἐοικὼς ὁ νοῦς τὸ ἐκμαγεῖον δεξάμενος ἄκρως παρ' ἑαυτῷ φυλάττει, μέχρις ἂν ἡ ἀντίπαλος μνήμης τὸν τύπον

---

1 ἀνατείλασα G 2 καὶ fort. del. 3 οἴναρα Turn.: οἷον ἄρα codd. post τελεσθῇ add. οἷον ἄρα AGUF 4 γεννωμένῳ A τοῖς] ταῖς AG μαζοῖς G 6 δὲ ante κἂν add. AUF 8 δὲ G 9 φύσασι H^2 post φυτεύσασι add. σπεύδει G^2 10 φαντασίᾳ, αἰσθήσει UF 11 τὰ μὲν δὴ φυτὰ τούτων ἀμέτοχα E μὲν—ἀόρμητα om. AG γὰρ om. UF 12 ἀθρόων MGF: ἀθρόον AUHPE 12. 13 αὐτὸ δήπου UFNE 13 εἴσθεσίς τις οὖσα om. D ἐπιφέρει D 14 τοῦτο AGU, τούτων D 14—16 τούτῳ—ἐναποθησαυρίζεται om. E 14 ταμιεῖον D 14. 15 ταμιεῖον καὶ ἄλλων αἰσθητικῶν ὀργάνων καὶ πανδεχές· πάντα ὅσα δι' ὁράσεως καὶ ἀκοῆς καὶ ὧν προειρήκαμεν αἰσθητικῶν ὀργάνων D^R ταμεῖον πᾶν δέχεται πάθος ἃ δι' ὁράσεως UFN 14 πάντα ὅσα D 15 καὶ ante τῶν om. A τῶν om. D 16 ἀποθησαυρίζεται UFND^R δ' ἐστι UFN ἐστὶ om. E post ψυχῇ add. οἱονεὶ φαοστασία τις οὖσα E ὧν scripsi: ἣν MHP, τὴν A, ἓν G, ἃ UFNED 17 τις ἐσφράγισε καὶ ἀπεμάξατό οἰκεῖον D 18. 19 χαρακτῆρα, ἢ (ἢ b) τὸ ἐκμαγεῖον φυλάττει παρ' ἑαυτῇ, μέχρις ἂν ἡ ἀντίπαλος τῇ μνήμῃ τὸν τύπον (τὸν τύπον τῇ μνήμῃ b) E 18 ἔοικεν D τὸ γὰρ ἐκμαγεῖον D^L 19 ἡ ἀντίπαλος μνήμης post λήθη (p. 66, 1) transpos. HP 19 μνήμη UFN, τῆς μνήμης D τὸν] αὐτὸν τὸν G

9—67,10 ψυχὴν δὲ—ἀποτίσει exstant in E, II p. 606,23—607,33 M., cf. ad p. 64,1
12—66,2 D^L fol. 112r D^R fol. 221v (τοῦ αὐτοῦ D^R) ἐκ τοῦ περὶ γιγάντων: αἴσθησις, ὡς αὐτό που—διέθηκε τὴν ψυχήν. 12—66,4 N fol. 188r αἴσθησις—φυτῶν.

44 λεάνασα λήθη ἀμυδρὸν ἐργάσηται ἢ παντελῶς ἀφανίσῃ. τὸ δὲ φανὲν καὶ τυπῶσαν τοτὲ μὲν οἰκείως τοτὲ δὲ ὡς ἑτέρως διέθηκε τὴν ψυχήν. τοῦτο δὲ αὐτῆς τὸ πάθος ὁρμὴ καλεῖται, ἣν ὁριζόμενοι πρώτην ἔφασαν εἶναι ψυχῆς κίνησιν. τοσούτοις μὲν δὴ ζῷα προὔχει φυτῶν· ἴδωμεν δὲ
45 τίνι τῶν ἄλλων ζῴων ὑπερβέβληκεν ἄνθρωπος. (10.) ἐξαίρετον οὗτος τοίνυν γέρας ἔλαχε διάνοιαν, ἣ τὰς ἁπάντων φύσεις σωμάτων τε ὁμοῦ καὶ πραγμάτων εἴωθε καταλαμβάνειν. καθάπερ γὰρ ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικὸν ὄψις ἐστίν, ἐν δὲ τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις, τὸν αὐτὸν
46 τρόπον καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον ὁ νοῦς· ψυχῆς γὰρ ὄψις οὗτος οἰκείαις περιλαμπόμενος αὐγαῖς, δι' ὧν ὁ πολὺς καὶ βαθὺς ζόφος, δν κατέχεεν ἄγνοια τῶν πραγμάτων, ἀνασκίδναται. τοῦτο τῆς ψυχῆς τὸ εἶδος οὐκ ἐκ τῶν αὐτῶν στοιχείων, ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη, καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς αἱ θεῖαι φύσεις ἐδημιουργοῦντο· παρὸ καὶ μόνον τῶν ἐν ἡμῖν εἰκότως ἄφθαρτον ἔδοξεν
47 εἶναι διάνοια. μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσε, καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμὰ ἄφετον εἴασε, δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου καὶ οἰκείου κτήματος αὐτῷ, τοῦ ἑκουσίου, μοῖραν, ἣν ἠδύνατο δέξασθαι· τὰ μὲν γὰρ ἄλλα ζῷα, ὧν ἐν ταῖς ψυχαῖς τὸ ἐξαιρούμενον εἰς ἐλευθερίαν νοῦς οὐκ ἔστι, καταζευχθέντα καὶ ἐγχαλινωθέντα πρὸς ὑπηρεσίαν ἀνθρώποις παραδέδοται ὥσπερ οἰκέται δεσπόταις, ὁ δὲ ἄνθρωπος ἐθελουργοῦ καὶ αὐτοκελεύστου γνώμης λαχὼν καὶ προαι-

---

1 ἀμυδρὰν HP, ἢ ἀμυδρὸν MD^{R} 2 τυπωθὲν D ποτὲ bis D^{L} οἰκείως] εἰκὸς P ὡς GUFNDE: καὶ ὡς H^{2}, οἰκείως PH^{1}, om. MA 4 εἶναι om. E δὴ om. UFNE ζῶον G^{1} ὑπερέχει E δὲ om. U, δὴ A, τοίνυν E 5 ἀγέλων U ὑπερβέβληκεν MAH^{1}P: ὑπερβέβηκεν ceteri ὁ ἄνθρωπος HP 5. 6 οὗτος τοίνυν ἐξαίρετον UF, οὗτος δὲ ἐξαίρετον E 6 οὗτος post ἔλαχε transpos. G ἢ MG: ἢ A, ἣ ceteri E ὁμοῦ om. E 8 ἡγεμονικώτατον GUFE 9 οὕτως A, οὗτος post οἰκείαις transpos. H^{1}P, del. H^{2} 10 ταῖς ante οἰκείαις add. UFE, δὲ add. G 13 ἔλαχε] ἐπὶ G^{1}, ἀπὸ G^{2} ἧς καὶ αἱ D 14 παρ' ὃ AGU 15 διάνοια G^{1}UF: διάνοιαν ceteri γεννήσας ὁ D^{M} 16 ἀφετὴν G αὐτῇ om. D^{M} 17 οἰκειοτάτου GF αὐτῷ MAGHPab: αὐτῶν UFr, αὐτοῦ D^{M} 18 ἄλλα] ἄλογα UH^{2} 18. 19 ψυχαῖς ἡ ἐξαιρουμένη εἰς ἐλευθερίαν διάνοια οὐκ ἔστι E 19 ὁ ἐξαιρούμενος UF 19. 20 χαλινωθέντα E 20 παραδίδοται U 21 δ' E ἐλευθερουργοῦ AHP^{2}, ἐλευθέρου γοῦν P^{1} γνώμης] γνῶσιν HP^{1} προαιρετικῶς HL^{1}

---

9 cf. Aristot. Topica I 17 p. 108^{a}11 ὡς ὄψις ἐν ὀφθαλμῷ, νοῦς ἐν ψυχῇ et quae collegi in Elteri Gnomologiorum graecorum historia p. 232. 11—18 D^{M} fol. 282, D^{P} fol. 376^{v} τοῦ αὐτοῦ ἐκ τοῦ περὶ γιγάντων: τῆς ψυχῆς τὸ εἶδος—ἣν ἠδύνατο δέξασθαι.

ρετικαῖς χρώμενος τὰ πολλὰ ταῖς ἐνεργείαις εἰκότως ψόγον μὲν ἔσχεν ἐφ' οἷς ἐκ προνοίας ἀδικεῖ, ἔπαινον δὲ ἐφ' οἷς ἑκὼν κατορθοῖ. τῶν 48 μὲν γὰρ ἄλλων φυτῶν τε καὶ ζώων οὔτε αἱ εὐφορίαι ἐπαινεταὶ οὔθ' αἱ κακοπραγίαι ψεκταί — τὰς γὰρ ἐφ' ἑκάτερα κινήσεις καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον —, μόνη δὲ ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ τὴν ἑκούσιον κίνησιν καὶ κατὰ τοῦτο μάλιστα ὁμοιωθεῖσα αὐτῷ, χαλεπῆς καὶ ἀργαλεωτάτης δεσποίνης, τῆς ἀνάγκης,
p. 280 M. ὡς οἷόν τε ἦν ἐλευθερωθεῖσα | κατηγορίας ἂν δεόντως τυγχάνοι, ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει· τοιγάρτοι τὴν κατ' ἀπελευθέρων ἀχαρίστων ἀπαραίτητον δίκην ὀρθότατα τίσει. ὥστε „ἐνεθυμήθη καὶ διενοήθη ὁ 49 θεὸς" οὐχὶ νῦν πρῶτον, ἀλλ' ἐξέτι πάλαι παγίως καὶ βεβαίως, „ὅτι ἐποίησε τὸν ἄνθρωπον", τουτέστιν ὁποῖον αὐτὸν εἰργάσατο· εἰργάσατο γὰρ αὐτὸν ἄφετον καὶ ἐλεύθερον, ἑκουσίοις καὶ προαιρετικαῖς χρησόμενον ταῖς ἐνεργείαις πρὸς τήνδε τὴν χρείαν, ἵνα ἐπιστάμενος ἀγαθά τε αὖ καὶ κακὰ καὶ καλῶν καὶ αἰσχρῶν λαμβάνων ἔννοιαν καὶ δικαίοις καὶ ἀδίκοις καὶ ὅλως τοῖς ἀπ' ἀρετῆς καὶ κακίας καθαρῶς ἐπιβάλλων αἱρέσει μὲν τῶν ἀμεινόνων, φυγῇ δὲ τῶν ἐναντίων χρῆται. παρὸ καὶ λόγιόν ἐστι 50 τοιοῦτον ἀναγεγραμμένον ἐν Δευτερονομίῳ· „ἰδοὺ δέδωκα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν, ἔκλεξαι τὴν ζωήν" (Deut. 30,15.19). οὐκοῦν ἀμφότερα διὰ τούτου παρίσταται, ὅτι

---

1 τὰ πολλὰ om. E 2. 5 τῶν μὲν γὰρ — ἔλαβον om. E, pergit παρὰ γὰρ θεοῦ τὴν ἑκούσιον κίνησιν εἰληφὼς καὶ κατὰ τοῦτο ὁμοιωθεὶς αὐτῷ 3 εὐποιίαι conicio 4 ψεκτικὸν U 5 ἔλαβεν conicio ἡ om. UF 6 μάλιστα GD: om. ceteri 8 ὡς οἷόν τε ἦν om. E ἦν om. HPD ἐλευθερωθεὶς E ἂν] οὐ D^M, om. $UFED_1LD_2L$ τυγχάνει U, ὑφαίνει D^M ὅτε conicio 9 οὐ περιέποι P, οὐκ εὐλαβεῖται D κατ' ἀπελευθέρων UFE: κατὰ ἐλευθέρων ceteri 10 ὀρθότητι P ἀποτίσει UFE διενοήθη G: ἐνενοήθη ceteri 11 νῦν, ἀλλὰ καὶ ἐξέτι UF. 12 πεποίηκε G τουτέστιν ἀπὸ ταὐτὸν UF alterum εἰργάσατο om. GUF 13 γὰρ αὐτὸν M: μὲν γὰρ αὐτὸν AH^2, τὸ μὲν γὰρ αὐτὸν G, τὸν μὲν γὰρ UF, μὲν αὐτὸν H^1P ἐλεύθερον καὶ ἄφετον GUF, post ἄφετον add. καὶ ἀπολυτὸν G προαιρετικοῖς HP χρησόμενον scripsi; χρησάμενον codd. 15 καλῶν] κακῶν U 16 τοῖς] τῆς A καὶ καθαρῶς P ἐπιβαλὼν G 17 παρ' ὃ AGU 18 τοιοῦτο UF, om. HPL^1 ἐν τῷ HP ἐν δευτερονομίῳ om. UF ἔδωκα M 19 τὸ ante κακὸν om. GUF 19. 20 ἐκλεκτικὴν ζωήν U, ἐκλεκτὴν ζωήν F

5—9 D^M fol. 18r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ γιγάντων D_1L fol. 23r Φίλωνος περὶ τῶν γιγάντων D_2L fol. 57r τοῦ αὐτοῦ περὶ τῶν γιγάντων: ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ — ὅτι τὸν ἐλευθερώσαντα οὐκ εὐλαβεῖται.

καὶ ἐπιστήμονες τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων γεγόνασιν ἄνθρωποι καὶ ὀφείλουσι πρὸ τῶν χειρόνων αἱρεῖσθαι τὰ κρείττω λογισμὸν ἔχοντες ἐν ἑαυτοῖς ὥσπερ τινὰ δικαστὴν ἀδωροδόκητον, οἷς ἂν ὁ ὀρθὸς ὑποβάλλῃ λόγος πεισθησόμενον, οἷς δ' ἂν ὁ ἐναντίος ἀπειθήσοντα.

51 (11.) Δεδηλωκότες οὖν ἀποχρώντως περὶ τούτων τὰ ἑξῆς ἴδωμεν. ἔστι δὲ ταῦτα· „ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ
52 οὐρανοῦ, ὅτι ἐθυμώθην, ὅτι ἐποίησα αὐτόν“ (Gen. 6,7). πάλιν τινὲς τῶν εἰρημένων ἀκούσαντες ὑπολαμβάνουσι θυμοῖς καὶ ὀργαῖς χρῆσθαι τὸ ὄν. ἔστι δ' οὐδενὶ ληπτὸν πάθει τὸ παράπαν· ἀσθενείας γὰρ ἀνθρωπίνης τὸ κηραίνειν ἴδιον, θεῷ δὲ οὔτε τὰ ψυχῆς ἄλογα πάθη οὔτε τὰ σώματος μέρη καὶ μέλη συνόλως ἐστὶν οἰκεῖα. λέγεται δὲ οὐδὲν ἧττον παρὰ τῷ νομοθέτῃ μέχρι τινὸς εἰσαγωγῆς τὰ τοιαῦτα, τοῦ νουθετῆσαι χάριν τοὺς
53 ἑτέρως μὴ δυναμένους σωφρονίζεσθαι. τῶν γὰρ ἐν ταῖς προστάξεσι καὶ ἀπαγορεύσεσι νόμων, οἳ δὴ κυρίως εἰσὶ νόμοι, δύο τὰ ἀνωτάτω πρόκειται κεφάλαια περὶ τοῦ αἰτίου, ἓν μὲν ὅτι „οὐχ ὡς ἄνθρωπος ὁ θεός“ (Num.
54 23,19), ἕτερον δὲ ὅτι ὡς ἄνθρωπος. ἀλλὰ τὸ μὲν πρότερον ἀληθείᾳ βεβαιοτάτῃ πεπίστωται, τὸ δ' ὕστερον πρὸς τὴν τῶν πολλῶν διδασκαλίαν εἰσάγεται· παρὸ καὶ | λέγεται ἐπ' αὐτοῦ· „ὡς ἄνθρωπος παιδεύσει τὸν p. 281 M.
υἱὸν αὐτοῦ“ (Deut. 1,31)· ὥστε παιδείας ἕνεκα καὶ νουθεσίας, ἀλλ' οὐχὶ
55 τῷ πεφυκέναι τοιοῦτον εἶναι λέλεκται. τῶν γὰρ ἀνθρώπων οἱ μὲν ψυχῆς, οἱ δὲ σώματος γεγόνασι φίλοι· οἱ μὲν οὖν ψυχῆς ἑταῖροι νοηταῖς καὶ ἀσωμάτοις φύσεσιν ἐνομιλεῖν δυνάμενοι οὐδεμιᾷ τῶν γεγονότων ἰδέᾳ

---

1 primum καὶ om. HPL¹ ἀγαθῶν καὶ τῶν H²: om. ceteri 2 ἐν om. AUF 3 ὁ om. GF 3. 4 ὁ — ἂν om. A 3. 4 ὑποβάλλῃ (ὑποβάλῃ M) λόγος MGUP: ἐπιβάλλει λόγος F, λόγος ὑποβάλλῃ H (ὑποβάλλει H²) 5 ἀποχρώντως om. U 6 ταῦτα UF: τοιαῦτα ceteri φησί ante τὸν add. U 7 πετεινοῦ MGUF 8 ἐθυμώθην] ἐνεθυμήθην HP πάλιν HP: πάλαι ceteri 10 ἔστι UF: ἐπεὶ ceteri 11 κηραίνειν] ὀργίζεσθαι A, s. s. P² τῆς ψυχῆς UF τοῦ σώματος UF 12 μέλη καὶ μέρη UF 14 ἑτέρους GF, ἑτέρῳ P πράξεσι U 15 οἳ] ἢ A εἰσὶν ὅμοιοι F πρόκεινται HP 16 περὶ] παρὰ H ὁ om. U 17 ὅτι om. F πρότερον UF: πρῶτον ceteri 18 ἕτερον UF 19 παρ' ὃ GU αὐτοῦ F, αὐ U: αὐτοὺς ceteri παιδεύσει UF: παιδεῦσαι ceteri 22 οὖν om. G 23 ἤδη ante φύσεσιν add. UF ὁμιλεῖν UF

---

10 sqq. cf. Clementem Strom. II § 72 p. 467P. 14 sqq. Orig. Comment. in Ev. Matth. XVII 17 p. 795 (Philonis operum vol. I p. LXXXXVI), Contra Celsum IV 71. 72 p. 557.

παραβάλλουσι τὸ ὄν, ἀλλ' ἐκβιβάσαντες αὐτὸ πάσης ποιότητος — ἓν γάρ τι τῶν εἰς τὴν μακαριότητα αὐτοῦ καὶ τὴν ἄκραν εὐδαιμονίαν ἦν τὸ ψιλὴν ἄνευ χαρακτῆρος τὴν ὕπαρξιν καταλαμβάνεσθαι — τὴν κατὰ τὸ εἶναι φαντασίαν μόνην ἐνεδέξαντο μὴ μορφώσαντες αὐτό. οἱ δὲ 56
συμβάσεις καὶ σπονδὰς πρὸς σῶμα θέμενοι, ἀδυνατοῦντες ἀπαμφιάσασθαι τὸ σαρκῶν περίβλημα καὶ μόνην καὶ καθ' ἑαυτὴν ἀπροσδεᾶ καὶ ἁπλῆν φύσιν ἰδεῖν ἀμιγῆ καὶ ἀσύγκριτον, οἷα περὶ ἑαυτῶν τοιαῦτα καὶ περὶ τοῦ πάντων αἰτίου διενοήθησαν, οὐ λογισάμενοι ὅτι τῷ μὲν ἐκ πλειόνων συνόδου δυνάμεων γενομένῳ πλειόνων ἔδει μερῶν πρὸς
τὴν τῶν καθ' ἕκαστον χρειῶν ὑπηρεσίαν, (12.) ὁ δὲ θεὸς ἅτε ἀγένητος ὢν καὶ τὰ ἄλλα ἀγαγὼν εἰς γένεσιν οὐδενὸς ἐδεήθη τῶν τοῖς γεννήμασι προσόντων· ἐπεὶ καὶ τί φῶμεν; εἰ κέχρηται τοῖς ὀργανικοῖς 57
μέρεσι, βάσεις μὲν ἔχει τοῦ προέρχεσθαι χάριν — βαδιεῖται δὲ ποῖ πεπληρωκὼς τὰ πάντα; καὶ πρὸς τίνα μηδενὸς ὄντος ἰσοτίμου; καὶ ἕνεκα
τοῦ; οὐ γὰρ ὑγείας φροντίζων ὥσπερ καὶ ἡμεῖς — καὶ χεῖρας μέντοι πρὸς τὸ λαβεῖν τε καὶ δοῦναι· λαμβάνει μὲν δὴ παρ' οὐδενὸς οὐδέν — πρὸς γὰρ τῷ ἀνεπιδεεῖ καὶ τὰ σύμπαντα ἔχει κτήματα —, δίδωσι δὲ λόγῳ χρώμενος ὑπηρέτῃ δωρεῶν, ᾧ καὶ τὸν κόσμον εἰργάζετο. ὀφθαλμῶν 58
γε μὴν οὐκ ἐδεῖτο, οἷς ἄνευ φωτὸς αἰσθητοῦ κατάληψις οὐ γίνεται· τὸ
δὲ αἰσθητὸν φῶς γενητόν, ἑώρα δὲ ὁ θεὸς καὶ πρὸ γενέσεως φωτὶ χρώμενος ἑαυτῷ. τί δὲ δεῖ λέγειν περὶ τῶν τῆς τροφῆς ὀργάνων; εἰ γὰρ 59
ταῦτ' ἔχει, καὶ τρέφεται καὶ πληρωθεὶς μὲν ἀποπατεῖ, παυσάμενος δὲ δεῖται πάλιν, καὶ τἄλλα ὅσα τούτοις ἀκόλουθα οὐκ ἂν εἴποιμι· ἀσεβῶν

---

1 ἐκβιβάσαντες UF: ἐπιβιβάσαντες ceteri 2 τι GUF: om. ceteri αὐτοῦ om. UF ἦν om. UF 4 μόνον φαντασίαν UF ἀνεδέξαντο P, ἐδέξαντο UF αὐτό U: om. F, αὐτόν ceteri 5 συμβιβάσεις U σώματα U, σώματι F ἐπαμφιάσασθαι A, corr. m. rec. in mg. 6 πρόβλημα H^1P 7 οἷα] οἷα in ras. H^2, οἷς βία P, ὁποῖα Turn. περὶ αὐτὴν U, περὶ αὐτῶν F (ῶν F^2 in ras.) 8 τῶν μὲν GUF 9 συνόδου — πλειόνων om. UF συνόλου G γενομένων G 10 ἕκαστα UF ὑπηρεσιῶν H 11 ἀγένητος MGL: ἀγέννητος ceteri ἄλλα] ὅλα coni. Mang. 13 ἔχειν H^2 προέρχεσθαι H^2: προσέρχεσθαι ceteri δέ τοι G 14 ἰσοτίμου] ἑτέρου UF 14—15 ἕνεκα — γὰρ om. A 15 τοῦ; οὐ γὰρ MHP: τοῦ; οὐ L, τούτου καὶ G, τίνος; οὐ γὰρ UF ὑγείας om. HP καὶ om. F χεῖρας M, χεῖρα AH^1PL 16 τε om. UF λαμβάνειν F δὴ] οὖν UF 17 γὰρ] δὲ A 18 λόγῳ] νόμῳ UFL^2 19 αἰσθητῶν F, αἰσθη τ U 20 φῶς ὡς G γεννητόν AUF καὶ πρὸ γενέσεως post ἑαυτῷ HP 21 δὲ UF: om. ceteri 22 ἀποπατεῖ MAHP: ἀποπαύεται GUFL^2, ἀναπαύεται conicio παυσάμενος] ἀποπατήσας vel ἀναπαυσάμενος conicio

αὗται μυθοποιίαι λόγῳ μὲν ἀνθρωπόμορφον ἔργῳ δὲ ἀνθρωποπαθὲς
60 εἰσαγόντων τὸ θεῖον. (13.) τίνος οὖν ἕνεκα Μωυσῆς βάσεις, χεῖρας,
εἰσόδους, | ἐξόδους φησὶν εἶναι περὶ τὸ ἀγένητον, τίνος δὲ χάριν ὅπλισιν p. 282 M.
τὴν πρὸς ἐχθρῶν ἄμυναν; ξιφηφοροῦντα γὰρ ⟨εἰσάγει⟩ καὶ βέλεσι χρώμενον
καὶ πνεύμασι καὶ φθοροποιῷ πυρί — καταιγίδα καὶ κεραυνὸν ἑτέροις
ὀνόμασι ταῦτα ποιηταὶ προσαγορεύοντες ὅπλα τοῦ αἰτίου φασὶν εἶναι —,
πρὸς δὲ ἔτι ζῆλον, θυμόν, ὀργάς, ὅσα τούτοις ὅμοια ἀνθρωπολογῶν
61 διεξέρχεται; ἀλλὰ τοῖς πυνθανομένοις ἀποκρίνεται· ὦ οὗτοι, τῷ ἄριστα
νομοθετήσοντι τέλος ἓν δεῖ προκεῖσθαι, πάντας ὠφελῆσαι τοὺς ἐντυγχά-
νοντας. οἱ μὲν οὖν εὐμοίρου φύσεως λαχόντες καὶ ἀγωγῆς ἐν πᾶσιν
ἀνυπαιτίου, τὴν μετὰ ταῦθ' ὁδὸν τοῦ βίου λεωφόρον καὶ εὐθεῖαν
εὑρίσκοντες, ἀληθείᾳ συνοδοιπόρῳ χρῶνται, παρ' ἧς μυηθέντες τὰ περὶ
τοῦ ὄντος ἀψευδῆ μυστήρια τῶν γενέσεως οὐδὲν προσαναπλάττουσιν
62 αὐτῷ. τούτοις οἰκειότατον πρόκειται κεφάλαιον ἐν τοῖς ἱεροφαντηθεῖσι
χρησμοῖς, ὅτι „οὐχ ὡς ἄνθρωπος ὁ θεός“, ἀλλ' οὐδ' ὡς οὐρανὸς οὐδ'
ὡς κόσμος· ποιὰ γὰρ εἴδη ταῦτά γε καὶ εἰς αἴσθησιν ἐρχόμενα, ὁ δ'
ἄρα οὐδὲ τῷ νῷ καταληπτὸς ὅτι μὴ κατὰ τὸ εἶναι μόνον· ὕπαρξις γὰρ
ἔσθ' ἣν καταλαμβάνομεν αὐτοῦ, τῶν δέ γε χωρὶς ὑπάρξεως οὐδέν.
63 (14.) οἱ δέ γε νωθεστέρᾳ μὲν καὶ ἀμβλείᾳ κεχρημένοι τῇ φύσει, περὶ
δὲ τὰς ἐν παισὶ τροφὰς πλημμεληθέντες, ὀξὺ καθορᾶν ἀδυνατοῦντες

---

1 αὗται UF: αἱ γὰρ ceteri, αὗται γὰρ Mang. λόγῳ μὲν] spatium in U 2 εἵ-
νεκα F Μωσῆς MA, om. H¹P χεῖρας om. M 3 ἀγέννητον AU
ὅπλισιν MAG²: ὅπλησιν P, ὁπλίσει UF, ὅπλισι G¹, ὅπλησι H, ὅπλοισι L, ὁπλίζει v
4 τὴν] τοῦτον H² γὰρ om. G εἰσάγει addidi 5 καὶ πνεύμασι GUF: om.
MAHP τῶν καὶ φθοροποιῶν πυρία (μυρία m²) G καταιγίδα UF: om. MAGHP
κεραυνῶ HP 6 ὠνόμασε U ποιηταὶ om. F προσαγορεύοντος F
7 προσέτι δὲ UF καὶ ὅσα UF 8 ἀποκρίνεσθαι U, ἀποκρίνεσθε F 9 νο-
μοθετήσοντι D: νομοθετήσαντι codd. προσκεῖσθαι MAHP προκεῖσθαι δεῖ D
ὠφελεῖσθαι HD, ἐκδέχεσθαι AP 10 εὐμοίρου MU: εὐμοιροῦντες F, εὐμέτρου AGP²,
ἀμοίρου HP¹ λαχόντες om. UF ἀγωγὴν G ἐν πᾶσιν M: πάσης UF,
ζῆν AG, om. HP 11 ἀνυπαίτιον MAH¹P 12 ἀνευρίσκοντες UF μηθέντες
UF¹ 13 προσαναπλάττουσιν UFH²: προαναπλάττουσιν ceteri 15 ὁ om. P
οὐδ' scripsi: οὔτ' codd. οὐδ' U, οὐδὲ G: οὔθ' ceteri 18 ἔσθ' ἣν MAH¹: ἐστιν
ἣν UF, ἔσθ' ὃ ἣν G, ἐστι A, ἔσθ' ὃ H² τῶν δέ γε UF: τὸν δέ γε AG, τὸ δέ γε
MHP, τοῦ δὲ coni. Mang. 19 γεωδεστέρᾳ UF 20 καὶ ante ὀξὺ add. Mang.

---

8. 9 DR fol. 114r ἐκ τοῦ περὶ γιγάντων: τῷ ἄριστα — τοὺς ἐντυγχάνοντας.
17 DL fol. 26v DR fol. 22v DC fol. 45v ἐκ τοῦ περὶ γιγάντων: οὐδὲ τῷ νῷ καταληπτὸς
ὁ θεὸς ὅτι εἰ μὴ κατὰ τὸ εἶναι μόνον.

ἰατρῶν δέονται νουθετητῶν, οἳ πρὸς τὸ παρὸν πάθος τὴν οἰκείαν
ἐπινοήσουσι θεραπείαν· ἐπεὶ καὶ ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς 64
δεσπότης ὠφέλιμος, τὰς γὰρ ἐπανατάσεις καὶ ἀπειλὰς αὐτοῦ δεδιότες
ἄκοντες φόβῳ νουθετοῦνται. μανθανέτωσαν οὖν πάντες οἱ τοιοῦτοι τὰ
ψευδῆ, δι' ὧν ὠφεληθήσονται, εἰ μὴ δύνανται δι' ἀληθείας σωφρονίζεσθαι.
καὶ γὰρ τοῖς τὰ σώματα κάμνουσιν ἐπισφαλῶς οἱ δοκιμώτατοι τῶν ἰατρῶν 65
τἀληθῆ λαλεῖν οὐχ ὑπομένουσιν εἰδότες ἀθυμοτέρους μὲν ἐκ τούτου
γενησομένους καὶ οὐ ῥωσθησομένην τὴν νόσον, ἐκ δὲ τῆς τῶν ἐναντίων
παρηγορίας πραότερον τὰ ἐν χερσὶν οἴσοντας καὶ τὸ ἀρρώστημα λωφῆσον.
τίς γὰρ ἂν τῶν εὖ φρονούντων εἴποι τῷ θεραπευομένῳ· ὦ οὗτος, τετμήσῃ, 66
κεκαύσῃ, ἀκρωτηριασθήσῃ, κἂν εἰ μέλλοι ταῦτ' ἐξ ἀνάγκης ὑπομένειν;
οὐδεὶς ἐρεῖ. προαναπεσὼν γὰρ τὴν γνώμην ἐκεῖνος καὶ νόσον ἑτέραν τῆς
ψυχῆς ἀργαλεωτέραν τῆς προϋπούσης τοῦ σώματος προσλαβὼν ἀπερεῖ
p. 283 M. πρὸς τὴν θεραπείαν ἄσμενος, | ἐκ δὲ τοῦ τὰ ἐναντία ἀπάτῃ τοῦ
θεραπεύοντος προσδοκῆσαι τλητικῶς πάνθ' ὑποστήσεται, κἂν ἀλγεινότατα
ᾖ τὰ σῴζοντα. γενόμενος οὖν τῶν τῆς ψυχῆς παθῶν καὶ νοσημάτων 67
ἄριστος ἰατρὸς ὁ νομοθέτης ἓν ἔργον καὶ τέλος προὔθετο, αὐταῖς ῥίζαις

---

1 νουθετητῶν scripsi: νομοθετῶν codd. οἳ] οἱ καὶ A, καὶ G 2 ἐπινοῆσαι A, ἐπινοοῦσι G 3 τὰς γὰρ om. AG ἐπαναστάσεις MAHPD, ἐπανασταθεὶς G καὶ ἀπειλὰς om. D 4 οὖν om. DK ἅπαντες UF 4. 5 πάντες οὗτοι τὰ οἰκονομικῶς ψεύδη DK 5 ὠφελήσονται MAGH¹P εἰ μὴ – σωφρονίζεσθαι om. DK 6 καμοῦσιν UF δοκιμώτατοι Mang.: νομιμώτατοι codd. 7 λαλεῖν] λέγειν DK μὲν post εἰδότες transpos. PH¹ 8 οὐ eras. H σωθησομένην MAH¹P 9 ῥᾴτερον UFL² τὰ ἀρρωστήματα ὠφελήσοντας UF 10 εἴποι GUF: εἶπε MAHP 11 τέτμηθι εἰ καὶ καύσῃ A τέτμηθι ᾖ καὶ καύσει ἀκρωτηριασθείσῃ G καὶ καύσῃ καὶ ἀκρωτηριασθήσῃ UF, post κεκαύσῃ add. καὶ etiam L² κἂν] καὶ AUF μέλλει A 12 οὐδεὶς M: ὅτε δέοι UF, mg. L, οὐδὲ εἷς ceteri ἐρεῖ om. UF 12. 13 τῆς ψυχῆς scripsi: τῇ ψυχῇ codd. 13 προσλαβὼν UFH²: προσβαλὼν ceteri ἀπαίρει AUF (sed αι in ras. A) 14 ἄσμενος fort. in lin. 15 transpon. τοῦ τοῦ ἐναντία H, τῇ τοῦ ἐναντία P ἀπάγῃ F 15 πάντα G 16 τῆς om. UF καὶ νοσημάτων UF: om. ceteri 17 τέλος ἓν UF

2—7 DK fol. 252r ἐκ τοῦ περὶ τῶν γιγάντων: ἐπειδὴ καὶ ἀναγώγοις – τῶν ἰατρῶν τἀληθῆ λέγειν οὐκ ἀνέχονται DR fol. 159r Φίλωνος ἐκ τοῦ περὶ γιγάντων (Anton. Mel. II 21 col. 1063 Φίλωνος): καὶ ἀναγώγοις καὶ ἄφροσι (οἰκέταις Anton.) φοβερὸς — νουθετοῦνται (lin. 4) 6 sqq. cf. *De Cherubim § 15, Platonis Remp. p. 389 B, Clementem Strom. VII § 53 p. 863 P, Orig. Homil. XIX, 3 in Jeremiam p. 265:* ὡς ἰατρὸς ἀπατᾶν τὸν κάμνοντα πραγματεύεται μὴ δυνάμενον θεραπευθῆναι, ἐὰν μὴ ἀπάτης παραδέξηται λόγους . . . λεγέτω ὁ ἰατρὸς τῷ κάμνοντι· τμηθῆναί σε δεῖ, καυτηριασθῆναί σε δεῖ . . . . . οὐκ ἂν παράσχοι αὐτὸν ἐκεῖνος, *fragm. ex libro VI Stromatum Origenis p. 39.*

τὰς τῆς διανοίας νόσους ἐκτεμεῖν, ἵνα μή τις ὑπολειφθεῖσα βλάστην
68 ἀρρωστήματος ἐνέγκῃ δυσιάτου. τοῦτον δὴ τὸν τρόπον ἤλπισεν ἐκκόψαι δυνήσεσθαι, εἰ χρώμενον ἀπειλαῖς καὶ ἀγανακτήσεσι καὶ ἀπαραιτήτοις ὀργαῖς, ἔτι δὲ ἀμυντηρίοις ὅπλοις πρὸς τὰς κατὰ τῶν ἀδικούντων ἐπεξόδους εἰσαγάγοι τὸ αἴτιον· μόνως γὰρ οὕτως ὁ ἄφρων νουθετεῖται.
69 παρό μοι δοκεῖ τοῖς προειρημένοις δυσὶ κεφαλαίοις, τῷ τε „ὡς ἄνθρωπος“ καὶ τῷ „οὐχ ὡς ἄνθρωπος ὁ θεὸς“ ἕτερα δύο συνυφῆναι ἀκόλουθα καὶ συγγενῆ, φόβον τε καὶ ἀγάπην· τὰς γὰρ διὰ τῶν νόμων εἰς εὐσέβειαν ὁρῶ παρακελεύσεις ἁπάσας ἀναφερομένας ἢ πρὸς τὸ ἀγαπᾶν ἢ πρὸς τὸ φοβεῖσθαι τὸν ὄντα. τοῖς μὲν οὖν μήτε μέρος μήτε πάθος ἀνθρώπου περὶ τὸ ὂν νομίζουσιν, ἀλλὰ θεοπρεπῶς αὐτὸ δι' αὐτὸ μόνον τιμῶσι τὸ ἀγαπᾶν οἰκειότατον, φοβεῖσθαι δὲ τοῖς ἑτέροις.
70 (15.) Ἃ μὲν οὖν προκαταστήσασθαι τῆς ζητήσεως ἁρμόττον ἦν, τοιαῦτά ἐστιν. ἐπανιτέον δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς σκέψιν, καθ' ἣν ἠποροῦμεν, τίνα ὑπογράφει νοῦν τὸ „ἐθυμώθην ὅτι ἐποίησα αὐτούς“. ἴσως οὖν τοιοῦτόν τι βούλεται παραστῆσαι, ὅτι οἱ μὲν φαῦλοι θυμῷ γεγόνασι θεοῦ, οἱ δ' ἀγαθοὶ χάριτι. καὶ γὰρ ἑξῆς φησι· „Νῶε δὲ εὗρε χάριν“
71 (Gen. 6, 8). τὸ δὲ κυριολογούμενον ἐπ' ἀνθρώπων πάθος ὁ θυμὸς εὐθυβόλως εἴρηται τροπικώτερον ἐπὶ τοῦ ὄντος εἰς τὴν ἀναγκαιοτάτου πράγματος δήλωσιν, ὅτι πάνθ' ὅσα δι' ὀργὴν ἢ φόβον ἢ λύπην ἢ ἡδονὴν ἤ τι τῶν ἄλλων παθῶν πράττομεν, ὑπαίτια καὶ ἐπίληπτα ὁμολογουμένως
72 ἐστίν, ὅσα δὲ μετ' ὀρθότητος λόγου καὶ ἐπιστήμης, ἐπαινετά. ὁρᾷς ὅση καὶ περὶ τὴν προφορὰν κέχρηται προφυλακῇ, „ὅτι ἐθυμώθην, ὅτι ἐποίησα αὐτοὺς“ εἰπών, ἀλλ' οὐ κατ' ἀναστροφήν· διότι ἐποίησα αὐτούς, ἐθυμώθην. τοῦτο μὲν γὰρ μετανοοῦντος ἦν, ὅπερ ἡ τὰ πάντα προμηθουμένη θεοῦ φύσις οὐκ ἀνέχεται, ἐκεῖνο δὲ δόγμα συνεκτικώτατον εἰσηγουμένου, ὅτι πηγὴ μὲν ἁμαρτημάτων θυμός, λογισμὸς δὲ κατορθωμά-

---

1 βλάστη G 2 ἐνέγκῃ om. A δυσιάτου MAGH²: δυσίατον UFPH¹
δὴ] οὖν U 3 εἰ] ἢ A χρώμενος UF ἀνακτήσεσι H¹P 5 εἰσαγάγοι HP: ἐπαγάγοι MG, ἐπαγάγῃ A, εἰσάγοι UF μόνως MHP: μόνος ceteri
ὁ om. UF 6 παρ' ὃ AU τέως F 7 συνυφεῖναι A
11 τὸ αὐτὸ U, τὸ αὐτοῦ F δι' αὐτὸ om. HP, δι' αὐτοῦ UF 13 προκαταστήσεσθαι AG 14. 15 ἀποροῦμεν A 15 ὑπογράφεται GF, ὑπογράφει τε A
νοῦν] νῦν UF, τε νοῦν A 16 τι τοιοῦτον UF τι] ἐστιν δ G στῆσαι U
17 δὲ MGF φασι A 19 εὐθυβόλως UF: om. ceteri δὲ ante ἐπὶ add. UF παρόντος UF ἀναγκαιοτάτου Mang.: ἀναγκαιοτάτην τοῦ codd.
20 ὅταν H 23 φυλακῇ GUF 24 εἶπον A οὐκ ἀναστροφὴν A
κατὰ ἀντιστροφὴν H² 25. 26 προθυμουμένη G 27 πηγαὶ G

των. μεμνημένος δὲ τῆς περὶ πάντα τελείας ἀγαθότητος ἑαυτοῦ ὁ θεός, 73
κἂν τὸ σύμπαν ἀνθρώπων πλῆθος ἐξ ἑαυτοῦ δι' ὑπερβολὰς ἁμαρτημάτων περιπίπτῃ, τὴν δεξιὰν καὶ σωτήριον χεῖρα ὀρέγων ὑπολαμβάνει
p. 284 M. | καὶ ἐξανίστησιν οὐκ ἐῶν εἰσάπαν φθαρῆναι καὶ ἀφανισθῆναι τὸ γένος.
(16.) διὸ νῦν φησι τὸν Νῶε χάριν εὑρεῖν παρ' αὐτῷ, ὅτε οἱ ἄλλοι 74
φανέντες ἀχάριστοι τίνειν μέλλουσι δίκας, ἵνα τὸν σωτήριον ἔλεον ἀνακεράσηται τῇ κατὰ ἁμαρτανόντων κρίσει· καθάπερ καὶ ὁ ὑμνῳδὸς εἶπέ που· „ἔλεον καὶ κρίσιν ᾄσομαί σοι“ (Psalm. 100, 1)· εἰ γὰρ βουληθείη 75
ὁ θεὸς δικάσαι τῷ θνητῷ γένει χωρὶς ἐλέου, τὴν καταδικάζουσαν ψῆφον οἴσει μηδενὸς ἀνθρώπων τὸν ἀπὸ γενέσεως ἄχρι τελευτῆς βίον ἄπταιστον ἐξ ἑαυτοῦ δραμόντος, ἀλλὰ τὸ μὲν ἑκουσίοις, τὸ δὲ ἀκουσίοις χρησαμένου τοῖς ἐν ποσὶν ὀλισθήμασιν. ἵν' οὖν ὑπάρχῃ τὸ γένος, κἂν 76
πολλὰ τῶν εἰδικῶν βύθια χωρῇ, τὸν ἔλεον ἀνακίρνησιν, ᾧ πρὸς εὐεργεσίας καὶ τῶν ἀναξίων χρῆται, καὶ οὐ μόνον δικάσας ἐλεεῖ, ἀλλὰ καὶ ἐλεήσας δικάζει· πρεσβύτερος γὰρ δίκης ὁ ἔλεος παρ' αὐτῷ ἐστιν ἅτε τὸν κολάσεως ἄξιον οὐ μετὰ τὴν δίκην, ἀλλὰ πρὸ δίκης εἰδότι. (17.) διὰ 77
τοῦτο ἐν ἑτέροις εἴρηται· „ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος“ (Psalm. 74, 9)· καίτοι τό γε κεκραμένον οὐκ ἄκρατον. ἀλλ' ἔχει λόγον ταῦτα φυσικώτατον καὶ τοῖς προειρημένοις ἀκόλουθον· ὁ γὰρ θεὸς ταῖς δυνάμεσι πρὸς μὲν ἑαυτὸν ἀκράτοις χρῆται, κεκραμέναις δὲ πρὸς γένεσιν· τὰς γὰρ ἀμιγεῖς θνητὴν ἀμήχανον φύσιν χωρῆσαι. ἢ νομίζεις ἄκρατον μὲν τὴν ἡλίου φλόγα μὴ δύνασθαι θεαθῆναι — 78

---

1 ras. ante πάντα H αὐτοῦ PL ὁ fort. del. 2 post σύμπαν add. πλεῖστον H et ἢ τὸ supra scr. H^2 ἀνθρώπων πλῆθος add. H^2, ἀνθρώπων πλείστων P ὑπερβολὴν F 3 περιπίπτῃ suspectum, fort. πίπτῃ. παραπίπτῃ vel περιπταίῃ coni. Mang. 4 εἰς ἅπαν MAUFP 5 τὸν] τῶ A ὅτι L 6 τίνειν MAHP: τίσειν GU, τίσιν F τὸν] τὸ G 7 καὶ] γὰρ καὶ PH^1 8 σοι κύριε F 8. 9 γὰρ μὴ βουλῇ θεὸς U, γὰρ μὴ βουληθῇ θεὸς F 9 γένει UF: om. ceteri ἐλέους U 10 τὸν] τῶν AUH^1 ἄχρι MAUFP: μέχρι GH 11 τὸ] ποτὲ UF, τοῦ H^2 τὸ] τοῦ H^2 12 ἵν' AFP: ἵνα ceteri 12. 13 κἂν πολλὰ — εὐεργεσίας om. F 13 τῶν ὄγκων βαθεῖα χωρητὸν G, βαθεία etiam A εἰδικῶν Mang.: ἰδικῶν codd. ὡς A 14 μόνον οὐ UF ἀλλὰ καὶ UF: ἀλλὰ MG, ἀλλ' AHP 15 δίκης] δικαίου Flor. Laur. τὸ ἔλεος UF ἐστιν om. Flor. Laur. 16 δίκην] κρίσιν UF Flor. Laur. 17 κυρίου] θεοῦ U 18 κεκερασμένον MAU, κερασμένον F τό γε MAHP: γε GU, om. F κεκραμμένον HP 20 κέχρηται GUF 20. 21 κεκραμμέναις HP 22 μὴ om. UF θεάσασθαι conicio

---

14—16 Flor. Laur. nr. 1: ὁ θεὸς οὐ δικάσας ἐλεεῖ, ἀλλ' ἐλεήσας δικάζει — εἰδότι.

σβεσθήσεται γὰρ πρότερον ἡ ὄψις μαρμαρυγαῖς τῶν ἀκτίνων ἀμυδρωθεῖσα
ἢ προσβάλλουσα καταλήψεται· καίτοι καὶ ἥλιος ἓν ἦν ἔργον θεοῦ, μοῖρα
οὐρανοῦ, πίλημα αἰθέριον —, τὰς δὲ ἀγενήτους ἄρα δυνάμεις ἐκείνας,
αἳ περὶ αὐτὸν οὖσαι λαμπρότατον φῶς ἀπαστράπτουσιν, ἀκράτους περι-
79 νοῆσαι δύνασθαι; ὥσπερ οὖν τὰς ἡλιακὰς ἀκτῖνας ἔτεινε μὲν ἀπ' οὐρα-
νοῦ μέχρι τερμάτων γῆς τὸ σφοδρὸν τῆς ἐν αὐταῖς θερμότητος ἀνεὶς
καὶ χαλάσας ἀέρι ψυχρῷ — τοῦτο γὰρ αὐταῖς ἀνεκεράσατο, ὅπως τὸ
αὐγοειδὲς ἀπὸ τοῦ φλογώδους πυρὸς ἀνασταλέν, τὴν μὲν τοῦ καίειν
μεθειμένον δύναμιν, τὴν δὲ τοῦ φωτίζειν περιέχον τῷ ταμιευομένῳ ἐν
ταῖς ὄψεσι συγγενεῖ αὐτοῦ καὶ φίλῳ ὑπαντιάσαν ἀσπάσηται· ἡ γὰρ τού-
των ἐξ ἐναντίας εἰς ταὐτὸ σύνοδός τε καὶ δεξίωσις τὴν δι' ὁράσεως
ἀντίληψιν ἐργάζεται —, οὕτως ἐπιστήμην θεοῦ καὶ σοφίαν καὶ φρόνησιν
καὶ δικαιοσύνην καὶ τῶν ἄλλων ἑκάστην ἀρετῶν τίς ἂν ἀκραιφνῆ δέξα-
σθαι δύναιτο θνητὸς ὤν; ἀλλ' οὐδ' ὁ σύμπας οὐρανός τε καὶ κόσμος.
80 εἰδὼς τοίνυν ὁ δημιουργὸς τὰς περὶ αὐτὸν ἐν ἅπασι τοῖς ἀρίστοις ὑπερ-
βολὰς καὶ τὴν τῶν γεγονότων, εἰ καὶ σφόδρα μεγαλαυχοῖεν, φυσικὴν
ἀσθένειαν οὔτε | εὐεργετεῖν οὔτε κολάζειν ὡς δύναται βούλεται, ἀλλ' ὡς p. 285 M.
81 ἔχοντας ὁρᾷ δύναμεως τοὺς ἑκατέρου μεθέξοντας. εἰ δὴ τοῦ ἀνειμένου
καὶ μεσότητας ἔχοντος τῶν δυνάμεων αὐτοῦ κράματος ἐμπιεῖν καὶ ἀπο-
λαῦσαι δυνηθείημεν, ἀποχρῶσαν ἂν εὐφροσύνην καρπωσαίμεθα, ἧς τελει-
οτέραν μὴ ζητείτω λαβεῖν τὸ ἀνθρώπων γένος· ἐδείχθησαν γὰρ αἱ ἀμι-
γεῖς καὶ ἄκρατοι καὶ τῷ ὄντι ἀκρότητες περὶ τὸ ὂν μόνον ὑπάρχουσαι.
82 (18.) τοῖς δ' εἰρημένοις ὅμοιόν ἐστι καὶ τὸ ἑτέρωθι λεχθὲν „ἅπαξ
κύριος ἐλάλησε, δύο ταῦτα ἤκουσα“ (Psalm. 61, 12). τὸ μὲν γὰρ

---

1 συμβήσεται G 2 προβάλλουσα F καίτοι ἥλιος ἦν UF ἔργων conicio
3 ἀγεννήτους AU ἄρα] ἔτι F 4 οὐσίαι UF ἀπαστράπτουσαι G 5 ἐνέ-
τεινε U, ἀνέτεινεν F 6 γῆς τερμάτων HP τὸ] τὸν U θερμότατος P
7 τούτῳ HP, τοῦτον coni. Cohn αὐταῖς AUF: αὐτὰς MGHP ὅπως καὶ τὸ G
8 διασταλὲν coni. Mangey 9 καθειμένον L περιέσχον GH¹ 9. 10 τὸ
ταμιευόμενον ἐν ταῖς ὄψεσι συγγενὲς αὐτοῦ καὶ φίλον conicio ὑπαντιάσαν om. in
lacuna A, ὑπαντιάσας P ἀνασπάσηται AUF 11 ἐξ ἐναντίας AU: ἐξεναντίας
ceteri δικαίωσις U 12 μὲν post οὕτως add. UF καὶ σοφίαν θεοῦ
PL 14 δύναιτο Turn.: δύνηται AUF, δύναται ceteri 15 αὐτὸν H²:
αὐτῶν A, αὐτὸν ceteri 16 γεγονότων] λεγόντων U 18 ὅρια G
ἑκάτερα AGF εἰ δὴ]ἤδη AG ἀνημμένου A 19 μεσότητα AH¹L
ἐμπιεῖν MUFH: ἐμποιεῖν ὃ A, ἐμποιεῖν P, ἐμπ εισδ (sic) G 20 ἀποχρώντως AGUF
ἂν AGF: om. ceteri καρπωσώμεθα A 21 ζήτει τὸ F 21. 22 γὰρ
διαμιγεῖς G 23 τό] τῷ AG 24 μίαν ἐλάλησεν ὁ θεός, δύο ταύτην
ἠκούσαμεν UF

ἅπαξ ἔοικε τῷ ἀκράτῳ — καὶ γὰρ τὸ ἄκρατον μονὰς καὶ ἡ μονὰς ἄκρατον —, τὸ δὲ δὶς τῷ κεκραμένῳ· τὸ γὰρ κεκραμένον οὐχ ἁπλοῦν ἅτε καὶ σύγκρισιν καὶ διάκρισιν ἐπιδεχόμενον. μονάδας μὲν οὖν ἀκρά- 83
τους ὁ θεὸς λαλεῖ· οὐ γάρ ἐστιν ὁ λόγος αὐτῷ γεγωνὸς ἀέρος πλῆξις ἀναμιγνύμενος ἄλλῳ τὸ παράπαν οὐδενί, ἀλλὰ ἀσώματός τε καὶ γυμνός, ἀδιαφορῶν μονάδος. ἀκούομεν δ' ἡμεῖς δυάδι· τὸ γὰρ ἀφ' ἡγεμονι- 84
κοῦ πνεῦμα διὰ τραχείας ἀναπεμπόμενον ἀρτηρίας τυποῦται μὲν ἐν στόματι ὥσπερ ὑπὸ δημιουργοῦ τινος γλώττης, φερόμενον δ' ἔξω καὶ ἀναμιχθὲν ἀέρι συγγενεῖ καὶ πλῆξαν αὐτὸν τὴν δυάδος κρᾶσιν ἁρμονίως ἀποτελεῖ· τὸ γὰρ συνηχοῦν ἐκ φθόγγων διαφερόντων δυάδι μεριστῇ τὸ πρῶτον ἁρμόζεται ὀξὺν καὶ βαρὺν τόνον ἐχούσῃ. παγκάλως οὖν τῷ 85
πλήθει τῶν ἀδίκων λογισμῶν ἀντέθηκεν ἕνα τὸν δίκαιον, ἀριθμῷ μὲν ἐλάττονα δυνάμει δὲ πλείονα, ἵνα μὴ ταλαντεῦσαν ὥσπερ ἐπὶ πλάστιγγος βρίσῃ τὸ χεῖρον, ἀλλὰ κράτει τῆς ἐναντίας πρὸς τὸ βέλτιον ῥοπῆς ἀνακουφισθὲν ἀσθενήσῃ.

(19.) Τί δέ ἐστι τὸ „Νῶε εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ“ 86
(Gen. 6, 8), συνεπισκεψώμεθα· τῶν εὑρισκόντων οἱ μὲν ἃ πρότερον ἔχοντες ἀπέβαλον αὖθις εὑρίσκουσιν, οἱ δὲ ἃ μὴ πάλαι νῦν δὲ πρῶτον περιεποιήσαντο. τουτὶ μὲν οὖν τὸ ἔργον εὕρεσιν, ἐκεῖνο δὲ ἀνεύρεσιν οἱ ζητητικοὶ τῶν κυρίων ὀνομάτων καλεῖν εἰώθασι. τοῦ μὲν οὖν προ- 87
τέρου παράδειγμα ἐναργέστατον τὰ περὶ τῆς μεγάλης εὐχῆς (Num. 6, 2.) διατεταγμένα. ἔστι δὲ εὐχὴ μὲν αἴτησις ἀγαθῶν παρὰ θεοῦ, μεγάλη δὲ εὐχὴ τὸν θεὸν αἴτιον ἀγαθῶν αὐτὸν ἀφ' ἑαυτοῦ νομίζειν μηδενὸς ἑτέρου τῶν εἰς τὸ δοκεῖν ὠφελεῖν συνεργοῦντος, μὴ γῆς ὡς καρποτόκου, μὴ ὑετῶν ὡς σπέρματα καὶ φυτὰ συναυξόντων, μὴ ἀέρος ὡς τρέφειν ἱκανοῦ, μὴ γεωργίας ὡς φορᾶς αἰτίας, μὴ ἰατρικῆς ὡς ὑγείας, μὴ γάμου
p. 286 M. ὡς γενέσεως παίδων. πάντα γὰρ ταῦτα δυνάμει θεοῦ μεταβολὰς | δέχε- 88

1 ἀκροτάτῳ F ἀκρότατον UF 1. 2 καὶ — ἄκρατον om. G 2 τῷ δὲ δύο U τὸ γὰρ κεκραμένον scripsi: ἑκάτερον γὰρ codd., κεκραμένον γὰρ Mang. 3 καὶ post ἅτε om. UF καὶ διάκρισιν om. L 4 καλεῖ A γεγωνὸς Mang.: γεγονὼς codd. 5 ἀλλὰ καὶ H, ἀλλὰ in ras. P^2 7 πνεύματος UF 8 δὲ G 9 αὐτὸ UF δυάδος H^2L^1: δι' ὕδατος ceteri, διὰ δυάδος conicio ἁρμονίως H^2: ἁρμονίαν G, ἁρμονίας ceteri 11 καὶ om. A ἔχουσι A 12 ἕνα] ἐν ᾧ UF 14 βρίθῃ P κρατίστης τῆς A, κρατιστὴν G, κράσει τῆς F πρὸς Mang.: περὶ codd. 15 ἀσθενήσει MGF 16 δ' ἐστὶ UF ἔναντι HP τοῦ om. F 18 ἀπέλαβον G 20 ζητικοὶ H 22 εὐχῆς G 23 τὸν] τὸ τὸν H^2 αὐτὸν om. HP 23. 24 μηδενὸς — συνεργοῦντος om. U 24 τῶν del. Mang. 25 ὑετὸν A, ὑετοῦ GUF συναυξανόντων G

ται καὶ τροπάς, ὡς τἀναντία πολλάκις τοῖς ἐξ ἔθους ἀποτελεῖν. τοῦτον οὖν φησι Μωυσῆς „ἅγιον“ εἶναι, „τρέφοντα κόμην τρίχα κεφαλῆς“ (ibid. 5), ὅπερ ἦν τὰς ἐν τῷ ἡγεμονικῷ τῶν ἀρετῆς δογμάτων κεφαλαιώδεις ἀνατολὰς συναύξοντα καὶ τρόπον τινὰ κομῶντα καὶ σεμνυνόμενον
89 ἐπ' αὐταῖς. ἀλλ' ἔστιν ὅτε ἀπέβαλεν αὐτὰς αἰφνίδιον κατασκήψαντος οἷά τινος τυφῶνος εἰς τὴν ψυχὴν καὶ τὰ καλὰ πάντα αὐτῆς ἐξαρπάσαντος· ὁ δὲ τυφὼν οὗτος τροπή τίς ἐστιν ἀκούσιος παραχρῆμα τὸν νοῦν
90 μιαίνουσα, ἣν καλεῖ θάνατον (ibid. 9). ἀλλ' ὅμως ἀποβαλὼν αὖθις καὶ καθαρθεὶς ἀναλαμβάνει καὶ ἀναμιμνήσκεται ὧν τέως ἐπελέληστο, καὶ ἅπερ ἀπέβαλεν εὑρίσκει, ὡς τὰς προτέρας τῆς τροπῆς ἡμέρας ἀλόγους ἐξετάζεσθαι (ibid. 12), ἢ διότι παράλογον ἡ τροπὴ πρᾶγμα, ἀπᾷδον ὀρθοῦ λόγου καὶ φρονήσεως ἀμέτοχον, ἢ παρόσον οὐκ ἔστιν ἀξία καταριθμεῖσθαι· „τῶν γὰρ τοιούτων“ ἔφη τις „οὐ λόγος οὐδ' ἀριθμός“.
91 (20.) πολλάκις δὲ ἐνετύχομεν τούτοις, ἃ μηδ' ὄναρ πρότερον εἴδομεν· ὥσπερ γεωπόνον φασί τινες ὑπὲρ τοῦ τι τῶν ἡμέρων δένδρων φυτεῦσαι σκάπτοντα χωρίον θησαυρῷ περιτυχεῖν ἀνελπίστῳ χρησάμενον εὐτυχίᾳ.
92 ὁ γοῦν ἀσκητὴς πυθομένου τοῦ πατρὸς αὐτοῦ τῆς ἐπιστήμης τὸν τρόπον τοῦτον· „τί τοῦτο ὃ ταχὺ εὗρες, τέκνον“; ἀποκρίνεται καί φησιν· „ὃ παρέδωκε κύριος ὁ θεὸς ἐναντίον μου“ (Gen. 27, 20)· ὅταν γὰρ ὁ θεὸς παραδιδῷ τὰ τῆς ἀιδίου σοφίας θεωρήματα καμάτου χωρὶς καὶ πόνου, ταῦτα ἐξαίφνης οὐ
93 προσδοκήσαντες θησαυρὸν εὐδαιμονίας τελείας εὑρίσκομεν. συμβαίνει δὲ πολλάκις τοῖς μὲν ἐπιπόνως ζητοῦσιν ἀποτυγχάνειν τοῦ ζητουμένου, τοῖς δ' ἄνευ φροντίδος ῥᾷστα καὶ ἃ μὴ διενοήθησαν εὑρίσκειν· οἱ μὲν γὰρ νωθέστεροι καὶ βραδεῖς τὰς ψυχὰς ὥσπερ οἱ τὰ ὄμματα πεπηρωμένοι τὸν εἰς τὸ θεωρῆσαί τι τῶν κατ' ἐπιστήμην πόνον ἴσχουσιν ἀτελῆ, οἱ δὲ φύσεως εὐμοιρίᾳ δίχα ζητήσεως μυρίοις ἐνέτυχον εὐθυβόλῳ καὶ εὐ-

---

1 ὥστ' ἐναντία UF ἀποτελεῖ A 2 ἅγιον] αἴτιον UFL^2 τρίχας P 3 ὥσπερ UF 3. 4 κεφαλώδεις U 4 συναύξονται A 5 ἀπέβαλον A 6 post πάντα add. ἀρετῆς G 7 τῦφον G, τύφος UF τροπῆς ἐστιν U, τροπή ἐστιν F 8 καὶ secl. Cohn 9 τέως AHPL^1: τὲ M, τελέως GUFL^2 ἐπιλέληστο AG, ἀπελέληστο F 10 ὀλίγας AH^{2}P 11 ἢ om. F ἀπωδὸν UF 12 παρ' ὅσον MAUFH 13 οὐδ'] οὐκ UF 14 ἃ om. F ἴδομεν GU, ἰδόντες F 15 γεηπόνον A τινες] τινα coni. Cohn δένδρον MHP^1 16 περιπεσεῖν UF 17 αὐτοῦ FP: αὐτῷ ceteri 18 τοῦτον om. MUF ὃ om. M, ὅτι UF καὶ om. G 19 ὁ θεὸς om. H, postea add. L 20 ἀϊδίου codd.: ἰδίου Turn. ταῦτ' UF 22 ἐπιπόνου A ἀποτυγχάνει A^1 23 γὰρ H^2: γε ceteri 25 τὸν G^2: τῶν ceteri εὐμαρεία A

---

13 cf. Theocriti Idyll. XIV 48, locutio in proverbii consuetudinem venisse videtur.

θίκτῳ χρησάμενοι προσβολῇ, ὡς δοκεῖν αὐτοὺς μὲν μὴ σπουδάσαι τοῖς πράγμασιν ἐντυχεῖν, ἐκεῖνα δὲ μεθ' ὁρμῆς προαπαντήσαντα εἰς ὄψιν ἐλθεῖν ἐπειχθῆναι καὶ τὴν ἀπ' αὐτῶν ἀκριβεστάτην ἐμποιῆσαι καταλῆψιν. (21.) τούτοις ὁ νομοθέτης φησὶ δίδοσθαι „πόλεις μεγάλας καὶ 94
καλάς, ἃς οὐκ ᾠκοδόμησαν, οἰκίας πλήρεις τῶν ἀγαθῶν, ἃς οὐκ ἐνέπλη-
p. 287 M. σαν, λάκκους λελατομημένους, | οὓς οὐκ ἐξελατόμησαν, ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφύτευσαν“ (Deut. 6, 10. 11). πόλεις μὲν οὖν καὶ 95
οἰκίας συμβολικῶς τάς τε γενικὰς καὶ τὰς εἰδικὰς ἀρετὰς ὑπογράφει· πόλει μὲν γὰρ ἔοικε τὸ γένος, ὅτι κἂν μείζοσιν ἐξετάζεται περιγραφαῖς καὶ πλειόνων κοινόν ἐστιν, εἶδος δὲ οἰκίᾳ τῷ συνῆχθαί τε μᾶλλον καὶ πεφευγέναι τὴν κοινότητα. προητοιμασμένοι δὲ λάκκοι τὰ χωρὶς τῶν 96
πόνων τούτοις πρόχειρα ἆθλα, οὐρανίων καὶ ποτίμων δεξαμεναὶ ναμάτων, πρὸς φυλακὴν τῶν προειρημένων ἀρετῶν εὐτρεπεῖς θησαυροί, ἐξ ὧν εὐφροσύνη περιγίνεται ψυχῇ τελεία φῶς τὸ ἀληθείας ἀπαστράπτουσα. τοὺς μὲν οὖν ἀμπελῶνας εὐφροσύνης, τοὺς δ' ἐλαιῶνας φωτὸς πεποίηται σύμβολον. εὐδαίμονες μὲν οὖν οὗτοι, παραπλήσιόν τι πάσχοντες τοῖς 97
ἐκ βαθέος ὕπνου διανισταμένοις καὶ τὸν κόσμον ἐξαίφνης ἀπόνως καὶ χωρὶς πραγματείας ὁρῶσιν, ἄθλιοι δὲ οἷς πρὸς ἃ μὴ πεφύκασιν ἀντιφιλονεικεῖν συμβαίνει ἔριδι, ἀργαλεωτάτῃ νόσῳ, ἐπαιρόμενοι. πρὸς γὰρ 98
τῷ τοῦ τέλους ἀποτυγχάνειν ἔτι μετ' οὐ μικρᾶς βλάβης μεγάλην αἰσχύνην ὑπομένουσιν, ὥσπερ αἱ πρὸς ἐναντία πνεύματα νῆες ἐνθαλαττεύουσαι· πρὸς γὰρ τῷ μὴ τυγχάνειν ὑποδρόμων ἐφ' οὓς ἐπείγονται, πολλάκις αὐτοῖς πλωτῆρσι καὶ φορτίοις ἀνατραπεῖσαι λύπην μὲν φίλοις, ἡδονὴν δὲ ἐχθροῖς ἐμπαρέσχον. (22.) λέγει οὖν ὁ νόμος, ὅτι „παρα- 99
βιασάμενοί τινες ἀνέβησαν ἐπὶ τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμορραῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐτίτρωσκεν αὐτούς, ὡς ἂν ποιήσειαν

---

2 ἐπιτυχεῖν G ἐκείνω U 3 ἐπισχεθῆναι PH¹ 4 τοιούτοις U
5 ἃς corr. in αἷς A ὠδόμησαν GH¹ τῶν om. A, πάντων UF 5. 6 ἐπλήρωσαν UF 6 ἐλατόμησαν UF 8 τὰς τεχνικὰς UF καὶ τὰς ἰδικὰς AL², καὶ ἰδικὰς GUF 9 ἐξετάζηται MAFP 10 ἐστι M εἶδει GUF, ἡ A
τε om. G, τί A 11 χωρὶς scripsi: ἑτέροις codd. 13 ἀρετῶν om. MH¹P 14 ἀληθείας UF: ἀληθὲς ceteri τελεία scripsi: τελείᾳ v 15 εὐφροσύνης — ἐλαιῶνας add. mg. H², mg. P¹ δὲ GUF 16 οὖν om. H¹P τοῖς] τῆς F 17 ἀπόνως om. AH¹P 18 οἷς G: οἳ MHP, οἱ A, οἱ μὴ UF 18. 19 ἀντιφιλονεικοῦντες H² 19 συμβαίνει UFPH¹: συμβαίνειν GH², συμβαίνῃ MA νόσος U ἐπαιρομένοις conicio 20 τοῦ om. A 21 αἱ om. G 21. 22 θαλαττεύουσαι H 22 τῷ] τὸ U ὑπόδρομον G ἐφ' οἷς L¹ 23 ἀνατραπῆναι A μὲν GUF: om. ceteri 24 δὲ GUFH²: om. MAH¹P ἐμπαρέχοντες G, παρέσχον F 25 Ἀμμοραῖος FHP 26. 78,1 ὡς — αὐτοὺς om. HP, ὡς — μέλισσαι add. H²

αἱ μέλισσαι, καὶ ἐδίωξεν αὐτοὺς ἀπὸ Σηειρ ἕως Ἑρμᾶ" (Deut. 1,43.44)·
100 ἀνάγκη γὰρ καὶ τοὺς ἀφυῶς ἔχοντας πρὸς τὰς τῶν τεχνῶν ἀναλήψεις,
εἴ τι βιαζόμενοι πονοῖντο περὶ αὐτάς, μὴ μόνον σφάλλεσθαι τοῦ τέλους,
ἀλλὰ καὶ αἰσχύνην ὀφλεῖν, καὶ τοὺς ἄλλο τι τῶν δεόντων ἀσυγκαταθέτῳ
γνώμῃ πράττοντας ⟨μὴ⟩ ἐθελουσίως βιαζομένους δὲ τὸ παρ' αὐτοῖς
ἑκούσιον μὴ κατορθοῦν, ἀλλὰ πρὸς τοῦ συνειδότος τιτρώσκεσθαί τε καὶ
101 διώκεσθαι. καὶ τοὺς τὰς ὀλιγοχρημάτους παρακαταθήκας ἀποδιδόντας
ἐπὶ θήρᾳ στερήσεως μειζόνων εἴποις ἂν πίστει διαφέρειν, οἳ καὶ ὅτε
ἀπέδοσαν πολλὰ τὴν ἔμφυτον ἀπιστίαν ἐβιάσαντο, ὑφ' ἧς μήποτε παύ-
102 σαιντο κατακεντούμενοι; θεραπείαν δὲ ὅσοι τοῦ μόνου σοφοῦ νόθον ἐπε-
τήδευσαν, ὥσπερ ἐπὶ σκηνῆς ἱεροπρεπεστάτης ἄχρι τοῦ μόνον ἐπιδείξα-
σθαι τοῖς συνεληλυθόσι θεαταῖς προαίρεσιν ἐνδύντες βίου, βωμολοχίαν
πρὸ εὐσεβείας ἐν τῇ ψυχῇ φέροντες, οὐχ αὑτοὺς ὥσπερ ἐπὶ τροχοῦ
κατατείνουσι καὶ βασανίζουσιν | ἀναγκάζοντες ἐπιμορφάζειν ψευδῶς, ἃ πρὸς p. 288 M.
103 ἀλήθειαν ⟨μὴ⟩ πεπόνθασι; τοιγάρτοι βραχὺν χρόνον ἐπισκιασθέντες διὰ
τῶν δεισιδαιμονίας συμβόλων, ἣ κώλυσις μέν ἐστιν ὁσιότητος, μεγάλη δὲ
καὶ τοῖς ἔχουσι καὶ τοῖς συνιοῦσι ζημία, εἶτ' αὖθις ἀπαμφιασάμενοι τὰ περί-
απτα γυμνὴν ἐπιδείκνυνται τὴν ὑπόκρισιν καὶ τότε ὥσπερ οἱ ξενίας ἁλόντες
νοθεύονται τῇ μεγίστῃ πόλεων ἀρετῇ μηδὲν προσήκοντας ἑαυτοὺς παρεγ-
γράψαντες. τὸ γὰρ βίαιον ὀλιγοχρόνιον, ὡς καὶ αὐτό που δηλοῖ
τοὔνομα παρὰ τὸ βαιὸν εἰρημένον· βαιὸν δὲ τὸ ὀλιγοχρόνιον ἐκάλουν οἱ
104 παλαιοί. (23.) τί δέ ἐστι τὸ „Νῶε εὗρε χάριν παρὰ κυρίῳ τῷ θεῷ",
διαπορητέον. ἆρ' οὖν τοιοῦτόν ἐστι τὸ δηλούμενον, ὅτι χάριτος ἔτυχεν,
ἢ ὅτι χάριτος ἄξιος ἐνομίσθη; ἀλλὰ τὸ μὲν πρότερον οὐκ εἰκὸς ὑπο-

---

1 ἐδίωξαν MA σιίρεως A, σιὴρ ἕως U, σηιερέως F ἑρμᾶ G: ἑρεμᾶ MHP, ἡρέμα A, ὅρμα UF 2 ἔχοντας om. F ἀντιλήψεις UF 2. 3 λήψεις ἐπιβιαζόμενοι G 3 μόνου L 5 μὴ add. Mang. αὐτοῖς codd. τὸ] τὸν F 6 τὸ ante μὴ add. MAP 6 πρὸ F τε GUF: om. ceteri 8 μειζόνως F διαφέρον U ὅτε MAG: ὅταν HP, ὅτε δὴ UF 9 ἀπέδωσαν A, ἔδοσαν UF 9. 10 παύσοιντο ML² 10 νόθην UF, νόον A 11 ἱεροπρεπεστάτου τὴν G, ἱεροπρεπεστάτην coni. Mang. 12 πρὸς αἵρεσιν F ⟨εὐσεβοῦς⟩ βίου conicio 13 πρὸς AF¹ πρὸς εὐσέ-βειαν G αὐτοὺς A 14. 15 ἃ πρὸς ἀλήθειαν ⟨μὴ⟩ πεπόνθασι scripsi: post ras. ἀλήθειαν πεπόνθασι M, ἐπ' ἀληθεία πεπόνθασι AG, ἐπ' ἀληθεία πεπονθόσι UF, ἀληθεία πεπόνθασι H¹P, ἀληθεία H²L (πεπονθόσι add. mg. L), ⟨ὡς⟩ ἐπ' ἀληθείας πεπονθότες coni. Cohn 15 ἀλήθειαν; τοιγάρτοι Mang. 16 κώλυσις Benzelius: κόλασις codd., κό-λουσις Cohn et ego coniecimus 17 περίοπτα G 18 ἐπιδείκνυται G 19 μη-δενὶ UF 19. 20 γράψαντες UF 20 βιβλίον A 20. 21 ὡς — ὀλιγοχρόνιον om. AL (ὡς — βαιὸν δὲ add. in mg. L) 21 παρὰ βαιὸν H¹P βίαιον G βίαιον G 22 τῷ om. MA 23 τί post οὖν add. UF 24. 79,1 post ὑπονοεῖν add. ἐστι G

νοεῖν· τί γὰρ αὐτῷ πλέον δεδώρηται πάντων, ὡς ἔπος εἰπεῖν, ὅσα οὐ συγκέκριται μόνον, ἀλλὰ καὶ στοιχειώδεις ἁπλαῖ φύσεις εἰσί, χάριτος ἠξιωμένων θείας; τὸ δ' ὕστερον ἔχει μέν τινα οὐκ ἀνάρμοστον λόγον, 105
κρίνοντος τοῦ αἰτίου δωρεῶν ἀξίους τοὺς τὸ θεῖον ἐν ἑαυτοῖς νόμισμα, τὸν ἱερώτατον νοῦν, αἰσχροῖς ἐπιτηδεύμασι μὴ διαφθείροντας, ἴσως δὲ οὐκ ἀληθῆ. πηλίκον γάρ τινα εἰκὸς γενέσθαι τὸν ἄξιον χάριτος κριθη- 106
σόμενον παρὰ θεῷ; ἐγὼ μὲν γὰρ ἡγοῦμαι μόλις ἂν καὶ σύμπαντα τὸν κόσμον τούτου λαχεῖν· καίτοι τό γε πρῶτον καὶ μέγιστον καὶ τελεώτατον τῶν θείων ἔργων ἐστὶν οὗτος. μήποτ' οὖν ἄμεινον ἂν εἴη ἐκδέχε- 107
σθαι τοῦτο, ὅτι ζητητικὸς καὶ πολυμαθὴς γενόμενος ὁ ἀστεῖος ἐν οἷς ἅπασιν ἐζήτησε τοῦθ' εὗρεν ἀληθέστατον, χάριν ὄντα θεοῦ τὰ πάντα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἥλιον, ἀστέρας, οὐρανόν, ζῷα καὶ φυτὰ σύμπαντα. κεχάρισται δὲ ὁ θεὸς αὐτῷ μὲν οὐδέν — οὐδὲ γὰρ δεῖται —, κόσμον δὲ κόσμῳ καὶ τὰ μέρη ἑαυτοῖς τε καὶ ἀλλήλοις, ἔτι δὲ τῷ παντί. οὐδὲν δὲ κρίνας ἄξιον χάριτος ἄφθονα καὶ τῷ ὅλῳ καὶ τοῖς 108
μέρεσι δεδώρηται τὰ ἀγαθά, ἀλλ' ἀπιδὼν εἰς τὴν ἀίδιον ἀγαθότητα καὶ νομίσας ἐπιβάλλον τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει ἑαυτοῦ τὸ εὐεργετεῖν. ὥστε εἴ τίς μ' ἔροιτο, τίς αἰτία γενέσεως κόσμου, μαθὼν παρὰ
p. 289 M. Μωυσέως ἀποκρινοῦμαι, ὅτι ἡ τοῦ ὄντος ἀγαθότης, ἥτις ἐστὶ | πρεσβυ-
τάτη τῶν * * * χαρίτων οὖσα ἑαυτῇ. (24.) παρατηρητέον δ' 109
ὅτι τὸν μὲν Νῶέ φησιν εὐαρεστῆσαι ταῖς τοῦ ὄντος δυνάμεσι, κυρίῳ τε καὶ θεῷ (Gen. 6, 8), Μωυσῆν δὲ τῷ ὁρυφορουμένῳ πρὸς τῶν δυνάμεων καὶ δίχα αὐτῶν κατὰ τὸ εἶναι μόνον νοουμένῳ· λέγεται γὰρ ἐκ προσώπου τοῦ θεοῦ ὅτι „εὕρηκας χάριν παρ' ἐμοί“ (Exod. 33, 17)

---

2 συγκεκρότηκε G, συγκεκρότηται UF καὶ om. AUF στοιχειώδους A
3 ἠξιωμένων Turn.: ἠξιωμέναι codd. 4 δώρων HP αὐτοῖς AUF 5 τὸν] τοὺς AP μὴ om. P διαφθείροντες F 6 ἀληθῶς AG πηλίκον] ποικίλον P
7 τῷ θεῷ G ἂν καὶ σύμπαντα GUFH²: ἂν πάντα MAH¹P
τὸν om. UF 8 τοῦτον A τοι om. A τό om. G γε] τε UF
8. 9 τελειότατον F 9 οὗτός ἐστιν HP εἴη om. P 10 ζητικὸς H¹P
11 τὰ σύμπαντα GF 13 δὲ om. A ὁ θεὸς post οὐδὲν transpos. UF
13 αὐτῷ H²: ἑαυτῷ GF, αὐτῷ ceteri 15 οὐδὲ κρίνας U χάριτος ἄξιον UF γὰρ post ἄφθονα add. HP καὶ prius om. HP τοῖς om. MAH¹P (hab. L) 16 ἀλλὰ MG 17 ἐπιβάλλον] ἐπεὶ βέλτιον A 18 με GUF
κόσμων U μαθέτω G τὸ ante παρὰ add. A 19 Μωυσέως U: Μωσέως MAF, Μωυσέος GHP ἀποκρινομένου AG ἥτις om. v 20 πρεσβυτάτη τῶν ⟨θεοῦ δυνάμεων, τῶν⟩ χαρίτων οὖσα πηγή conicio ἑαυτῇ] αἰτία vel αὐτοῦ coni. Mang. 21. 22 κυρίου τε καὶ θεοῦ 22 Μωυσῆν UF: Μωσῆν ceteri
τὸν δορυφορούμενον U 23 λέγει coni. Cohn 24 τοῦ om. H

110 δεικνὺς ἑαυτὸν τὸν ἄνευ παντὸς ἑτέρου. οὕτως ἄρα τὴν μὲν κατὰ
Μωυσῆν ἄκραν σοφίαν ἀξιοῖ χάριτος ὁ ὢν αὐτὸς δι' ἑαυτοῦ μόνου, τὴν
δὲ ἀπεικονισθεῖσαν ἐκ ταύτης δευτέραν καὶ εἰδικωτέραν οὖσαν διὰ τῶν
ὑπηκόων δυνάμεων, καθ' ἃς καὶ κύριος καὶ θεός, ἄρχων τε καὶ εὐερ-
111 γέτης ἐστίν. ἕτερος δέ τις φιλοσώματος καὶ φιλοπαθὴς νοῦς πραθεὶς
τῇ ἀρχιμαγείρῳ (Gen. 39, 1) τοῦ συγκρίματος ἡμῶν ἡδονῇ καὶ ἐξευ-
νουχισθεὶς τὰ ἄρρενα καὶ γεννητικὰ τῆς ψυχῆς μέρη πάντα, σπάνει
κεχρημένος καλῶν ἐπιτηδευμάτων, ἀκοὴν παραδέξασθαι θείαν ἀδυνα-
τῶν, ἐκκλησίας τῆς ἱερᾶς ἀπεσχοινισμένος (Deut. 23, 1), ἐν ᾗ [σύλλο-
γοι καὶ] λόγοι περὶ ἀρετῆς ἀεὶ μελετῶνται, εἰς μὲν τὸ δεσμωτήριον
τῶν παθῶν εἰσάγεται, χάριν δὲ εὑρίσκει τὴν ἀτιμίας ἀδοξοτέραν παρὰ
112 τῷ ἀρχιδεσμοφύλακι (Gen. 39, 20. 21). δεσμῶται μὲν γὰρ κυρίως
εἰσὶν οὐχ οὓς ἐν δικαστηρίῳ καταδικασθέντας ὑπὸ κλήρῳ ἀρχόντων ἢ
καὶ χειροτονηθέντων δικαστῶν ἀπάγουσί τινες εἰς ἀποδεδειγμένον χῶρον
κακούργων, ἀλλ' ὧν ἡ φύσις κατεδίκασε ψυχῆς τρόπων, οἵτινες ἀφρο-
σύνης ⟨καὶ⟩ ἀκολασίας καὶ δειλίας καὶ ἀδικίας καὶ ἀσεβείας καὶ ἄλλων
113 ἀμυθήτων κηρῶν γέμουσιν. ὁ δὲ ἐπίτροπος καὶ φύλαξ καὶ ταμίας τού-
των, ὁ ἡγεμὼν τοῦ δεσμωτηρίου, σύστημα καὶ συμφόρημα κακιῶν
ἀθρόων καὶ ποικίλων εἰς ἓν εἶδος συνυφασμένων ἐστίν, ᾧ τὸ εὐαρε-
στῆσαι μεγίστη ζημία· ἣν οὐχ ὁρῶντες ἔνιοι, ἀπατώμενοι δὲ περὶ τὸ
βλάπτον ὡς ὠφελοῦν, προσίασί τε αὐτῷ μάλα γεγηθότες καὶ δορυφο-
ροῦσιν, ἵν' ὕπαρχοι καὶ διάδοχοι φυλακῆς ἁμαρτημάτων ἀκουσίων τε
114 καὶ ἑκουσίων πιστοὶ κριθέντες γένωνται. ἀλλὰ σύ γε, ὦ ψυχή, τὴν
δεσποτείαν καὶ ἡγεμονίαν ταύτην ἀργαλεωτέραν τῆς ἐπαχθοῦς δουλείας
νομίσασα, μάλιστα μὲν ἀδέσμῳ καὶ λελυμένῃ καὶ ἐλευθέρᾳ χρῆσαι
115 προαιρέσει τοῦ βίου· ἂν δ' ἄρα ἀγκιστρευθῇς ὑπὸ πάθους, δεσμῶτις

---

1 δεικνύντος conicio αὐτὸν coni. Cohn οὕτως] ὄντως AGH² ἄρα] ἔτι F
2 Μωσῆν MAHP ὁ om. A 3 ἰδικωτέραν MAG 4 δυνάμεων ὑπηκόων
(ὑπηκόω A) AUF καθ' ἃς GUF: καθὰ MAPH¹, καθὸ H² ὁ κύριος HP
5 πραθεὶς om. A 7 τῆς om. F 9 ἱερωτάτης G 9. 10 σύλλογοι καὶ seclusit
Cohn, διάλογοι καὶ conicio 10 ante μὲν ras. HP 13 οὓς] ὡς G¹ κλήρων
conicio 14 καὶ om. UF χωρίον UF 15 ὧν] ὃν AU τρόπον AU
οἵτινες M: οἷά τινες ceteri 15. 16 ἀφροσύνης om. v 16 καὶ addidi καὶ δειλίας
om. UF καὶ ante ἀσεβείας om. MGUF, ante ἄλλων GUF καὶ ἀσεβείας om.
HP 17 κηρῶν] πονηριῶν A, sed πονηρι in ras. 18 ὁ om. UFP
19 συνυφασμένον HP ᾧ] ὡς U 20 μεγάλη F 21. 22 δορυφοροῦντες P
22 ἵνα GUF ἀκουσίους A 22. 23 τε καὶ om. A 23 καὶ post ἀλλὰ add.
UF, καὶ corr. ex ἀλλὰ L² 25 νομίσας U ἀθέσμῳ UF λελυμένῃ καὶ
om. H 26 δεσμώτης U

μᾶλλον ἢ εἱρκτοφύλαξ ὑπόμεινον γενέσθαι· κακωθεῖσα μὲν γὰρ καὶ
p. 290 M. στενάξασα ἔλεον εὑρήσεις, | σπουδαρχίαις δὲ καὶ λιμοδοξίαις ὑποβαλοῦσα
σαυτὴν ἡδὺ κακὸν τὸ εἱρκτοφυλακεῖν καὶ μέγιστον ἀναδέξῃ, ὑφ' οὗ
γενήσῃ πάντα ἀγώγιμος τὸν αἰῶνα. (25.) τὰς μὲν οὖν παρὰ τοῖς 116
ἀρχιδεσμοφύλαξιν εὐαρεστήσεις ἀνὰ κράτος ἀπόθου, τῶν δὲ παρὰ τῷ
αἰτίῳ διαφερόντως μετὰ σπουδῆς τῆς ἁπάσης ἐφίεσο. ἐὰν δ' ἄρα
ἀδυνατῇς — ὑπερβάλλον γὰρ τὸ τοῦ ἀξιώματος μέγεθος —, ἴθι ἀμετα-
στρεπτὶ πρὸς τὰς δυνάμεις αὐτοῦ καὶ τούτων ἱκέτις γενοῦ, μέχρις ἂν
ἀποδεξάμεναι τὸ συνεχὲς καὶ γνήσιον τῆς θεραπείας ἐν τῇ τῶν εὐαρε-
στησάντων αὐταῖς κατατάξωσι χώρᾳ, καθάπερ καὶ τὸν Νῶε, οὗ τῶν
ἐγγόνων θαυμαστότατον καὶ καινότατον πεποίηται τὸν κατάλογον· φησὶ 117
γάρ· „αὗται αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ
γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε“ (Gen. 6, 9). τὰ μὲν γὰρ τοῦ
συγκρίματος γεννήματα πέφυκεν εἶναι καὶ αὐτὰ συγκρίματα· ἵπποι γὰρ
ἵππους καὶ λέοντες λέοντας καὶ βόες ταύρους, ὁμοίως δὲ καὶ ἄνθρωποι
ἀνθρώπους ἐξ ἀνάγκης γεννῶσι· διανοίας δὲ ἀγαθῆς οὐ τὰ τοιαῦτα 118
οἰκεῖα ἔγγονα, ἀλλ' αἱ προειρημέναι ἀρεταί, τὸ ἄνθρωπον εἶναι, τὸ δί-
καιον εἶναι, τὸ τέλειον εἶναι, τὸ θεῷ εὐαρεστῆσαι· ὅπερ ἐπειδὴ καὶ
τελεώτατον ἦν καὶ ὅρος τῆς ἄκρας εὐδαιμονίας, ἐφ' ἅπασιν εἴρηται.
γένεσις δὲ ἡ μὲν ἀγωγὴ καὶ ὁδός τίς ἐστιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ 119
εἶναι — ταύτῃ φυτά τε καὶ ζῷα ἐξ ἀνάγκης ἀεὶ χρῆσθαι πέφυκεν —,
ἑτέρα δ' ἐστὶν ἡ ἐκ βελτίονος γένους εἰς ἔλαττον εἶδος ματαβολή, ἧς
μέμνηται ὅταν φῇ· „αὗται δὲ αἱ γενέσεις Ἰακώβ· Ἰωσὴφ δέκα ἑπτὰ
ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν τὰ πρόβατα, ὢν νέος, μετὰ τῶν
υἱῶν Βαλλᾶς καὶ μετὰ τῶν υἱῶν Ζελφᾶς τῶν γυναικῶν πατρὸς αὐτοῦ“
(Gen. 37, 2)· ὅταν γὰρ ὁ ἀσκητικὸς καὶ φιλομαθὴς οὗτος λόγος ἀπὸ 120

---

2 ἔλαιον M πολυαρχίαις UF δὲ] τὲ A ὑποβάλλουσα H 3 ἑαυτὴν UF ἡδὺ] εἰ δὲ A 4 αἰῶνα] ἕνον text. H (mg. αἰῶνα) et fort. P^1 5 δεσμοφύλαξιν AUF 6 αἰτίῳ MHP^{1}L^1: ἀστείῳ AGUFL^2, ἀστίῳ mg. P^2 διαφερόντων A σπουδῆς τῆς ἁπάσης UFP: σπουδῆς τῆς πάσης MAG, πάσης σπουδῆς H ἐφίεσθαι G, ἀφίεσο A 8 αὐτοῦ om. H οἰκέτις A, ἱκέτης PL 9 ὑποδεξά-μεναι A 10 ⟨σε⟩ χώρᾳ conicio καθὰ UF οὗ] οὐ AUF 10. 11 τὸν ἔγγονον UF 11 θαυμαστότατα καὶ καινότατα P 12 ὢν] ἦν UFL 14 συγκρίματα πέφυκεν F 17 ἔκγονα conicio 18 εἶναι alterum om. UF τὸ] τῶ AG ἐπειδὴ εἰ καὶ UF 19 τῆς AU: τις ceteri ἄκρος P 20 δ' ἐστὶν MAG: δέ ἐστιν ceteri 22 μεταβολῆς G ἧς] ὧν A 23 δὲ om. F ἑπτὰ καὶ δέκα UF 24 δὲ ante μετὰ PH^1 ὢν U 25 νέος σὺν υἱοῖς βελλᾶς καὶ υἱοῖς ζεαφᾶς (sic) γυναικῶν UF τοῦ πατρὸς G 26 οὗτος ante καὶ transpos. H ὁ λόγος P

τῶν θειοτέρων ἐννοημάτων εἰς ἀνθρωπίνας καὶ θνητὰς δόξας καταβιβασθῇ, ὁ τοῦ σώματος καὶ τῶν περὶ αὐτὸ χορευτὴς Ἰωσὴφ εὐθὺς ἀπογεννᾶται, νέος ὢν ἔτι, κἂν μήκει χρόνου πολιὸς γένηται, πρεσβυτέρας οὔτε γνώμης οὔτε ἀκοῆς εἰσάπαν ἐπῃσθημένος, ἣν οἱ Μωυσέως θιασῶται κατασταθέντες κτῆμα καὶ ἀπόλαυσμα ὠφελιμώτατον ἑαυτοῖς
121 τε καὶ τοῖς ἐντυγχάνουσιν εὕραντο. διὰ τοῦτό μοι δοκεῖ τὸν τύπον αὐτοῦ καὶ τὴν ἀκριβεστάτην τοῦ χαρακτῆρος ἰδέαν βουλόμενος ἐκδηλοτέραν ἐγγράψαι ποιμαίνοντα εἰσάγειν μετὰ γνησίου μὲν οὐδενός, μετὰ δὲ τῶν νόθων ἀδελφῶν, οἳ παλλακίδων ὄντες ἀπὸ τοῦ χείρονος γένους, τοῦ πρὸς γυναικῶν, ἀλλ' οὐκ ἀπὸ τοῦ κρείττονος, τοῦ πρὸς ἀνδρῶν, χρηματίζουσιν· υἱοὶ γὰρ τῶν γυναικῶν Βαλλᾶς καὶ Ζελφᾶς, ἀλλ' οὐκ Ἰσραὴλ τοῦ πατρὸς νυνὶ καλοῦνται.

122 (26.) Ζητήσαι δ' ἄν τις προσηκόντως, τίνος ἕνεκα μετὰ τὴν ἐν p. 291 M.
ταῖς ἀρεταῖς τοῦ Νῶε τελείωσιν εὐθὺς εἴρηται, ὅτι „ἐφθάρη ἡ γῆ ἐναντίον τοῦ θεοῦ καὶ ἐπλήσθη ἀδικίας“ (Gen. 6,11). ἀλλ' ἴσως οὐ
123 χαλεπὸν λύσεως εὐπορῆσαι τῷ μὴ σφόδρα παιδείας ἀπείρῳ. λεκτέον οὖν ὅτι, ἐπειδὰν ἐν ψυχῇ τὸ ἄφθαρτον εἶδος ἀνατείλῃ, τὸ θνητὸν εὐθέως φθείρεται· γένεσις γὰρ τῶν καλῶν θάνατος αἰσχρῶν ἐπιτηδευμάτων ἐστίν, ἐπεὶ καὶ φωτὸς ἐπιλάμψαντος ἀφανίζεται τὸ σκότος. διὰ τοῦτο ἐν τῷ νόμῳ τῆς λέπρας ἀκριβέστατα διείρηται, ὅτι „ἐὰν ἀνατείλῃ χρὼς ζῶν
124 ἐν τῷ λεπρῷ, μιανθήσεται“ (Lev. 13,14.15). καὶ προσεπισφίγγων αὐτὸ τοῦτο καὶ ὥσπερ ἐναποσημαινόμενος ἐπιφέρει „καὶ μιανεῖ ὁ χρὼς ὁ ὑγιής“, ἀντιταττόμενος τῷ εἰκότι καὶ συνήθει· πάντες γὰρ οἱ ἄνθρωποι τὰ νοσοῦντα φθορὰς τῶν ὑγιαινόντων καὶ τὰ νεκρὰ τῶν ζώντων, οὐκ ἔμπαλιν τὰ ὑγιαίνοντα καὶ ζῶντα τῶν ἐναντίων, ἀλλὰ σωτήρια νομίζουσι.

---

1 θνητὰς] κενὰς HP 2 αὐτοῦ MGPH¹L εὐθὺς UF: εὐθέως G, om. ceteri 3 ἔτι] ἀεὶ UF 4 ἣν corr. in ἡ A, ἡ habet mg. P 4 Μωυσέως U: Μωυσέος G, Μωσέως MAFP, Μωσέος H 5 κατεπασθέντες UF ἑαυταῖς G 8 γράψαι UF, ἀναγράψαι coni. Mang. εἰσάγειν Turn.: εἰσάγει codd. 9 τῶν om. A 10 ἀλλὰ κἀπὸ τοῦ U 11 βελλᾶς U 12 νῦν UF 14 ἀρεταῖς om. U post ταῖς ἀρεταῖς add. ταῖς L² 16 τῷ] τὸ A ἀπείρου A, ἀμοίρω U 18 ὁ θάνατος U, ras. ante θάνατος F 19 ἐλλάμψαντος UF τὸ om. UF 20 διήρηται G ζῶον A 21 προσεπισφραγίζων (immo προσεπισφραγιζόμενος) coni. Mang. 22 ὥσπερ ἀποσειόμενος F post μιανεῖ add. αὐτὸν ex LXX Mang. 22. 23 χρῶς ὁ λεπρὸς τὸν χρῶτα τὸν ὑγιῆ UF 23 ἀντιδιατατόμενος G², αὐτὸν διατατόμενος G¹, ἀντιδιαστελλόμενος UF 24 supra νοσοῦντα scripsit ἤτις G² 25 ἀλλ' οὐ σωτήρια F

καινότατος δ' ἐν ἅπασι τὴν σοφίαν ὁ νομοθέτης ὢν καὶ τοῦτο ἴδιον 125
εἰσηγήσατο, διδάσκων ὅτι τὰ ὑγιαίνοντα καὶ ζῶντα τοῦ μὴ καθαρεύειν
μιασμάτων αἴτια γίνεται· τὸ γὰρ ὑγιαῖνον καὶ ζῶν ἐν ψυχῇ χρῶμα
ὡς ἀληθῶς φαινόμενον ἐπ' αὐτῆς ἔλεγχός ἐστιν. οὗτος ὅταν ἀνάσχῃ, 126
κατάλογον ποιεῖται τῶν ἁμαρτημάτων αὐτῆς ἁπάντων, καὶ ὀνειδίζων καὶ
δυσωπῶν καὶ ἐπιπλήττων μόλις παύεται· ἡ δ' ἐλεγχομένη γνωρίζει τὰ
καθ' ἕκαστα, ὧν παρὰ τὸν ὀρθὸν λόγον ἐπετήδευε, καὶ τότε ἄφρονα καὶ
ἀκόλαστον καὶ ἄδικον καὶ πλήρη μιασμάτων ἑαυτὴν καταλαμβάνει.
(27.) διὸ καὶ παραδοξότατον νόμον ἀναγράφει, ἐν ᾧ τὸν μὲν ἐκ μέρους 127
ὄντα λεπρὸν ἀκάθαρτον, τὸν δὲ ὅλον δι' ὅλων ἀπὸ ἄκρων ποδῶν ἄχρι
κεφαλῆς ἐσχάτης κατεσχημένον τῇ λέπρᾳ καθαρόν φησιν εἶναι (Lev.
13,11.13), τάχα ἄν τινος τὸ ἐναντίον, ὅπερ εὔλογον ἦν ὑπολαβεῖν,
εἰκάσαντος, τὴν μὲν ἐσταλμένην καὶ περί τι βραχὺ τοῦ σώματος λέπραν
ἧττον ἀκάθαρτον, τὴν δὲ κεχυμένην, ὡς ἅπαν περιλαβεῖν αὐτό, μᾶλλον.
δηλοῖ δ', ὡς ἔμοιγε φαίνεται, διὰ συμβόλων τούτων ἀληθέστατον ἐκεῖνο, 128
ὅτι τὰ μὲν ἀκούσια τῶν ἀδικημάτων κἂν ἐπιμήκιστα ὄντα ἀνυπαίτια
καὶ καθαρά, τὸ συνειδὸς βαρὺν κατήγορον οὐκ ἔχοντα, τὰ δὲ ἑκούσια,
κἂν μὴ ἐπὶ πλεῖστον ἀναχέηται πρὸς τοῦ κατὰ ψυχὴν ἐλεγχόμενα
p. 292 M. δικαστοῦ, ἀνίερα καὶ μιαρὰ καὶ ἀκάθαρτα | δοκιμάζεται. ἡ μὲν οὖν 129
διφυὴς καὶ δύο ἐξανθοῦσα χρώματα λέπρα τὴν ἑκούσιον ἐμφαίνει
κακίαν· ἔχουσα γὰρ ἡ ψυχὴ τὸν ὑγιαίνοντα καὶ ζωτικὸν καὶ ὀρθὸν ἐν
ἑαυτῇ λόγον τῷ μὲν οὐ χρῆται ὡς κυβερνήτῃ πρὸς τὴν τῶν καλῶν

---

1 ἅπασιν ὁ (om. τὴν σοφίαν) UF τοῦτ' A 2 τοῦ] τῷ H² post καθαρεύειν add. τὰ ἄλλα G² 4 φαινόμενον A (sed ν in ras.) GUH: φαινόμενος MFPL 5 ποιεῖσθαι H πάντων HP 7 ἕκαστον, ἃ conicio ἐπετήδευσε A 8 αὐτὴν F 9 τὸν] τὸ F 10 λεπρὸν GUF: λεπρὸν καὶ ceteri supra ἀκάθαρτον scripsit λέγει G² ἀπ' UF 10. 11 ἄκρας κεφαλῆς ἄχρι ποδῶν ἐσχάτων conicio ἄχρι] μέχρι HP 11 κατισχημένον AF 12 τῶν ἐναντίων U ὑπολαμβάνειν G 13 εἰκάσαντας MA καὶ vid. del. 14 ἅπαντα G περιλαμβάνειν UF 16 κἂν MAP: καὶ GUFH ἐπὶ μήκιστον ὄντα conicio 18 καὶ ἂν H ἐλεγχόμενα] ἐνδεχομένου U, ἐνδεχόμενα F 19 ἀνίερα MAUFP (ε corr. P): ἀνιαρὰ GH¹, ἀνίατα H² δοκιμάζεται] δικάζεται coni. Mang. 22 λόγον ἑαυτῇ (om. ἐν) U, λόγον ἐν αὐτῇ F ἑαυτῇ MAGU: αὐτῇ FHP

---

1 sqq. *Origenes Hom. VIII, 6 in Levit. p. 232:* de hoc quidam etiam ante me dixerunt per colorem vivum indicari rationem vitae quae in homine est; qua nondum in anima posita si quid illic peccati fiat, reputatur pro eo quod videatur nondum rationis capax esse is qui delinquit. cum autem ratio in eo locum ac tempus invenerit, si quid iam contra rationem agat, videri cum iure culpabilem.

σωτηρίαν, ἐκδοῦσα δ' αὐτὴν τοῖς ναυτιλίας ἀπείροις ὅλον τὸ τοῦ βίου
130 δὴ σκάφος ἐν εὐδίᾳ καὶ γαλήνῃ δυνάμενον σῴζεσθαι περιέτρεψεν. ἡ δ'
εἰς ἓν εἶδος λευκὸν μεταβαλοῦσα τὴν ἀκούσιον διασυνίστησι τροπήν,
ἐπειδὰν τὸ λογίζεσθαι ὁ νοῦς ἐκτμηθεὶς ὅλον δι' ὅλων, μηδενὸς τῶν
εἰς τὸ συνιέναι σπέρματος ὑπολειφθέντος, ὥσπερ οἱ ἐν ἀχλύι καὶ σκότῳ
βαθεῖ μηδὲν ὁρᾷ τῶν πρακτέων, ἀλλ' οἷα τυφλὸς ἀπροοράτως πᾶσιν
ἐμπίπτων συνεχεῖς ὀλίσθους καὶ πτώματα ἐπάλληλα καὶ ἀκούσια
131 ὑπομένῃ. (28.) τούτῳ ⟨δ'⟩ ὅμοιόν ἐστι καὶ τὸ περὶ τῆς οἰκίας διάταγμα,
ἐν ᾗ γίνεσθαι συμβαίνει λέπραν πολλάκις· φησὶ γὰρ ὅτι „ἐὰν γένηται
ἀφὴ λέπρας ἐν οἰκίᾳ, ἀφίξεται ὁ κεκτημένος καὶ ἀναγγελεῖ τῷ ἱερεῖ
λέγων· ὥσπερ ἀφὴ λέπρας ἑώραταί μοι ἐν τῇ οἰκίᾳ“· εἶτα ἐπιφέρει·
„καὶ προστάξει ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν πρὸ τοῦ εἰσελθόντα
τὸν ἱερέα εἰς τὴν οἰκίαν ἰδεῖν, καὶ οὐ γενήσεται ἀκάθαρτα ὅσα ἐν τῇ
132 οἰκίᾳ. καὶ μετὰ ταῦτα εἰσελεύσεται ὁ ἱερεὺς καταμαθεῖν“ (Lev.
14, 34—36). οὐκοῦν πρὶν μὲν εἰσελθεῖν τὸν ἱερέα, καθαρὰ τὰ ἐν τῇ
οἰκίᾳ, ἀφ' οὗ δ' ἂν εἰσέλθῃ, πάντα ἀκάθαρτα· καίτοι τοὐναντίον εἰκὸς
ἦν, ἀνδρὸς κεκαθαρμένου καὶ τελείου, ὃς τὰς ὑπὲρ ἁπάντων εὐχὰς
ἁγιστείας ἱερουργίας εἴωθε ποιεῖσθαι, παρελθόντος εἴσω βελτιοῦσθαι τὰ
ἔνδον καὶ ἐξ ἀκαθάρτων καθαρὰ γίνεσθαι· νυνὶ δὲ οὐδὲ ἐπὶ τῆς αὐτῆς
μένει χώρας, τρέπεται δὲ πρὸς μερίδα τὴν χεῖρω κατὰ τὴν εἴσοδον τὴν
133 τοῦ ἱερέως. ἀλλὰ ταῦτα μὲν εἰ συνάδει τῇ ῥητῇ καὶ προχείρῳ διατάξει,
σκέψονται οἷς ἔθος καὶ φίλον· ἡμῖν δὲ ἄντικρυς λεκτέον, ὅτι συνῳδὸν
οὕτως οὐδὲν ἄλλο ἄλλῳ, ὡς τὸ εἰσελθόντος τοῦ ἱερέως τὰ κατὰ τὴν
134 οἰκίαν μιαίνεσθαι. ἕως μὲν γὰρ ὁ θεῖος λόγος εἰς τὴν ψυχὴν ἡμῶν
καθάπερ τινὰ ἑστίαν οὐκ ἀφῖκται, πάντα αὐτῆς τὰ ἔργα ἀνυπαίτια· ὁ

---

1 αὐτὴν codd. τοῖς] τῆς U 2 δυνάμενος A 3 μεταβάλλουσα A διασυνίστησι GH²: μετασυνίστησι ceteri 5 οἱ MGHP: ὁ MUF 6 ἀπροσιάτως P 7 πτώματα F: ἐκπτώματα ceteri 8 ὑπομένῃ scripsi: ὑπομένει codd. δ' addidit Cohn 10. 11 ἱερεῖ· ὡς ἀφὴ λέπρας ὡράθη ἐν τῷ οἴκῳ μου UF 11 ἑώραται GH: ὡράθη MUF, ὁρᾶται A, αἰωρᾶται P 12—14 καὶ προστάξει — καταμαθεῖν] καὶ ἐντελεῖται ὁ ἱερεὺς καὶ ἀποσκευάσουσι πρὶν ἐλθεῖν τὸν ἱερέα, καὶ οὐ μὴ (μὴ om. F) μιανθήσεται ἀκάθαρτα ὅσα ἐν τῷ οἴκῳ. καὶ μετὰ ταῦτα εἰσελεύσεται ὁ ἱερεὺς τοῦ ἰδεῖν UF 12 καὶ] εἰ A εἰσελθεῖν A 13 καὶ GUFH²: om. MAH¹P post γενήσεται add. καὶ οὐ μιανθήσεται mg. L² 15 μὲν om. HP 17 ἐκκεκαθαρμένου HP 18 ἁγίας ἁγιστείας G 19 ἔνδον Mang.: ὄντα codd. γίγνεσθαι UF οὐδὲ F: οὐδὲν U, οὔτε ceteri 20 μένει om. H¹P τὴν tertium om. AF, τῆς G¹ 22 δὲ om. L 23 οὐδὲν ἄλλο ἄλλῳ M: ἄλλο οὐδὲν ἄλλῳ UF, οὐδὲν ἄλλῳ AGH², οὐδὲν ἄλλο H¹P 25 ἀφίκηται U, ἀφίκεται F

γὰρ ἐπίτροπος ἢ πατὴρ ἢ διδάσκαλος ἢ ὅ τι ποτὲ χρὴ καλεῖν τὸν ἱερέα, ὑφ' οὗ νουθετηθῆναι καὶ σωφρονισθῆναι μόνου δυνατόν, μακρὰν ἀφέστηκε. Συγγνώμη δὲ τοῖς δι' ἀμαθίαν ἀπειρίᾳ τῶν πρακτέων ἁμαρτάνουσιν· οὐδὲ γὰρ ὡς ἁμαρτημάτων αὐτῶν ποιοῦνται καταλήψιν, ἔστι δ' ὅτε κατορθοῦν ἐν οἷς πταίουσι μεγάλα νομίζουσιν. ὅταν δὲ 135
p. 293 M. εἰσέλθῃ ὁ ἱερεὺς ὄντως ἔλεγχος εἰς ἡμᾶς ὥσπερ φωτός τις αὐγὴ | καθαρωτάτη, τηνικαῦτα γνωρίζομεν τὰ ἐναποκείμενα ἡμῶν οὐκ εὐαγῆ τῇ ψυχῇ βουλεύματα καὶ τὰς ἐπιλήπτους καὶ ὑπαιτίους πράξεις, αἷς ἀγνοίᾳ τῶν συμφερόντων ἐνεχειροῦμεν. ταῦτ' οὖν ἅπαντα ὁ ἱερώμενος ἔλεγχος μιάνας, ἀποσκευασθῆναι καὶ ἀποσυληθῆναι κελεύει, ὅπως αὐτὴν καθαρὰν ἴδῃ τὴν τῆς ψυχῆς οἰκίαν καί, εἴ τινες ἐν αὐτῇ νόσοι γεγόνασιν, ἰάσηται. (29.) μεμίμηται δὲ τοῦτο καὶ ἡ ἐν ταῖς βασιλείαις ἐντυγχά- 136
νουσα τῷ προφήτῃ γυνὴ ⟨χήρα⟩ (III Reg. 17,10)· χήρα δ' ἐστίν, οὐχ ἣν φαμεν ἡμεῖς, ὅταν ἀνδρὸς ἐρήμη γένηται, ἀλλὰ τῷ χηρεύειν τῶν φθειρόντων καὶ λυμαινομένων παθῶν τὴν διάνοιαν, ὥσπερ καὶ ἡ παρὰ Μωυσῇ Θάμαρ· καὶ γὰρ ταύτῃ προστέτακται χηρευούσῃ καθέζεσθαι 137
ἐν τῷ τοῦ μόνου καὶ σωτῆρος οἴκῳ πατρός (Gen. 38,11), δι' ὃν ἀεὶ καταλιποῦσα τὰς τῶν θνητῶν συνουσίας καὶ ὁμιλίας ἠρήμωται μὲν καὶ κεχήρευκεν ἀνθρωπίνων ἡδονῶν, παραδέχεται δὲ θείαν γονὴν καὶ πληρουμένη τῶν ἀρετῆς σπερμάτων κυοφορεῖ καὶ ὠδίνει καλὰς πράξεις· ἃς ὅταν ἀποτέκῃ, τὰ κατὰ τῶν ἀντιπάλων αἴρεται βραβεῖα καὶ νικηφόρος ἀναγράφεται σύμβολον ἐπιφερομένη φοίνικα τῆς νίκης· Θάμαρ γὰν ἑρμηνεύεται φοῖνιξ. λέγει δὲ πρὸς τὸν προφήτην πᾶσα διάνοια χήρα 138
καὶ ἐρήμη κακῶν μέλλουσα γίνεσθαι· „ἄνθρωπε τοῦ θεοῦ, εἰσῆλθες πρὸς μὲ ἀναμνῆσαι τὸ ἀδίκημά μου καὶ τὸ ἁμάρτημά μου“ (III Reg.

---

2 νομοθετηθῆναι F δύναται AGF 4 διαμαρτάνουσιν GUF αὐτῶν om. A 5 κατορθοῦν ἐμπταίουσι PH¹ οἷς] τοῖς F 6 ὄντως] ὁ ὄντως MAP² ἔλεγχος ὄντως transpos. UF 7 γνωρίζομεν GUF: γνωρίζεται MAHP ἡμῶν F: ἡμῖν ceteri 7. 8 τῆς ψυχῆς coni. Mang. 8 αἷς] ὡς G ἄγνοια U, ἄγνοιαν G, ἀγνεία A 10. 11 ἴδῃ καθαρὰν HP 11 τῆς ψυχῆς τὴν U, τὴν (fort. ex τῆς) ψυχῆς F καί, εἴ F: καὶ U, κἂν ceteri 12 ἰάσεται MH¹P μεμύηται A, sed υ in ras. 13 χήρα add. Mang., om. codd. δέ UF 14 ἀνδρὸς om. F τῷ] τὸ GUF 15 παθῶν. τὴν διάνοιαν GHP: τὴν διάνοιαν παθῶν UF; τὴν διάνοιαν om. A, post λυμαινομένων add. mg. M παρὰ] περὶ H 16 Μωυσῇ GUF: Μωσεῖ MAHP 17 μόνου σωτῆρος καὶ πατρὸς οἴκῳ coni. Mangey μόνου] μ et ν in ras. H²P² δι' ὃ conicio ἀεὶ om. P, εἰς ἀεὶ coni. Mangey 20 πληρουμένην A τῆς ἀρετῆς HP καὶ κυοφορεῖ UF 21 ἀποτέμῃ P¹ 24 γίγνεσθαι F 25 ἀναμνῆσαι τὸ ἀνόμημά μου UF (ceteris omissis)

17,18)· εἰσελθὼν γὰρ εἰς τὴν ψυχὴν ὁ ἔνθους οὗτος καὶ κατεσχημένος ἐξ ἔρωτος ὀλυμπίου καὶ διηρεθισμένος τοῖς τῆς θεοφορήτου μανίας ἀκατασχέτοις οἴστροις μνήμην ἀδικημάτων καὶ ἁμαρτημάτων ἀρχαίων ἐργάζεται, οὐχ ἵνα πάλιν αὐτοῖς χρήσηται, ἀλλ' ἵνα μέγα στενάξασα καὶ μέγα κλαύσασα τὴν παλαιὰν τροπὴν τὰ μὲν ἐκείνης ἔγγονα μισήσασα ἀποστραφῇ, οἷς δ' ὑφηγεῖται ὁ ἑρμηνεὺς τοῦ θεοῦ λόγος καὶ προφήτης
139 ἔπηται· τοὺς γὰρ προφήτας ἐκάλουν οἱ πρότερον τοτὲ μὲν ἀνθρώπους θεοῦ, τοτὲ δὲ ὁρῶντας (I Reg. 9,9), κύρια ὀνόματα καὶ ἐμπρεπῆ τῷ ἐπιθειασμῷ καὶ τῇ περιαθρήσει τῶν πραγμάτων ἧ ἐκέχρηντο τιθέμενοι.
140 (30.) Προσηκόντως οὖν ὁ ἱερώτατος Μωυσῆς τότε φθείρεσθαι τὴν γῆν εἶπεν, ὅτε αἱ τοῦ δικαίου Νῶε ἀρεταὶ διεφάνησαν· „ἦν δὲ" φησί „κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς"
141 (Gen. 6,12). δόξει μέν τισιν ἡ λέξις ἡμαρτῆσθαι καὶ τὸ ἀκόλουθον τοῦ λόγου καὶ τὸ ἄπταιστον οὕτως ἔχειν· ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν | ὁδὸν αὑτῆς· ἀνοίκειον γάρ ἐστι θηλυκῷ ὀνόματι, τῇ σαρκί, p. 294 M.
142 ἀρρενικὴν ἐπιφέρεσθαι πτῶσιν, τὴν αὐτοῦ. μήποτε δὲ οὐ περὶ μόνης σαρκός ἐστιν ὁ λόγος τὴν αὑτῆς φθειρούσης ὁδόν, ἵνα εἰκότως ἡμαρτῆσθαι τὰ περὶ τὴν λέξιν δοκῇ, ἀλλὰ περὶ δυεῖν, σαρκός τε τῆς φθειρομένης καὶ ἑτέρου, οὗ τὴν ὁδὸν λυμαίνεσθαί τε καὶ φθείρειν ἐπιχειρεῖ. ὥσθ' οὕτως ἀποδοτέον· κατέφθειρε πᾶσα σὰρξ τὴν τοῦ
143 αἰωνίου καὶ ἀφθάρτου τελείαν ὁδὸν τὴν πρὸς θεὸν ἄγουσαν. ταύτην ἴσθι σοφίαν· διὰ γὰρ ταύτης ὁ νοῦς ποδηγετούμενος εὐθείας καὶ λεωφόρου ὑπαρχούσης ἄχρι τῶν τερμάτων ἀφικνεῖται· τὸ δὲ τέρμα τῆς ὁδοῦ γνῶσίς ἐστι καὶ ἐπιστήμη θεοῦ. ταύτην τὴν ἀτραπὸν μισεῖ καὶ προβέβληται καὶ φθείρειν ἐπιχειρεῖ πᾶς ὁ σαρκῶν ἑταῖρος· οὐδενὶ γὰρ
144 οὕτως οὐδὲν ἀντίπαλον ὡς ἐπιστήμη σαρκὸς ἡδονῇ. βουλομένοις γοῦν

---

1 κατισχημένος AUF 2 θεοφορήτου MHPL¹: θεοφράστου GUFL², θεοφορίστου A 5 μέγα κλαύσασα MAH: μετακλαύσασα GP, μεγάλα κλαύσασα UF ἔκγονα conicio 6 τοῦ θεοῦ ὁ ἑρμηνεὺς G λόγοις F 7 ἕπεται A ποτὲ μὲν AUF 8 ποτὲ δὲ AUFPL 9 θειασμῶ L τῶν om. U 10 Μωυσῆς UF: Μωσῆς ceteri 11 ὅτι ἀπὸ τοῦ A ἐφάνησαν UF 12 διεφθαρμένη UF post διεφθαρμένη add. ἡ γῆ UF 14 τοῦ λόγου GUFH²: om. MAH¹P ἔχει UF 15 αὑτῆς Turn.: αὐτῆς codd. (item lin. 17) 18 τὰ om. UF δοκεῖ FL δυεῖν MAGUF: δυοῖν HP 19 ἑτέρας G φθείρεσθαι P 20 τὸ post ἀποδοτέον add. G post τὴν add. δὲ UF, καὶ in ras. G 22 ἴσθι om. M, δ' ἴσθι G ποδηγούμενος U 23 τὸ δὲ τέρμα codd.: τὰ δὲ τέρματα Mang. 23. 24 τῆς γῆς ὁδοῦ UF 24 ἐπιστήμης F 25 καὶ om. H¹P 25. 26 οὐδὲν γὰρ οὕτως οὐδ' ἀντίπαλον UF 26 ἐπιστήμῃ σαρκὸς ἡδονή voluit Mang. βουλομένοις GH²: βουλόμενος ceteri γοῦν] γὰρ PL

ταύτην πορεύεσθαι τὴν ὁδὸν βασιλικὴν οὖσαν τοῖς τοῦ ὁρατικοῦ γένους μετέχουσιν, ὅπερ Ἰσραὴλ κέκληται, διαμάχεται ὁ γήινος Ἐδὼμ — τοῦτο γὰρ διερμηνευθεὶς ὀνομάζεται — μετὰ σπουδῆς καὶ παρασκευῆς τῆς πάσης εἴρξειν ἀπειλῶν τῆς ὁδοῦς καὶ ἀτριβῆ καὶ ἀπόρευτον αὐτὴν κατασκευάσειν εἰσάπαν. (31.) οἱ μὲν οὖν πεμφθέντες πρέσβεις λέγουσι 145
ταῦτα· „παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐ δι' ἀμπελώνων, οὐ πιόμεθα ὕδωρ λάκκου σου. ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιὰ οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμέν σου τὰ ὅρια. ὁ δὲ Ἐδὼμ ἀποκρίνεται φάσκων· οὐ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή, ἐν πολέμῳ ἐξελεύσομαί σοι εἰς συνάντησιν. καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραήλ· παρὰ τὸ ὄρος παρελευσόμεθα. ἐὰν δὲ τοῦ ὕδατός σου πίω ἐγώ τε καὶ τὰ κτήνη, δώσω σοι τιμήν· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ ὄρος παρελευσόμεθα. ὁ δὲ εἶπεν· οὐ διελεύσῃ δι' ἐμοῦ“ (Num. 20,17—20). τῶν παλαιῶν τινα λόγος ἔχει θεασάμενον ἐσταλμένην 146
πολυτελῆ πομπὴν πρός τινας τῶν γνωρίμων ἀπιδόντα εἰπεῖν· „ὦ ἑταῖροι, ἴδετε ὅσων χρείαν οὐκ ἔχω“, διὰ βραχείας φωνῆς μέγιστον καὶ οὐράνιον ὡς ἀληθῶς ἐπάγγελμα αὐχήσαντα. τί λέγεις; τὸν Ὀλυμπιακὸν ἀγῶνα 147
κατὰ τοῦ πλούτου παντὸς ἐστεφάνωσαι καὶ τῶν ἐν αὐτῷ κεκράτηκας οὕτως, ὡς μηδὲν εἰς ἀπόλαυσίν τε καὶ χρῆσιν τῶν ἀπ' αὐτοῦ παραδέχεσθαι; θαυμάσιος μὲν ὁ λόγος, πολὺ δ' ἡ γνώμη θαυμασιωτέρα τοσοῦτον πρὸς ἰσχὺν ἐπιδεδωκυῖα, ὡς ἤδη καὶ ἀκονιτὶ δύνασθαι νικᾶν ἀνὰ κράτος. (32.) ἀλλ' οὐχ ἑνὶ ἀνδρὶ ἔξεστι μόνον αὐχῆσαι παρὰ 148
p. 295 M. Μωυσῇ τὰ πρωτέλεια τῆς σοφίας ἀναδιδαχθέντι, ἀλλὰ | καὶ ὅλῳ ἔθνει πολυανθρωποτάτῳ. τεκμήριον δέ· τεθάρρηκε καὶ ἐπιτετόλμηκεν ἡ ἑκάστου ψυχὴ τῶν γνωρίμων αὐτοῦ πρὸς τὸν βασιλέα τῶν φαινομένων

---

2 ὅπερ] ὥσπερ F 3 ἑρμηνευθεὶς G 4 τῆς πάσης GUFH²: πάσης MAH¹P 6 οὐ ante δι' ἀγρῶν add. UF 6. 7 ἀγρῶν καὶ ἀμπελώνων G 7 σου om. UF βασιλικῇ] τοῦ βασιλέως UF 8. 9 δεξιὰν καὶ ἀριστεράν, ἕως παρέλθωμεν ὅριόν σου UF 8 οὐδὲ] ἢ G διελεύσῃ scripsi: παρελεύσῃ codd. 9. 10 εἰ δὲ μή, ἐξελεύσομαι εἰς συνάντησίν σου UF 10 ἐξελεύσομαι UF: διεξελεύσομαι ceteri σοι] σου G 11 οἱ MGFH²: om. AUH¹P 11—13 καὶ ἐὰν ὕδωρ πίωμεν, ἐγώ τε καὶ τὰ κτήνη μου, ἀργύριον δώσω σοι· πλὴν παρελεύσομαι ἐν γῇ μου. ὁ δὲ κτλ. UF 12 τιμήν σοι conicio τε om. H παρελευσόμεθα scripsi: διελευσόμεθα codd. 14 λόγος ἔχει τινὰ F 15 ἀποδιδόντα G 16 πόσων F 17 αὐχήσαντα ἐπάγγελμα F Ὀλυμπιακὸν GP: Ὀλυμπικὸν MAUH, Ὀλύμπιον F 18 ἐστεφάνωσαι A: ἐστεφανῶσθαι ceteri 20 θαυμασιώτερος F 21 ἀκονητὶ AG 23 Μωυσῇ UF: Μωσεῖ MAHP, Μωσῇ G ἀναδειχθέντι UF, ἀναδιχθέντι L

---

17 cf. Cic. Tusc. V 91, Laert. Diog. II 25, Epicurea p. 296,21.

ἁπάντων ἀγαθῶν τὸν γήινον Ἐδὼμ — ὄντως γὰρ τὰ τῷ δοκεῖν ἀγαθὰ
149 πάντα γήινα — λέγειν· „ἤδη παρελεύσομαι διὰ τῆς γῆς σου.“ ὦ
ὑπερφυεστάτης καὶ μεγαλοπρεποῦς ὑποσχέσεως. πάντα, εἶπατέ μοι,
ὑπερβῆναι παρελθεῖν παραδραμεῖν τὰ φαινόμενα καὶ νομιζόμενα γῆς
[ὄντα] ἀγαθὰ δυνήσεσθε; καὶ οὐδὲν ἄρα τὴν εἰς τὸ πρόσω ὑμῶν
150 ὁρμὴν ἀντιβιασάμενον ἐφέξει καὶ στήσει; ἀλλὰ τοὺς μὲν τοῦ πλούτου
θησαυροὺς ἅπαντας ἐξῆς πλήρεις ἰδόντες ἀποστραφήσεσθε καὶ ἀποκλινεῖτε
τὰς ὄψεις, τὰ δὲ τῶν προγόνων ἀξιώματα τῶν πρὸς πατρὸς καὶ μητρὸς
καὶ τὰς ᾀδομένας παρὰ τοῖς πολλοῖς εὐγενείας ὑπερκύψετε; δόξαν δὲ,
ἧς ἀντικαταλλάττονται πάντα ἄνθρωποι, κατόπιν ὥσπερ τι τῶν ἀτιμο-
τάτων ἀπολείψετε; τί δέ; ὑγείαν σώματος καὶ αἰσθήσεων ἀκρίβειαν καὶ
κάλλος περιμάχητον καὶ ῥώμην ἀνανταγώνιστον καὶ τἆλλα ὅσοις ὁ τῆς
ψυχῆς οἶκος ἢ τύμβος ἢ ὁτιοῦν χρὴ καλεῖν κεκόσμηται παραδραμεῖσθε,
151 ὡς μηδὲν αὐτῶν κατατάξαι ἐν τῇ τῶν ἀγαθῶν μερίδι; ὀλυμπίου καὶ
οὐρανίου ταῦτα ψυχῆς τὰ μεγάλα τολμήματα τὸν μὲν περίγειον χῶρον
ἀπολελοιπυίας, ἀνειλκυσμένης δὲ καὶ μετὰ τῶν θείων φύσεων διαι-
τωμένης· θέας γὰρ ἐμπιπλαμένη τῶν γνησίων καὶ ἀφθάρτων ἀγαθῶν
152 εἰκότως τοῖς ἐφημέροις καὶ νόθοις ἀποτάττεται. (33.) τί οὖν ὄφελος
παρελθεῖν πάντα τὰ θνητῶν θνητὰ ἀγαθά, παρελθεῖν δὲ μὴ σὺν ὀρθῷ
λόγῳ, ἀλλ' ὡς ἔνιοι δι' ὄκνον ἢ ῥᾳθυμίαν ἢ ἀπειρίαν ἐκείνων; οὐ γὰρ
153 πανταχοῦ πάντα, ἄλλα δὲ παρ' ἄλλοις τετίμηται. τούτου χάριν
βουλόμενος τὸ μετ' ὀρθότητος λόγου καταφρονητικοὺς τῶν εἰρημένων
γενέσθαι παραστῆσαι τῷ „παρελεύσομαι“ προστίθησι τὸ „διὰ τῆς γῆς
σου“· τοῦτο γὰρ τὸ ἀναγκαιότατον ἦν, γενομένους ἐν ἀφθόνοις τῶν
φαινομένων ἀγαθῶν ὕλαις ἁπάσαις ὑπὸ μηδενὸς τῶν προβληθέντων

---

1 τὰ τῷ MHP: τὰ τοῦ UF, ὑφ' οὗ AG 2 λέγειν GUFH: λέγει MAP post γῆς add. εἶναι A 5 ὄντα secl. Cohn δυνήσεσθε H^2: δυνήσεσθαι ceteri ἄρα τὴν] αὐτήν U, ἄρα τῆς F πρόσωπον L 6 ὁρμὴν om. F, ὀργὴν A καὶ] τε καὶ G μὲν] μὴ L τοῦ om. H 7 ἕξεις A ἀποστραφήσεσθαι U (H^1?) 9 τοῖς] τὰς HL^1 πολλοῖς om. A 10 ἀντικαταλλάττονται GUFH²: καταλλάττονται MAH^1P πάντες P 11 ἀπολήψετε AG, καταλείψετε UFL^2 αἰσθήσεως UFL^2 12 ἀνταγώνιστον H^1P ὅσοις Turn.: ὅσα codd. ὁ om. A 13 prius ἢ] ἦν A ὁτιοῦν] ὅτι ποτὲ UF παραδραμεῖσθαι U 14 αὐτὸν A ἐν τῇ τῶν ἀγαθῶν κατατάξαι μερίδι UF 15 ψυχῆς ταῦτα GUF τὴν et χώραν G 16 ἀπολωλυίας, sed ωλυί in ras. A 17 θείας A 20 ἐκείνων] ἐνίων UFL^2 21 δὲ om. UF 22 τὸ] τι τὸ H^2, ἔτι ν προειρημένων UF 23 τῷ om. UF, τὸ AG τὸ om. G 24 ἦν GUF: om. MAHP γενομένους MAGF: γεναμένους U, γενομένοις HP 25 πάσαις UF

ὑφ' ἑκάστης δικτύων ἁλῶναι, πυρὸς μέντοι τὸν τρόπον ἰσχῦσαι ῥύμῃ μιᾷ τὰς ἐπαλλήλους καὶ συνεχεῖς φορὰς διακλάσαι. διὰ μὲν δὴ τούτων 154
φασὶ „παρελεύσεσθαι", διὰ δὲ „ἀγρῶν καὶ ἀμπελώνων" οὐκέτι· τὰ γὰρ ἥμερα ἐν ψυχῇ φυτὰ ἡμέρους ἀποτίκτοντα καρπούς, ἀστείους μὲν λόγους,
5 ἐπαινετὰς δὲ πράξεις, ὠγύγιος εὐήθεια παρέρχεσθαι· μένειν γὰρ ἔδει καὶ δρέπεσθαι καὶ ἁπλήστως ἐμφορεῖσθαι· κάλλιστον γὰρ ἡ ἐν ἀρεταῖς τελείαις ἀκόρεστος εὐφροσύνη, ἧς οἱ λεχθέντες ἀμπελῶνες σύμβολα.
p. 296 M. | οἷς δ' ὁ θεὸς ἐπινίφει καὶ ἐπομβρεῖ τὰς ἀγαθῶν πηγὰς ἄνωθεν, ἐκ 155
λάκκου πίνομεν καὶ βραχείας [καὶ] κατὰ γῆς λιβάδας ἀναζητοῦμεν, ὄντος
10 ἡμῖν ἀνεπισχέτως οὐρανοῦ τὴν νέκταρος καὶ ἀμβροσίας τῶν μεμυθευμένων ἀμείνω τροφήν; (34.) ἔτι δὲ ποτὸν τεθησαυρισμένον ἐξ ἐπι- 156
τεχνήσεως ἀνθρώπων ἐξανιμῶντες ὑπόδρομον καὶ καταφυγὴν δυσελπιστίας ἔργον προσιέμεθα, οἷς τὸν ὀλύμπιον θησαυρὸν εἰς χρῆσιν καὶ ἀπόλαυσιν ὁ σωτὴρ τοῦ παντὸς ἤνοιξεν; εὔχεται γὰρ Μωυσῆς ὁ ἱεροφάντης, ἵνα
15 „ἀνοίξῃ κύριος ἡμῖν τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθόν, τὸν οὐρανόν, δοῦναι ὑετόν" (Deut. 28,12)· ἐπήκοοι δὲ αἱ τοῦ θεοφιλοῦς εὐχαί. τί 157
δ'; ὁ μηδ' οὐρανὸν ἢ ὑετὸν ἢ λάκκον ἢ συνόλως τι τῶν ἐν γενέσει νομίσας ἱκανὸν εἶναι τρέφειν ἑαυτόν, ὑπερβὰς δὲ ταῦτα πάντα καὶ ὃ ἔπαθεν εἰπὼν „ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος" (Gen. 48,15) ἆρα
20 οὐ δοκεῖ σοι πάντα ὅσα κατὰ γῆς ὕδατος συστήματα μηδ' ἂν ἀξιῶσαι προσιδεῖν; οὐκ ἂν οὖν ἐκ λάκκου πίοι, ᾧ δίδωσιν ὁ θεὸς τὰς ἀκράτους 158

---

1 πυρὸς] πρὸς MAP ἴσχυσε MAP 2 συνεχεῖς καὶ ἐπαλλήλους UF 3 παρελεύσεσθε MAG² ἀγρῶν UF: δένδρων καὶ ἀγρῶν MG, δένδρων AHP 5 ὠγύγιος om. MAP², γύγιος U, διωλύγιος coni. Mang. εὐθεῖα U post παρέρχεσθαι add. καὶ A; καὶ ἁπλήστων ἐμφορεῖσθαι add., sed rursus del. G 6 καὶ τὴν δρέπεσθαι A, καὶ τρέφεσθαι UF ἁπλήστων AG κάλλιστον UF: κάλλιστος ceteri 8 ὁ om. UF ἐπιφαίνει UF ἐπομβρεῖ om. A τῶν ἀγαθῶν UF ⟨ἔτι⟩ ἐκ conicio 9 πίνομεν MGUPH¹: ἐπίνομεν FL², πίνωμεν A, πίωμεν H²L¹ καὶ seclusi λιβάδος AP ἀναζητοῦμεν MG, mg. A, H¹: ἂν ἐζητοῦμεν text. AP (ἐ in ras. P), ἀνεζητοῦμεν UFL², ἀναζητῶμεν H²L¹ ὄντος] οὕτως A 13 προϊέμεθα G οἷς] ἧς A 14 ἤνοιξε κύριος G Μωυσῆς UF: Μωσῆς ceteri 15 αὐτὸν U τὸν ἀγαθὸν F: ἀγαθὸν U, om. ceteri οὐρανὸν MAP: οὐράνιον ceteri 16 δοῦναι] καὶ δώσῃ G post δοῦναι add. ἡμῖν τὸν GH² post ὑετὸν add. αὐτοῦ GH² ὑπήκοοι AD 17 μὴ AUF ἢ post οὐρανὸν om. A οὐράνιον ὑετὸν coni. Mang. λάκκον Mang.: λόγον codd. 19 εἶπον U 20 πάνθ' GH ὅσα — ἀξιῶσαι mg. P, κατὰ — ἀξιῶσαι mg. H ἀξιώσῃ AP 21 οὐκ codd.: οὐδὲ v πίῃ A, πίει F ᾧ] ὃ AL, ἀκροτάτους U, ἀκράτου v

---

16 DR fol. 144v Φίλωνος: σοφοῦ ἀνδρὸς καὶ θεοφιλοῦς εὐχαὶ ὑπήκοοι.

μεθύσματος πόσεις, τοτὲ μὲν διά τινος ὑπηρετοῦντος τῶν ἀγγέλων, ὃν οἰνοχοεῖν ἠξίωσε, τοτὲ δὲ καὶ δι' ἑαυτοῦ, μηδένα τοῦ διδόντος καὶ τοῦ
159 λαμβάνοντος μεταξὺ τιθείς. ἀνυπερθέτως οὖν τῇ βασιλικῇ πειρώμεθα βαδίζειν ὁδῷ, οἱ τὰ γήινα παρέρχεσθαι δικαιοῦντες· βασιλικὴ δ' ἐστὶν ὁδός, ἧς δεσπότης ἰδιώτης μὲν οὐδὲ εἷς, μόνος δὲ ὁ καὶ μόνος βασιλεὺς
160 ἀληθείᾳ. αὕτη δ' ἐστί, καθὰ καὶ μικρῷ πρότερον εἶπον, σοφία, δι' ἧς μόνης ἱκέτισι ψυχαῖς ἡ ἐπὶ τὸν ἀγένητον καταφυγὴ γίνεται· εἰκὸς γὰρ τὸν δι' ὁδοῦ τῆς βασιλικῆς ἀκωλύτως ἰόντα μὴ πρότερον καμεῖν ἢ
161 ἐντυχεῖν τῷ βασιλεῖ. τότε δὲ τήν τε ἐκείνου μακαριότητα καὶ τὴν ἰδίαν εὐτέλειαν γνωρίζουσιν οἱ προσελθόντες· καὶ γὰρ Ἀβραὰμ ἐγγίσας τῷ θεῷ
162 ἑαυτὸν εὐθὺς ἔγνω γῆν καὶ τέφραν ὄντα (Gen. 18,27). μήτε δὲ ἐπὶ δεξιὰ μήτε ἐπὶ θάτερα τῆς βασιλικῆς ἀποκλινέτωσαν ὁδοῦ, ἀλλ' αὐτῇ τῇ μέσῃ προΐτωσαν. αἱ γὰρ ἐφ' ἑκάτερα ἐκτροπαὶ τῇ μὲν ὑπερβολὰς εἰς ἐπίτασιν τῇ δὲ ἐλλείψεις πρὸς ἄνεσιν ἔχουσαι ὑπαίτιοι· οὐ γὰρ
163 ἧττον τοῦ εὐωνύμου τὸ δεξιὸν ψεκτὸν ἐνταῦθα· παρὰ μέν γε τοῖς προπετῶς ζῶσι τὸ μὲν θράσος δεξιόν, ἀριστερὸν δὲ ἡ δειλία, παρὰ δὲ τοῖς ἀνελευθέροις περὶ χρημάτων | διοίκησιν δεξιὸν μὲν ἡ φειδωλία, p. 297 M.
εὐώνυμον δὲ αἱ ἀνειμέναι δαπάναι· καὶ ὅσοι μέντοι ἐν τῷ λογίζεσθαι περιττοί, κρίνουσι τὸ μὲν πανοῦργον αἱρετόν, τὸ δὲ εὐηθικὸν ψευκτόν· καὶ δεισιδαιμονίαν μὲν ὡς δεξιὸν ἄλλοι μεταδιώκουσιν, ἀποδιδράσκουσι
164 δ' ὡς ψευκτὸν ἀσέβειαν. (35.) ἵνα οὖν μὴ ταῖς μαχομέναις κακίαις ἀναγκασθῶμεν ἐκτρεπόμενοι χρῆσθαι, τὴν μέσην ὁδὸν εὐθύνειν βουλώμεθά τε καὶ εὐχώμεθα· μέση δὲ θράσους μὲν καὶ δειλίας ἀνδρεία, ῥᾳθυμίας δὲ ἐκκεχυμένης καὶ φειδωλίας ἀνελευθέρου σωφροσύνη, πανουργίας τε αὖ καὶ μωρίας φρόνησις, καὶ μὴν δεισιδαιμονίας καὶ
165 ἀσεβείας εὐσέβεια. αὗται μέσαι τῶν παρ' ἑκάτερα ἐκτροπῶν εἰσι, βάσιμοι

---

1 ἃς post πόσεις add. UFL² 1. 2 bis ποτὲ A 1 ὃν] ὧν A 2 τοτὲ δὲ καὶ] spatium 4 litt. in U, τοτὲ δὲ F καὶ τοῦ] καὶ UF 3 τιθείς] τάττων UF 4 ὁδῷ GUFH²: om. MAH¹P 5 ἧς] ἣ P οὐδεὶς UF 6 ταύτη U μικρὸν P 7 ἱκέτισι] εἰ καί τισι AU (εἰ et αι in ras. A) ἀγένητον MGF: ἀγέννητον AUHP γίγνεται F 10 οὐ post εὐτέλειαν add. G Ἀβραὰμ HP ἐγγίσας UF: ἔγγιστα ceteri 11 ἑαυτὸν UF: ἑαυτὸν ποιήσας ceteri καὶ] τε καὶ UF 12 μήτε] μήτε δὲ AGPH¹ 13 προΐτωσαν Richter: προσίτωσαν UF, προσιέτωσαν ceteri 14 εἰς om. HP¹, πρὸς v ἐκλείψεις UF ἐχούσαις AGUF 15 γε] γὰρ conicio 16 ἡ om. P δὲ om. F 18 ἐν τῷ] περὶ τὸ GH² 19 prius τὸ] τὸν F τὸν δὲ εὐήθη ψεκτόν UF 21 εὐσέβειαν MGUFP¹ δεχομέναις A 22. 23 βουλόμεθα et εὐχόμεθα MG 23 θάρσους UF μὲν MA: om. ceteri 25 δὲ αὖ καὶ ἀφροσύνης φρόνησις UF μὴν om. H, μνήμη UFL² ante postremum καὶ add. δὲ v, γε Richter

καὶ λεωφόροι ὁδοὶ πᾶσαι, αἷς οὐ θέμις ὀργάνοις σωματικοῖς ἀλλὰ ψυχῆς
κινήσεσιν ἐφιεμένης τοῦ ἀρίστου συνεχῶς ἐμπεριπατεῖν. ἐπὶ τούτῳ 166
μάλιστα δυσχεράνας ὁ γήινος Ἐδὼμ — δέδιε γὰρ περὶ τῆς τῶν
ἑαυτοῦ δογμάτων ἀνατροπῆς τε καὶ συγχύσεως — ἀπειλήσει πόλεμον
ἀκήρυκτον, εἰ βιαζοίμεθα διέρχεσθαι τέμνοντες καὶ χείροντες ἀεὶ τὸν
τῆς ψυχῆς αὐτοῦ καρπόν, ὃν ἐπ' ὀλέθρῳ φρονήσεως σπείρας οὐκ ἐθέρισε·
φησὶ γάρ· „οὐ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή γε, ἐν πολέμῳ ἐξελεύσομαί
σοι εἰς ἀπάντησιν.“ ἀλλὰ μηδὲν αὐτοῦ τῶν ἐπανατάσεων φροντίσαντες 167
ἀποκρινώμεθα, ὅτι „παρὰ τὸ ὄρος πορευσόμεθα“, τουτέστιν ὑψηλαῖς
καὶ μετεώροις ἔθος ἔχοντες ἐνομιλεῖν δυνάμεσι καὶ ὁρικῶς ἕκαστα
σκοπεῖν, τὸν παντὸς οὐτινοσοῦν λόγον ἐρευνῶντες, δι' οὗ τὸ τί ἦν
εἶναι γνωρίζεται, καταφρονητικῶς ἔχομεν πάντων ὅσα ἐκτός τε καὶ περὶ
σῶμα· ταπεινὰ γὰρ ταῦτά γε καὶ λίαν χαμαίζηλα, σοὶ μὲν φίλα, ἐχθρὰ
δὲ ἡμῖν αὐτοῖς, οὗ χάριν οὐδενὸς αὐτῶν προσαψόμεθα. εἰ γὰρ ἄκρῳ 168
δακτύλῳ τὸ τοῦ λόγου δὴ τοῦτο μόνον ψαύσομεν, γέρας καὶ τιμήν σοι
παρέξομεν· φρυαττόμενος γὰρ αὐχήσεις, ὡς καὶ ἡμῶν τῶν φιλαρέτων
δελέασιν ἡδονῆς ὑπαχθέντων. (36.) „ἐὰν γὰρ τοῦ ὕδατός σου“ 169
φησί „πίω ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι“, οὐ τὸν
λεγόμενον ὦνον παρὰ ποιηταῖς, ἀργύριον ἢ χρυσίον ἢ ἄλλα ὅσα πρὸς
τοὺς πιπράσκοντας ἔθος τοῖς ὠνουμένοις ἀντικαταλλάττεσθαι, ἀλλὰ τιμὴν
τὸ γέρας νυνὶ παραλαμβάνει. τῷ γὰρ ὄντι πᾶς ἀκόλαστος ἢ ἄδικος 170
ἢ δειλός, ὅταν ἴδῃ τινὰ τῶν αὐστηροτέρων ἢ πόνον φεύγοντα ἢ
λήμματος ἡττώμενον ἢ πρός τι τῶν ἡδονῆς φίλτρων ἐκνενευκότα,
p. 298 M. χαίρει καὶ γέγηθε καὶ τετιμῆσθαι | δοκεῖ, καὶ πρὸς τοὺς πολλοὺς
ἐπινεανιευόμενος καὶ ἐπιχειρονομῶν ἄρχεται περὶ τῶν ἰδίων κακῶν
ὡς σφόδρα ἀναγκαίων καὶ χρησίμων φιλοσοφεῖν, οὐκ ἄν, εἰ μὴ τοιαῦτα

---

1. 2 ἀλλὰ καὶ ψυχῆς κίνησιν GUF 2 τούτων G 5 βιαζόμεθα UF διέρχεσθαι MGA: διεξέρχεσθαι UFHP ἀεὶ] ἅμα UF 6 ὃν ἐφρονήσεως F 7 οὐ UF: οὐ δὲ MAGP, οὐ δὴ H γε fort. del. 8 μηδὲ P ἐπ' ἀνατάσεων U: ἐπαναστάσεων ceteri 9 ἀποκρινώμεθα MHP: ἀποκρινόμεθα A (ο corr. ex ω) G, ἀπεκρινάμεθα UF παρὰ] περὶ H πορευσόμεθα MAGP: πορευσώμεθα H, παρελευσόμεθα U, παρελεύσομαι F ὑψηλοῖς GH 11 οὐτινοσοῦν H^2: οὕτινος ceteri τί] τὴν F 11. 12 τί εἶναι G 12 εἶναι om. UF ἐγνωρίζετο UFL^2 13 γε H: τε ceteri σοὶ] σοῦ GUF 14 προσαψώμεθα A 15 τὸ] τῶ A τοῦ add. mg. P^2 17 δελεάσμασιν GH^2 17. 18 φησί, τοῦ ὕδατός σου G 18 σοι τιμήν UF τὸν] τὸ F 19 ὦνον om. UF ποιηταῖς MAUF: τοῖς ποιηταῖς HP, τισι ποιηταῖς G 20 ἦν ἔθος G 21 νῦν HP 23 φιλτέρων F 25 ἐπινεανιευόμενος Mang.: ἔτι νεανιευόμενος codd. ἐπιχειρῶν U

171 ἦν, φάσκων ὑπομεῖναι ἂν τὸν δεῖνα εὐδόκιμον ἄνδρα χρῆσθαι. λέγωμεν οὖν παντὶ μοχθηρῷ· ἐὰν τοῦ ὕδατός σου πίωμεν, ἐάν τινός σου τῶν κατὰ τὴν ἄκριτον φορὰν ψαύσωμεν, τιμὴν καὶ ἀποδοχὴν ἀντὶ δυσκλείας καὶ ἀτιμίας — τούτων γὰρ ἄξιος ὢν τυγχάνεις — παρεξόμεθα· καὶ
172 γὰρ ἀμέλει τὸ πρᾶγμα περὶ ὃ ἐσπούδακας συνόλως οὐδέν ἐστιν. ἢ νομίζεις τι τῶν θνητῶν πραγμάτων ὄντως πρὸς ἀλήθειαν εἶναι καὶ ὑφεστάναι, ἀλλ' οὐχ ὥσπερ ἐπ' αἰώρας τινὸς ψευδοῦς καὶ ἀβεβαίου δόξης φορεῖσθαι κατὰ κενοῦ βαίνοντα, μηδὲν ψευδῶν ὀνειράτων
173 διαφέροντα; εἰ δὲ μὴ θέλεις τὰς τῶν κατὰ μέρος ἀνθρώπων ἐξετάζειν τύχας, τὰς χωρῶν ὅλων καὶ ἐθνῶν πρός τε τὸ εὖ καὶ τὸ χεῖρον μεταβολάς· ἤκμασέ ποτε ἡ Ἑλλάς, ἀλλὰ Μακεδόνες αὐτῆς τὴν ἰσχὺν ἀφείλοντο. Μακεδονία πάλιν ἤνθησεν, ἀλλὰ διαιρεθεῖσα κατὰ μοίρας ἠσθένησεν,
174 ἕως εἰς τὸ παντελὲς ἀπεσβέσθη. πρὸ Μακεδόνων τὰ Περσῶν ἐν εὐτυχίᾳ ἦν, ἀλλὰ μία ἡμέρα τὴν πολλὴν καὶ μεγάλην βασιλείαν αὐτῶν καθεῖλε, καὶ νῦν Παρθυηνοὶ Περσῶν τῶν πρὸ μικροῦ ἡγεμόνων ἐπικρατοῦσιν οἱ τότε ὑπήκοοι. ἔπνευσέ ποτε λαμπρὸν καὶ ἐπὶ μήκιστον Αἴγυπτος, ἀλλ' ὡς νέφος αὐτῆς ἡ μεγάλη παρῆλθεν εὐπραγία. τί δὲ Αἰθίοπες, τί δὲ καὶ Καρχηδὼν καὶ τὰ πρὸς Λιβύην; τί δ' οἱ Πόντου
175 βασιλεῖς; τί δ' Εὐρώπη καὶ Ἀσία καὶ συνελόντι φράσαι πᾶσα ἡ οἰκουμένη; οὐκ ἄνω καὶ κάτω κλονουμένη καὶ τινασσομένη ὥσπερ ναῦς θαλαττεύουσα τοτὲ μὲν δεξιοῖς τοτὲ δὲ καὶ ἐναντίοις πνεύμασι χρῆται;
176 χορεύει γὰρ ἐν κύκλῳ λόγος ὁ θεῖος, ὃν οἱ πολλοὶ τῶν ἀνθρώπων ὀνομάζουσι τύχην· εἶτα ἀεὶ ῥέων πατὰ πόλεις καὶ ἔθνη καὶ χώρας τὰ ἄλλων ἄλλοις καὶ πᾶσι τὰ πάντων ἐπινέμει, χρόνοις αὐτὸ μόνον ἀλλάττων τὰ παρ' ἑκάστοις, ἵνα ὡς μία πόλις ἡ οἰκουμένη πᾶσα τὴν
177 ἀρίστην πολιτειῶν ἄγῃ δημοκρατίαν. (37.) οὐδὲν οὖν ἔστι τῶν ἀνθρωπίνων σπουδασμάτων ἔργον καὶ πρᾶγμα οὐδέν, ἀλλὰ σκιά τις

---

1 ὑπομείνας ἂν L ὑπομείναιεν τότε δεῖν UF τὸν δεῖνα GH²: τῶ δεῖν MA, τὸ δεῖν PH¹ λέγομεν ~~GU~~FH², λέγω μὲν L 2 τῶν σου Mang. 4 ἀξίως ὢν A 5 γὰρ om. UF περὶ ὃ UF: ὃ ceteri συνόλως om. P 7 ὥσπεράειινων (sic) G ἐπὶ ὥρας A, ἐπ' ἐώρας UF ἀβεβαίους G 8 φορεῖσθαι UF 9 θέλης G 10 ⟨ἴδε⟩ τὰς conicio τε om. L τὸ χεῖρον UF: χεῖρον ceteri 11 ἀφείλαντο FHP (s. s. oP) 13 τὸ om. F 15 Πάρθοι F 17. 18 τί δὲ Αἰθίοπες—Λιβύην om. MAHPL¹ 18 prius καὶ om. G 18 Καλχηδὼν U δὲ MAHP 19 δὲ G 20 καὶ post οἰκουμένη add. PH¹ οὐ κάτω καὶ ἄνω P τιναττομένη UF 21 ποτὲ bis AU 22 ὁ om. F 23 εἶτα (καὶ add. F) περὶ τῶν κατὰ UF ἀεὶ—χώρας om. G 24 ἄλλων ἄλλα HP 26 ἄγει A 27 σπουδασμάτων] πραγμάτων HL¹ οὐδὲν om. UF

ἢ αὔρα πρὶν ὑποστῆναι παρατρέχουσα. ἔρχεται γὰρ καὶ πάλιν ἄπεισιν
ὥσπερ ἐν ταῖς παλιρροίαις· τὰ γὰρ ἀμπωτίζοντα πελάγη ποτὲ μὲν
μετὰ συρμοῦ καὶ πατάγου βίᾳ φέρεται καὶ ἀναχεόμενα λιμνάζει τὴν
τέως χέρσον, ποτὲ δε ἐξαναχωροῦντα πολλὴν τῆς θαλάττης μοῖραν
p. 299 M. ἠπειροῖ· οὕτως οὖν ἔστιν ὅτε | μέγα καὶ πολυάνθρωπον ἔθνος ἐπικλύσασα 178
6 εὐπραγία ἑτέρωσε τὴν φορὰν τοῦ ῥεύματος παρατρέψασα οὐδὲ βραχεῖαν
εἴασε λιβάδα, ἵνα μηδ' ἴχνος ὑπολειφθῇ πιότητος ἀρχαίας. τούτων δ' 179
οὐχ ἅπαντες ἀρτίους καὶ πλήρεις λαμβάνουσι λογισμούς, ἀλλ' οἷς ἔθος
συνομαρτεῖν ὀρθῷ καὶ πεπηγότι ὅρῳ καὶ λόγῳ. οἱ γὰρ αὐτοὶ ἄμφω
10 ταῦτα λέγουσι, καὶ τὸ γενέσεως πρᾶγμα ὅλον οὐδέν ἐστι, καὶ παρὰ τὸ
ὅρος πορευσόμεθα· ἀδύνατον γὰρ τὸν μὴ ταῖς ὑψηλαῖς καὶ ὁρικαῖς 180
χρώμενον ὁδοῖς ἀπογνῶναι μὲν τὰ θνητά, μετακλῖναι δὲ καὶ μεταναστῆναι
πρὸς τὰ ἄφθαρτα. ὁ μὲν οὖν γήινος Ἐδὼμ τὴν οὐράνιον καὶ βασιλικὴν
ἀρετῆς ὁδὸν ἐπιφράττειν ἀξιοῖ, ὁ δὲ θεῖος λόγος ἔμπαλιν τὴν ἐκείνου
15 καὶ τῶν ὁμοζήλων· ὧν ἕνα καὶ τὸν Βαλαὰμ ἀναγραπτέον· γῆς γὰρ 181
θρέμμα καὶ οὗτος, οὐκ οὐρανοῦ βλάστημα. τεκμήριον δέ· οἰωνοῖς καὶ
ψευδέσι μαντείαις ἑπόμενος οὐδ' ὅτε τὸ τῆς ψυχῆς μεμυκὸς ὄμμα
ἀναβλέψας „εἶδε τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστῶτα“ (Num. 22,31),
μετατραπόμενος ἐπέσχε τὸ ἀδικεῖν, ἀλλὰ πολλῷ τῷ τῆς ἀφροσύνης
20 χρησάμενος ῥεύματι ἐπικλυσθεὶς κατεπόθη. τότε γὰρ ὡς ἀληθῶς οὐ 182
δυσθεράπευτα μόνον ἀλλὰ καὶ παντελῶς ἀνίατα γίνεται τὰ τῆς ψυχῆς
ἀρρωστήματα, ὅταν ἐπιστάντος ἐλέγχου — λόγος δ' ἐστὶ θεῖος, ἄγγελος
ποδηγετῶν καὶ τὰ ἐν ποσὶν ἀναστέλλων, ἵνα ἅπταιστοι διὰ λεωφόρου
βαίνωμεν τῆς ὁδοῦ (Psalm. 90,11.12) — τὰς ἀκρίτους ἑαυτῶν γνώμας
25 πρὸ τῶν ὑφηγήσεων τάττωμεν τῶν ἐκείνου, ἃς ἐπὶ νουθεσίᾳ καὶ
σωφρονισμῷ καὶ τῇ τοῦ παντὸς ἐπανορθώσει βίου συνεχῶς εἴωθε
ποιεῖσθαι. διὰ τοῦθ' ὁ μὴ πεισθείς, μὴ μετατρεπόμενος τῷ ἀντιβαί- 183

---

1 ἢ αὔρα] λαύρα A 2 πολυρροίαις A ἀμποτίζοντα UPL τοτὲ F
4 δ' U πολλὴν τῆς UF: πολλῆς ceteri 6 περιτρέψασα H
7 μηδ'] μή τι L ποιότητος FP 8 αἰτίους UF 9 συναμαρτάνειν U
10 τὰ αὐτὰ UF τὸ γενέσεως — ἐστι καὶ om. F 11 πορευσώμεθα H^2 ὁρικαῖς P
12 μεταναστῆναι UFL^2: μεταναστεῦσαι ceteri 13 οὐρανίαν v 14 ἔμπαλιν scripsi:
ἐν πᾶσι $MAGUFP^2$, om. HP^1 15 ἕνεκα καὶ AUF 16 οὐκοῦν οὐ βλάστημα L
17 οὐδ' om. G 18 ἀναβλέψαν v τοῦ θεοῦ om. F οὐ post ἀνθεστῶτα
add. G^2 19 μετατραπόμενος MAGHP: μετατρεπόμενος UF ὑπέσχετο A, ἐπέσχε-
το v 21 γίγνεται UF τῆς om. MA 22 λόγος] ἔλεγχος coni. Mang.
24 ἑαυτοῦ U γνώμας] φορὰς UF 27 διὰ $UFHL^1$: ἄγαν διὰ MG, ἄγαν APL^2
ἀγγέλῳ δὲ τοῦ θεοῦ ὁ μὴ πεισθεὶς coni. Mang. καὶ post πεισθεὶς add. P

νοντι ἐλέγχῳ „φθορὰν τὴν μετὰ τῶν τραυματιῶν“ (Num. 31,8) αὖθις ἐνδέξεται, οὓς κατεκέντησε καὶ κατέτρωσε τὰ πάθη. γενήσεται δ' ἡ τούτου συμφορὰ τοῖς μὴ τελέως δυσκαθάρτοις δίδαγμα αὐταρκέστατον τοῦ πειρᾶσθαι τὸν ἔνδον δικαστὴν ἔχειν εὐμενῆ· σχήσουσι δέ, εἰ μηδὲν τῶν ὀρθῶς ὑπ' αὐτοῦ γνωσθέντων ἀναδικάζοιεν.

---

1 τραυματιῶν] πραγματειῶν UF 2 ἐνδέξεται FHP: ἐνδέξηται MAG, ἀναδέξεται U καὶ om. UF κατέτρωσε MAG: κατέστρωσε UFHP δ' ἡ] δὴ AP 3 δεῖγμα UF, δίγμα A αὐταρκέστατον] αἱ παρ' ἕκαστον MA 4 σχήσουσι] ἰσχύσουσι A 5 ἀναδιδάξοιεν GUF subscriptio in G: φίλωνος ὅτι ἄτρεπτον τὸ θεῖον, in U: φίλωνος ἰουδαίου περὶ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον.

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ

p. 300 M. (1.) „Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς εἶναι, καὶ ἐφύτευσεν 1
ἀμπελῶνα, καὶ ἔπιε | τοῦ οἴνου, καὶ ἐμεθύσθη ἐν τῷ οἴκῳ αὐτοῦ“
(Gen. 9,20.21). οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων τὰς φύσεις τῶν πραγ-
μάτων οὐκ εἰδότες καὶ περὶ τὴν τῶν ὀνομάτων θέσιν ἐξ ἀνάγκης
ἁμαρτάνουσι· τοῖς μὲν γὰρ ὥσπερ ἐξ ἀνατομῆς περινοηθεῖσι κύριαι
προσρήσεις ἔπονται, τοῖς δ' ὑποσυγκεχυμένοις οὐ σφόδρα ἠκριβωμέναι.
Μωυσῆς δὲ κατὰ πολλὴν περιουσίαν τῆς ἐν τοῖς πράγμασιν ἐπιστήμης 2
ὀνόμασιν εὐθυβολωτάτοις καὶ ἐμφαντικωτάτοις εἴωθε χρῆσθαι. πολλαχοῦ
μὲν οὖν τῆς νομοθεσίας τὴν ὑπόσχεσιν ἐπαληθεύουσαν εὑρήσομεν, οὐχ
ἥκιστα δὲ κἀν τῷ προτεθέντι κεφαλαίῳ, καθ' ὃ γεωργὸς ὁ δίκαιος
Νῶε εἰσάγεται. τίνι γὰρ τῶν προχειροτέρων οὐκ ἂν δόξειε τὰ αὐτὰ εἶναι 3
γεωργία τε καὶ γῆς ἐργασία, καίτοι πρὸς ἀλήθειαν οὐ μόνον οὐκ ὄντα
τὰ αὐτά, ἀλλὰ καὶ λίαν ἀπηρτημένα, ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι;
δύναται μὲν γάρ τις καὶ ἄνευ ἐπιστήμης περὶ τὴν γῆς ἐπιμέλειαν 4
πονεῖσθαι, γεωργὸς δὲ τὸ μὴ ἰδιώτης ἀλλ' ἔμπειρος εἶναι καὶ τῷ ὀνόματι
πεπίστωται, ὅπερ ἐκ τῆς γεωργικῆς τέχνης, ἧς φερώνυμός ἐστιν,

---

φίλωνος περὶ γεωργίας (τὸ α' add. Index M) MAG: φίλωνος ἰουδαίου περὶ γεωργίας λόγος ι' U, τοῦ αὐτοῦ περὶ γεωργίας F, περὶ γεωργίας H 1. 2 καὶ — αὐτοῦ om. UF 1 γῆς om. H 2 ἔπιε τοῦ MG: ἔπιεν ἐκ τοῦ AH 3 τῶν om. F 7 τῆς] τοῖς U 8 ἐμφατικωτάτοις M 9 ἐπαληθεύοντα coni. Cohn εὑρήσωμεν G 10 προτεθέντι A καθ' ὃ AU: καθὸ ceteri 11 δόξειε U: δόξαιεν F, δόξαι MGH, δόξαι τὸ A τὸ αὐτὸ conicio (item lin. 13) 12 τε om. F 13 τὰ αὐτὰ H: τοιαῦτα MAG, om. UF 14 γάρ om. UF γῆν H^1 15 ποιεῖσθαι H^1 δὲ GH^2: om. ceteri τὸ Benzelius: τῶ codd. 16 ὅπερ UF: ὥπερ MGH, ὥσπερ A ἧς Turn.: ἣ U, ἥ F, ὡς MAGH

εὕρηται. πρὸς δὲ τούτῳ κἀκεῖνο λογιστέον, ὅτι ὁ μὲν γῆς | ἐργάτης p. 301 M.
πρὸς ἓν τέλος, τὸν μισθόν, ἀφορῶν — ἔμμισθος γὰρ ὡς ἐπίπαν οὗτος — οὐδεμίαν ἔχει φροντίδα τοῦ καλῶς ἐργάσασθαι, ὁ μέντοι γεωργὸς πολλὰ ἂν ἐθελήσαι καὶ τῶν ἰδίων εἰσφέρειν καὶ προσαναλίσκειν οἰκοθέν τι ὑπὲρ τοῦ καὶ τὸ χωρίον ὀνῆσαι καὶ πρὸς μηδενὸς τῶν ἰδόντων μεμφθῆναι· βούλεται γὰρ οὐχ ἑτέρωθέν ποθεν, ἀλλ' ἐκ τῶν γεωργηθέντων
6 εὐτοκίᾳ χρωμένων ἀνὰ πᾶν ἔτος τοὺς καρποὺς ἀναλαμβάνειν. οὗτος τὰ μὲν ἄγρια τῶν δένδρων ἡμεροῦν, τὰ δ' ἥμερα ἐπιμελείαις συναύξειν, τὰ δ' ὑπὸ πλεοναζούσης τροφῆς κεχυμένα τομαῖς στέλλειν, τὰ δ' ἐσταλμένα καὶ πεπιλημένα ἐπιφύσεων ἐκτάσεσι μηκύνειν, καὶ ὅσα μὲν εὐγενῆ πολυκλήματοῦντα κατὰ γῆς τείνειν ἐν οὐ πάνυ βαθείαις τάφροις, ὅσα δὲ μὴ εὔκαρπα ἑτέρων εἰς τὸν πρὸς ταῖς ῥίζαις κορμὸν ἐνθέσει καὶ συμφυεστάτῃ ἑνώσει βελτιοῦν ἐθελήσει — καὶ γὰρ ἐπ' ἀνθρώπων τυγχάνει ταὐτόν, ὡς τοὺς θετοὺς παῖδας γένεσιν ἀλλοτρίοις διὰ τὰς
7 σφετέρας οἰκειουμένους ἀρετὰς παγίως ἐναρμόζεσθαι —· μυρία τοίνυν καὶ αὐτόπρεμνα ῥίζαις αὐταῖς ἀνασπάσας κατέβαλε τὰς εἰς εὐκαρπίαν ⟨ἐκ-⟩ φύσεις ἐστειρωμένα καὶ τοῖς φέρουσι μεγάλην ζημίαν ἐκ τοῦ παραπεφυτεῦσθαι πλησίον ἐνεγκόντα. τοιαύτη μέν τίς ἐστιν ἡ περὶ τὰ βλαστάνοντα ἐκ γῆς φυτὰ τέχνη, τὴν δὲ ψυχῆς γεωργικὴν ἐν μέρει πάλιν ἐπισκεψώμεθα.

8 (2.) Πρῶτον μὲν τοίνυν σπείρειν ἢ φυτεύειν ἄγονον οὐδὲν ἐπιτηδεύει, πάντα δ' ἥμερα καὶ καρποτόκα φόρους ἐτησίους οἴσοντα τῷ ἡγεμόνι ἀνθρώπῳ· τοῦτον γὰρ ἄρχοντα ἡ φύσις δένδρων τε καὶ ζῴων τῶν
9 ἄλλων ὅσα θνητὰ ἅπαξ ἁπάντων ἀνέδειξεν. ἄνθρωπος δὲ ὁ ἐν ἑκάστῳ ἡμῶν τίς ἂν εἴη πλὴν ὁ νοῦς, ὃς τὰς ἀπὸ τῶν σπαρέντων καὶ φυτευθέντων ὠφελείας εἴωθε καρποῦσθαι; ἐπεὶ δὲ νηπίοις μέν ἐστι

---

1 εἴρηται coni. Mang. τούτῳ MGUF: τοῦτο AH κἀκείνῳ F ὁ μὲν om. UF 3 οὐδεμίαν] οὐκ UF 4 πόλλ' U ἐθελήσῃ A 5 τι secl. Cohn ὑπὲρ scripsi: περὶ codd. μηδενὸς UFH²: μηδὲν MAGH¹ ἰδόντων UF: εἰδότων ceteri 7 οὕτως UF τὰ] ὡς τὰ F 8 μὲν γὰρ ἄγρια MAG ἐπιμελείᾳ F 9 τομαῖς UFL²: τὰ μὲν MAGHL¹ 10 ἐκστάσεσι G 11 ἐν om. UF βαθείαις τάφροις MAUF: τάφροις βαθείαις GH 12 ἔγκαρπα ἕτερον A κόσμον A 14 τυγχάνον UF, συμβαίνει conicio ἀλλοτρίαν GH², ἀλλοτρίους Mang. 15 σφετέρας] ἐφ' ἑτέρας MA οἰκειουμένους G: οἰκειουμένας MAUF, οἰκειουμένοις H² in ras. 16 τὰς MAUFH: τὰ G 16. 17 ἐκφύσεις scripsi: φύσεις MAUFH, φύσει G 17 ἐστειρωμένας UF φέρουσι ⟨καρποὺς⟩ vel εὐφοροῦσι conicio 18 περὶ] παρὰ G 19 δὲ om. MA ἐμπειρίαν ante ἐν add. UF, mg. L 21 μὲν om. UF ἐπιτηδεύει UF: ἐπιτηδεύειν ceteri 22 καὶ UF: om. ceteri 23 τῶν] καὶ τῶν H post θνητὰ add. καὶ UF

γάλα τροφή, τελείοις δὲ τὰ ἐκ πυρῶν πέμματα, καὶ ψυχῆς γαλακτώδεις μὲν ἂν εἶεν τροφαὶ κατὰ τὴν παιδικὴν ἡλικίαν τὰ τῆς ἐγκυκλίου μουσικῆς προπαιδεύματα, τέλειαι δὲ καὶ ἀνδράσιν ἐμπρεπεῖς αἱ διὰ φρονήσεως καὶ σωφροσύνης καὶ ἁπάσης ἀρετῆς ὑφηγήσεις· ταῦτα γὰρ σπαρέντα καὶ φυτευθέντα ἐν διανοίᾳ καρποὺς ὠφελιμωτάτους οἴσει, καλὰς καὶ ἐπαινετὰς πράξεις. διὰ ταύτης τῆς γεωργικῆς καὶ ὅσα παθῶν ἢ κακιῶν δένδρα ἀναβλαστόντα εἰς ὕψος ἐξήρθη φθοροποιοὺς φέροντα
p. 302 M. καρπούς, ὑποτεμνόμενα καθαίρεται, | ὡς μηδὲ βραχύ τι λείψανον ἐαθῆναι, ἀφ' οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναδραμοῦνται. κἂν εἴ τινα μέντοι δένδρα εἴη μήτ' ὠφελίμων μήτ' αὐ βλαβερῶν καρπῶν οἰστικά, ταῦτα ἐκκόψει μέν, οὐ μὴν ἐάσει γε ἀφανισθῆναι, κατατάξει δ' αὐτὰ εἰς ἐναρμόνιον χρῆσιν ἢ βαλλομένη χάρακας καὶ σταυροὺς ἐν κύκλῳ στρατοπέδου ἢ φραγμὸν πόλεως, ἵνα ἀντὶ τείχους ᾖ. (3.) λέγει γάρ· „πᾶν ὃ οὐ καρπόβρωτόν ἐστιν, ἐκκόψεις καὶ ποιήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιήσει πρὸς σὲ τὸν πόλεμον“ (Deut. 20,20). ταῦτα δ' εἰκάζεται τὰ δένδρα ταῖς περὶ λόγους δυνάμεσι θεωρίαν ψιλὴν ἐχούσαις· ἐν αἷς θετέον ἰατρολογίαν ἀπεζευγμένην ἔργων, δι' ὧν τοὺς κάμνοντας εἰκός ἐστι σῴζεσθαι, καὶ ῥητορικῆς τὸ συνηγορικὸν καὶ ἔμμισθον εἶδος οὐ περὶ τὴν εὕρεσιν τοῦ δικαίου πραγματευόμενον, ἀλλὰ περὶ τὴν δι' ἀπάτης πειθὼ τῶν ἀκουόντων, ἔτι μέντοι καὶ διαλεκτικῆς καὶ γεωμετρίας ὅσα εἰς μὲν ἐπανόρθωσιν ἤθους οὐδὲν συνεργεῖ, παραθήγει δὲ τὸν νοῦν οὐκ ἐῶντα ἀμβλείᾳ χρῆσθαι τῇ πρὸς ἕκαστα τῶν ἀπορουμένων προσβολῇ, τομαῖς δὲ ἀεὶ καὶ διαστολαῖς χρῆσθαι, ὡς τὴν ἑκάστου πράγματος ἰδιότητα κοινῶν διαζευγνύναι ποιοτήτων. τὸν γοῦν κατὰ φιλοσοφίαν λόγον

---

3 ἐμπρεπεῖς MAF: εὐπρεπεῖς GUH 4 ὑφήγησις U 5 ὠφελιμωτάτους UF: om. ceteri καλὰς UF: καλοὺς ceteri 7 ἀναβλαστόντα scripsi: ἀναβλαστοῦντα MAGH, ἀναβλαστάνοντα UF ἐπήρθη F 8 καθαίρει τέως U, καθαίρει ἕως F 10 εἴη scripsi: ἢ MGUFH, om. A καρπῶν om. UF οἰστικά] ὥστ' εἰ κἂν U 11 ἐκκόψωμεν U ἐάση U κατατέξει F 12 ἡ βαλομένη M 13 πόλει F 14 πᾶν—ἐστιν] ξύλον δ γνώση ὅτι οὐ ξύλον βρώσεώς ἐστιν αὐτό UF 15 εἴ τις AH¹ ποιεῖ μετά σου τὸν πόλεμον ἕως καθαιρεθῆναι αὐτήν. ι ταῦτα UF 15. 16 ταῦτα δικάζεται AF 18 ἄμισθον F 19. 20 διὰ πάσης UF 20 ἔτι] ἔστι F 21 παραθήσει MA 22 ἀβλαβεία G, ἀμελεία U τῇ] τῆς U 22. 23 τῇ—χρῆσθαι bis habet F 22 τῶν UFH²: om. MAGH¹ 23 δ' UF ἀεὶ om. A 24 τῶν κοινῶν H διαζεύγνυσθαι UF φιλοσοφίας H¹

24—98,3 DK fol. 195r Φίλωνος ἐκ τοῦ περὶ γεωργίας· τὸν κατὰ φιλοσοφίας λόγον—περιβόλῳ.

τρίδυμον ὄντα τοὺς παλαιοὺς ἀγρῷ φασιν ἀπεικάσαι, τὸ μὲν φυσικὸν αὐτοῦ δένδροις καὶ φυτοῖς παραβάλλοντας, τὸ δ' ἠθικὸν καρποῖς, ὧν
15 ἕνεκα καὶ τὰ φυτά, τὸ δ' αὖ λογικὸν φραγμῷ καὶ περιβόλῳ· καθάπερ γὰρ τὸ περικείμενον τεῖχος ὀπώρας καὶ φυτῶν τῶν κατὰ τὸν ἀγρόν ἐστι φυλακτήριον τοὺς ἐπὶ τῷ σίνεσθαι παρεισφθείρεσθαι βουλομένους ἀνεῖργον, τὸν αὐτὸν τρόπον τὸ λογικὸν μέρος φιλοσοφίας φρουρά τίς ἐστιν
16 ὀχυρωτάτη τῶν δυεῖν ἐκείνων, ἠθικοῦ τε καὶ φυσικοῦ· τὰς γὰρ διπλᾶς καὶ ἀμφιβόλους ὅταν ἐξαπλοῖ λέξεις καὶ τὰς διὰ τῶν σοφισμάτων πιθανότητας ἐπιλύῃ καὶ τὴν εὐπαράγωγον ἀπάτην, μέγιστον ψυχῆς δέλεαρ καὶ ἐπιζήμιον, ἀναιρῇ διὰ λόγων ἐμφαντικωτάτων καὶ ἀποδείξεων ἀνενδοιάστων, ὥσπερ κηρὸν λελειασμένον τὸν νοῦν ἀπεργάζεται ἕτοιμον δέχεσθαι τούς τε φυσιολογίας καὶ τοὺς ἠθοποιίας ἀσινεῖς καὶ πάνυ
17 δοκίμους χαρακτῆρας. (4.) ταῦτ' οὖν ἡ ψυχῆς ἐπαγγελλομένη γεωργικὴ προκηρύττει· τὰ ἀφροσύνης δένδρα καὶ ἀκολασίας ἀδικίας τε καὶ δειλίας πάντ' ἐκκόψω, ἐκτεμῶ καὶ τὰ ἡδονῆς καὶ ἐπιθυμίας ὀργῆς τε καὶ θυμοῦ καὶ τῶν παραπλησίων παθῶν, κἂν ἄχρις οὐρανοῦ μηκύνηται, τὰ φυτά, ἐπικαύσω καὶ τὰς ῥίζας αὐτῶν ἐφιεῖσ' ἄχρι τῶν ὑστάτων τῆς γῆς φλογὸς ῥιπήν, ὡς μηδὲν | μέρος ἀλλὰ μηδ' ἴχνος ἢ σκιὰν ὑπολειφθῆναι p. 303 M.
18 τὸ παράπαν. ἀνελῶ μὲν δὴ ταῦτα, φυτεύσω δὲ ταῖς μὲν ἐν ἡλικίᾳ παιδικῇ ψυχαῖς μοσχεύματα, ὧν ὁ καρπὸς αὐτὰς τιθηνήσεται — ἔστι δὲ ταῦτα ἡ τοῦ γράφειν καὶ ἀναγινώσκειν εὐτρόχως ἐπιτήδευσις, ἡ τῶν παρὰ σοφοῖς ποιηταῖς ἀκριβὴς ἔρευνα, γεωμετρία καὶ ἡ περὶ τοὺς ῥητορικοὺς λόγους μελέτη καὶ ἡ σύμπασα τῆς ἐγκυκλίου παιδείας

---

2 φύλλοις D παραβάλλοντας AUF: παραβάλοντας M, παραβαλόντας GH, παραβαλόντες D 2. 3 ὧν — φυτά om. D 3 δ' αὖ] δὲ D φραγμῶν M 5 ἐπὶ τῷ MGHL¹: ἐπὶ τὸ A, om. UFL² σίνεσθαι AU: σίνεσθαι καὶ FL², γίνεσθαι M, γενέσθαι GHL¹ παρεισφέρεσθαι A 6 μέρος] γένος UF φιλοσοφία A 7 δυοῖν A 8 ἀναμφιβόλους U τὰς om. F 9 ἐπιλύει F 10 ἀναιρεῖ GUFH¹ ἐμφατικωτάτων M 11 γὰρ post ὥσπερ add. A λελειωμένον UF 12 δέχεσθαι UFH: δὲ χρῆσαι MG, δὲ χρῆσθαι A τοὺς post καὶ om. UF καὶ UF: καθὰ καὶ ceteri, κάρτα καὶ Turn. 13 ταῦτ' οὖν] ταυτὸν MA ἡ] ἢ MH¹ ἐπαγγελλομένης MH γεωρκικὴν H² 15 καὶ post ἐκκόψω add. G ἐκτέμω MU 16 μηκύνηται scripsi: μηκύνῃ codd. 17 ἐφιεῖς codd. ἐφιεῖσα v βαθυτάτων coni. Mang. 18 ῥιπῇ UF 19 ἀνέλωμεν U 21 εὐτρόχως UF: ἐπιοχως M, εὐστόχως GH, om. A 22 γεωμετρία UF: γεωμετρίας ceteri; ἡ γεωμετρία coni. Cohn 23 συμπάσης UF παιδείας] φιλοσοφίας UF 23. 99,1 παιδεία μουσικῆς coni. Cohn

---

1 cf. Zeller, Hist. philos. gr. III 1 p. 62.

μουσική —, ταῖς δὲ νεανιευομέναις καὶ ἀνδρουμέναις ἤδη τὰ ἀμείνω καὶ τελεώτερα, τὸ φρονήσεως φυτόν, τὸ ἀνδρείας, τὸ σωφροσύνης, τὸ δικαιοσύνης, τὸ ἀρετῆς ἁπάσης. ἂν μέντοι τι καὶ τῶν τῆς ἀγρίας 19 λεγομένης ὕλης ἐδώδιμον μὲν μὴ φέρῃ καρπόν, δύνηται δὲ ἐδωδίμου φραγμὸς εἶναι καὶ φυλακτήριον, καὶ τοῦτο ταμιεύσομαι, οὐ δι' ἑαυτό, ἀλλ' ὅτι ὑπηρετεῖν ἀναγκαίῳ καὶ χρησίμῳ οφόδρα πέφυκε. (5.) διὰ 20 τοῦτο ὁ πάνσοφος Μωυσῆς τῷ μὲν δικαίῳ τὴν τῆς ψυχῆς γεωργικὴν ὡς ἐναρμόνιον καὶ ἐπιβάλλουσαν τέχνην ἀνατίθησι λέγων „ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός", τῷ δὲ ἀδίκῳ τὴν ἄνευ ἐπιστήμης φέρουσαν ἄχθη βαρύτατα γῆς ἐργασίαν· „Κάιν" γάρ φησιν „ἦν ἐργαζόμενος τὴν 21 γῆν" (Gen. 4,2), καὶ μικρὸν ὕστερον, ἡνίκα τὸ ἐπὶ τῇ ἀδελφοκτονίᾳ ἄγος ἐργασάμενος καταφωρᾶται, λέγεται· „ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἡ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου, ᾗ ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι" (Gen. 4,11.12). πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδεῖξαι δύναιτο, 22 ὅτι γῆς ἐργάτην ἀλλ' οὐ γεωργὸν ὁ νομοθέτης νομίζει τὸν φαῦλον, ἢ τὸν τρόπον τοῦτον; οὐ μὴν ὑποληπτέον ἢ περὶ ἀνθρώπου χερσὶ καὶ ποσὶ καὶ τῇ ἄλλῃ δυνάμει τοῦ σώματος ἐνεργεῖν ἱκανοῦ ἢ περὶ γῆς ὀρεινῆς καὶ πεδιάδος εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῶν καθ' ἕκαστον ἡμῶν δυνάμεων· τὴν γὰρ τοῦ φαύλου ψυχὴν περὶ οὐδὲν ἄλλο πραγματεύεσθαι συμβέβηκεν ἢ τὸ γήινον σῶμα καὶ τὰς τοῦ σώματος ἁπάσας ἡδονάς. ὁ γοῦν πολὺς ὅμιλος ἀνθρώπων τὰ γῆς ἐπιὼν κλίματα 23 καὶ ἄχρι τῶν περάτων φθάνων αὐτῆς καὶ τὰ πελάγη περαιούμενος καὶ τὰ ἐν μυχοῖς θαλάττης ἀναζητῶν καὶ μηδὲν μέρος ἐῶν τοῦ παντὸς ἀδιερεύνητον ἀεὶ καὶ πανταχοῦ πορίζει ταῦτα, δι' ὧν ἡδονὴν συναυξήσει· καθάπερ γὰρ οἱ ἁλιευόμενοι δίκτυα καθιᾶσιν ἔστιν ὅτε μήκιστα πολλὴν 24 ἐν κύκλῳ περιβαλλόμενοι θάλατταν, ἵν' ὡς πλείστους ἐντὸς ληφθέντας

---

1 εὐανδρουμέναις A 2 ἀνδρίας AG 2. 3 τὸ σωφροσύνης — ἁπάσης om. G 2 tertium τὸ] καὶ UF 3 τι om. AU 3. 4 τῶν τῆς ἀγρίας λεγομένης UF: τῆς λεγομένης ἀγρίας ceteri ἀγρίας ὕλης Mang. (cf. De opif. § 40): ἀγριαζούσης A, ἀγρίας μούσης ceteri 4 μὲν μὴ UF: μὲν οὐ GH², δὴ MA(H¹?) φέρει A δύναται A 5 αὐτὸ coni. Cohn 6 ἀναγκαῖον καὶ χρήσιμον F 7 Μωυσῆς UF: om. ceteri 9 τὴν GH²: om. MAUFH¹ φέρουσαν UH: ἐπιφέρουσαν MAGF 10 εἰργασμένος F 12 καταφορᾶται A¹U 13 αὐτῆς v 14 ᾗ ἐργᾷ MGHL¹: ᾗ ἐργᾶ A, εἰργάσῃ U, ᾗ ἐργάοη FL² αὐτῆς Turn. 17 μὴν] μὴ L ἀπολητπέον M(H¹), ἀπολειπτέον A 17. 18 χερσὶ καὶ ποσὶ UF: χερσὶν ἢ ποσὶ ceteri 18 τοῦ σώματος ἐνεργεῖν UF: ἐνεργεῖν τοῦ σώματος ceteri γῆς F: τῆς ceteri 20 οὐδενὸς ἄλλου A 22 ras. 2 litt. ante ἀνθρώπων H (τῶν H¹?) 23 μέχρι coni. Jessen 25 ταῦτα om. UF

ἀρκύων οἷα τειχήρεις γεγονότας ἰχθύας συλλάβωσι, τὸν αὐτὸν τρόπον ἡ πλείστη μοῖρα ἀνθρώπων οὐκ ἐπὶ μέρος θαλάττης μόνον, | ἀλλ' ἐφ' p. 304 M.
ἅπασαν τὴν ὕδατος καὶ γῆς καὶ ἀέρος φύσιν τὰ πάναγρα, ὡς οἱ ποιηταί
πού φασι, λίνα τείνασ' ἅπαντα πανταχόθεν δι' ἡδονῆς ἀπόλαυσίν τε καὶ
25 χρῆσιν ἀγκιστρεύεται· καὶ γὰρ γῆν μεταλλεύουσι καὶ τὰ πελάγη διαβαίνουσι 5
καὶ τἆλλα πάντα ὅσα εἰρήνης καὶ πολέμου ἔργα δρῶσιν, ὕλας ἀφθόνους
ὡς βασιλίδι ἡδονῇ πορίζοντες, οἱ γεωργίας μὲν ἀμύητοι ψυχικῆς, ἣ
σπείρουσα καὶ φυτεύουσα τὰς ἀρετὰς καρπὸν δρέπεται τὸν εὐδαίμονα
βίον ἀπ' αὐτῶν, ἐργασάμενοι δὲ καὶ μεθοδεύοντες τὰ φίλα τῇ σαρκὶ
καὶ τὸν σύνθετον χοῦν, τὸν πεπλασμένον ἀνδριάντα, τὸν ψυχῆς ἔγγιστα 10
οἶκον, ὃν ἀπὸ γενέσεως ἄχρι τελευτῆς, ἄχθος τοσοῦτον, οὐκ ἀποτίθεται
νεκροφοροῦσα, μετὰ σπουδῆς τῆς πάσης οἰκειούμενοι.
26 (6.) Ὡς μὲν οὖν γεωργίας ἐργασία γῆς καὶ γεωργοῦ γῆς ἐργάτης
διαφέρουσιν, εἴρηται. σκεπτέον δέ, μὴ καὶ ἄλλαι τινές εἰσιν ἰδέαι συγγενεῖς
τῶν εἰρημένων, διὰ τὴν ἐν τοῖς ὀνόμασι κοινωνίαν ἐπικρύπτουσαι τὰς ἐν 15
τοῖς πράγμασι διαφοράς· εἰσὶ δέ γε ἃς ἀναζητοῦντες εὕρομεν διτταί, περὶ
27 ὧν τὰ προσήκοντα, ἐὰν οἷόν τε ᾖ, λέξομεν. αὐτίκα τοίνυν ὡς γεωργὸν
καὶ γῆς ἐργάτην δόξαντας ἀδιαφορεῖν ἀλλήλων εὕρομεν ἐν τοῖς κατὰ
διάνοιαν ἀλληγοροῦντες μακρῷ διεστηκότας, οὕτως ποιμένα καὶ κτηνο-
τρόφον· μέμνηται γὰρ ποτὲ μὲν κτηνοτροφίας ποτὲ δ' αὖ ποιμενικῆς ὁ 20
28 νομοθέτης. καὶ οἵ γε μὴ λίαν ἠκριβωμένοι τάχα που τῆς αὐτῆς
ἐπιτηδεύσεως συνωνυμούσας ὑπολήψονται προσρήσεις εἶναι, εἰσὶ δέ γε
29 πραγμάτων διαφερόντων ἐν ταῖς δι' ὑπονοιῶν ἀποδόσεσι· καὶ γὰρ εἰ
τοῖς θρεμμάτων προεστηκόσιν ἀμφότερα ἐπιφημίζειν ἔθος κτηνοτρόφων
καὶ ποιμένων ὀνόματα, ἀλλ' οὔ γε τῷ τὴν ψυχῆς ἀγέλην ἐπιτετραμμένῳ 25

---

1 γεγονότας GUFH: γεννῶντας MA ἰχθύας UF: ἰχθῦς ceteri λάβωσι UF
2 μέρους UF μόνον UF: om. ceteri 3 καὶ post γῆς om. M
4 φησι G τείνας ἅπαντα MAH^2, τείνας ἅπαν U, τείνασα πάντα G, τείνας FH^1
5 διαβαίνουσι GUH^2: διαβάλλουσι MAFH^1 τὰ ἄλλα MUFH 7 ἡδονὴν U
8 φυτεύσασα F 9 ἐργαζόμενοι v 10 ἔχθιστον olim coniciebam
11 ὄγκον Mang. ἀποτίθεναι A^2 12 ἐκροφοροῦσα A, οὖντες s. s. A^2
12. 13 σπουδῆς—γῆς om. G 12 τῆς om. UF 13 καὶ γεωργούσης ἐργάτης
AF 14 ἄλλαις U 16 γε om. A εὕρομεν GH: εὕρωμεν MA, εὑρήσο-
μεν UF διττὰς U 17 ἐὰν] ὡς ἂν A λέξωμεν M 18 διαφορεῖν A
εὕρωμεν AF 18. 19 ἐν τοῖς καθ' ὑπονοιῶν Mang. (immo καθ' ὑπόνοιαν)
19 μακρὰν UF οὕτως MAGH: οὕτω ὡς UF 21 οἵ γε] εἴ γε A, οἱ F
ἀπηκριβωμένοι F συνωνύμους UF 24 ἐπιφημίζει A 25 οὔ H: οὖν
ceteri ψυχὴν AH 25. 26 ἀγέλην—φαῦλος om. U 25 ἀγέλην F:
ἀτελῆ ML^2, ἀτελεῖ AGHL^1

λογισμῷ· φαῦλος μὲν γὰρ ὢν ὁ ἀγελάρχης οὗτος καλεῖται κτηνοτρόφος,
ἀγαθὸς δὲ καὶ σπουδαῖος ὀνομάζεται ποιμήν. ὃν δὲ τρόπον, ἐπιδείξομεν
αὐτίκα· (7.) ἡ φύσις ἡμῶν ἑκάστῳ κτήνη συγγεγέννηκε, τῆς ψυχῆς 30
ὥσπερ ἀπὸ μιᾶς ῥίζης ἔρνη διττὰ ἀναβλαστούσης, ὧν τὸ μὲν ἄτμητον
ὅλον δι' ὅλων ἐαθὲν ἐπεφημίσθη νοῦς, τὸ δ' ἑξαχῇ σχισθὲν εἰς ἑπτὰ
φύσεις πέντε τῶν αἰσθήσεων καὶ δυεῖν ἄλλων ὀργάνων, φωνητηρίου τε
καὶ γονίμου. αὕτη δὲ πᾶσα ἡ πληθὺς ἄλογος οὖσα κτήνεσιν ἀπεικάζεται, 31
πληθύι δὲ νόμῳ φύσεως ἡγεμόνος ἐξ ἀνάγκης δεῖ. ἐπειδὰν μὲν οὖν
p. 305 M. ἄπειρος ἀρχῆς ἅμα καὶ | πλούσιος ἐξαναστὰς ἄρχοντα ἑαυτὸν ἀποφήνῃ,
μυρίων αἴτιος κακῶν γίνεται τοῖς θρέμμασιν· αὐτὸς μὲν γὰρ ἄφθονα 32
παρέχει τὰ ἐπιτήδεια, τὰ δὲ ἀμέτρως ἐμφορούμενα ὑπὸ πλεοναζούσης
τροφῆς ἐξυβρίζει — κόρου γὰρ ὕβρις ἔγγονον γνήσιον —, ἐξυβρίζοντα μέντοι
σκιρτᾷ καὶ ἀφηνιάζει καὶ κατὰ μέρος σκιδνάμενα διαλύει τὸ τῆς ἀγέλης
συντεταγμένον στῖφος. ὁ δὲ τέως ἡγεμὼν καταλειφθεὶς ὑπὸ τῶν 33
ἀρχομένων ἰδιώτης ἀνεφάνη, καὶ ἐπιτρέχει μὲν σπουδάζων, εἴ τι
δύναιτο συλλαβεῖν ἐξ ὑπαρχῆς καὶ ὑπαγαγέσθαι· ὅταν δὲ ἀδυνατῇ,
στένει καὶ κλαίει τὴν ἰδίαν κακίζων εὐχέρειαν καὶ ἑαυτὸν τῶν συμβε-
βηκότων αἰτιώμενος. τοῦτον δὴ τὸν τρόπον καὶ τὰ τῶν αἰσθήσεων 34
θρέμματα, ἐπειδὰν ὁ νοῦς ὑπτίως καὶ ῥᾳθύμως ἔχῃ, τῆς τῶν αἰσθητῶν
ἁπλήστως ἐμφορούμενα ἀφθονίας ἀπαυχενίζει τε καὶ σκιρτᾷ καὶ
πλημμελῶς ὅπῃ τύχοι φέρεται, καὶ ὀφθαλμοὶ πρὸς πάντα ἀναπεπτα-
μένοι τὰ ὁρατά, καὶ ἃ μὴ θέμις ὁρᾶν, ἐξώκειλαν, καὶ ἀκοαὶ πάσας
φωνὰς παραδεχόμεναι καὶ μηδέποτε πληρούμεναι, διψῶσαι δὲ ἀεὶ περιερ-
γίας καὶ φιλοπραγμοσύνης, ἔστι δὲ ὅπου καὶ ἀνελευθέρου χλεύης
ἐκπεφοιτήκασιν. (8.) ἐπεὶ πόθεν ἄλλοθεν τὰ πανταχοῦ τῆς οἰκουμένης 35

---

1 λογισμός M 2 ἐπιδείξομεν GUFH: ἐπιδείξωμεν MA 2. 3 αὐτίκα ἐπιδείξομεν UF 3 κτήνει UF συγγεγένηται F τῇ ψυχῇ UF 4 ὧν] ὡς UF 5 ἐπευφημίσθη νοῦς A δ' ⟨ἄλογον⟩ conicio ἑξαχῇ Mang.: ἐξ ἀρχῆς codd. εἰς GH²: om. ceteri 6 φύσις GFH post φύσεις add. ἔσχεν U δυοῖν v 7 αὐτὴ AU δὲ] τε MAF ἄλογος om. UF κτήνεσιν UF: κτήνει ceteri 8 πληθύι MF: πληθύει A, πληθὺς U, πλήθουσα GH δεῖ scripsi: αἰεὶ M, ἀεὶ U, δέεται G, ἐπιδέεται H, om. AF 9 ἑξαναστὰς MAGH: προεξαναστὰς UF 12 ἔγγονον conicio 14 τέως] γε ὡς UF 15 περιτρέχει conicio τι om. UF 16 ἀδυνατῆς U 19 ἔχει A 20 ἀπαυχενίζεται καὶ AF 20. 21 καὶ πλημμελῶς — ὀφθαλμοὶ UF: om. ceteri 21 τύχοι U: τύχη F 21. 22 ἀναπεπταμένοι GUF: ἀναπεπταμένα MAH 22 ἐξώκειλαν scripsi: ἐξωκείλοντα G, ἐξωκείλουσι MF, ἐξοκείλουσι AUH (supra scr. ut vid. ντα H) 23. 24 περὶ ἀργίας A 24 καὶ ἐλευθέρου A

θέατρα νομίζομεν ἀμυθήτων μυριάδων ἀνὰ πᾶσαν ἡμέραν πληροῦσθαι; οἱ γὰρ ἀκουσμάτων καὶ θεαμάτων ἥττους καὶ ὦτα καὶ ὀφθαλμοὺς χωρὶς ἡνιῶν ἐάσαντες φέρεσθαι καὶ κιθαριστὰς καὶ κιθαρῳδοὺς καὶ πᾶσαν τὴν κεκλασμένην καὶ ἄνανδρον μουσικὴν περιέποντες, ἔτι δὲ ὀρχηστὰς καὶ τοὺς ἄλλους μίμους ἀποδεχόμενοι, ὅτι σχέσεις καὶ κινήσεις ἐκτεθηλυμμένας ἴσχονται καὶ κινοῦνται, τὸν ἐπὶ σκηνῆς ἀεὶ πόλεμον συγκροτοῦσι μήτε τῆς τῶν ἰδίων μήτε τῆς τῶν κοινῶν ἐπανορθώσεως πεφροντικότες, ἀλλὰ τὸν ἑαυτῶν οἱ δυστυχεῖς διά τε ὀφθαλμῶν καὶ ὤτων ἀνατρέποντες βίον.

36 ἄλλοι δέ εἰσιν οἱ τούτων ἀθλιώτεροι καὶ κακοδαιμονέστεροι, οἳ τὴν γεῦσιν ὥσπερ ἐκ δεσμῶν ἔλυσαν· ἡ δὲ πρὸς πᾶσαν σιτίων τε καὶ ποτῶν ⟨ἀπόλαυσιν⟩ ἄφετος εὐθὺς ὁρμήσασα τά τε ἤδη εὐτρεπισθέντα ἐπιλέγεται καὶ πεῖναν ἄληκτον καὶ ἄπληστον ἴσχει τῶν ἀπόντων, ὡς, κἂν αἱ τῆς γαστρὸς ἀποπληρωθῶσι δεξαμεναί, σπαργῶσαν ἔτι καὶ μαιμῶσαν τὴν ἀεὶ κενὴν ἐπιθυμίαν περιβλέπεσθαι καὶ περιφοιτᾶν, μή τί που παροραθὲν λείψανον ἀφεῖται, ἵνα καὶ τοῦτο παμφάγου πυρὸς δίκην

37 ἐπιλιχμήσηται. γαστριμαργίᾳ τοίνυν ἡ ὀπαδὸς ἐκ φύσεως ἀκολουθεῖ συνουσίας ἡδονὴ μανίαν ἔκτοπον καὶ οἶστρον ἀνεπίσχετον καὶ λύτταν ἀργαλεωτάτην ἐπιφέρουσα· ὅταν γὰρ ὑπὸ ὀψοφαγίας καὶ ἀκράτου καὶ πολλῆς | μέθης ἄνθρωποι πιεσθῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν δύνανται, p. 306 M.
πρὸς δὲ τὰς ἐρωτικὰς μίξεις ἐπειγόμενοι κωμάζουσι καὶ θυραυλοῦσι, μέχρις ἂν τὸν πολὺν τοῦ πάθους ἀποχετευσάμενοι βρασμὸν ἠρεμῆσαι

38 δυνηθῶσιν. οὗ χάριν καὶ ἡ φύσις ὡς ἔοικεν ὑπογάστρια τὰ συνουσίας ὄργανα ἐδημιούργησε, προλαβοῦσα ὅτι λιμῷ μὲν οὐ χαίρει, πλησμονῇ δὲ

39 ἕπεται καὶ πρὸς τὰς ἰδίας ἐνεργείας ὑπανίσταται. (9.) τοὺς οὖν τοῖς

---

1 νομιζόμενα UF 3 φέρεσθαι UF: αἴρεσθαι ceteri 4 δὲ] τὲ UF 5 ἐκτεθηλυμμένας AG: ἐκτεθηλυμένας ceteri 6 κοινοῦνται F πόλεμον ἀεὶ UF συγκροτοῦντες UFL² 7 prius τῆς om. UF 8 ἑαυτὸν A οἷα δυστυχεῖς UF ἀναστρέφοντες A 9 δ' UF εἰσὶ τούτων H² 10 ἡ δὲ GFH²: ἤδη δὲ MAU(H¹) πᾶσαν MAUH¹: πᾶν GFH² 10. 11 σιτίων et ποτῶν MAUH¹: σιτίον et ποτὸν GFH² 11 ἀπόλαυσιν addidi ἀφέτως AU ὁρμήσασαν A² τά τε UF: τὰ ceteri 12 ἄληπτον A 13 αἱ H²: δίχα MAG, αἱ διὰ UFH¹ μαργῶσαν L² 14 μαιμῶσαν] μεμηνυῖαν UF καινὴν A 15 που] τοῦ UF παροραθέντος F ἀφεῖται UF: ἄφετον ceteri ἵνα UF: εἶναι ceteri 16 ἐπιλιχμήσηται scripsi: ἐπιλικμήσηται UFL², ἐπιλιχνήσηται MAG(H¹), ἐπιλιχνεύσηται H²L¹ ἢ MA 19 πλησθῶσιν UF 20 ἐπεγειρόμενοι Mang. καὶ om. UF 22 ὡς om. GUFH τὰ] τὰς F 23 δημιουργῆσαι UF προλαβοῦσα AUF: προβαλοῦσα M, προβάλλουσα GH, προσλαβοῦσα L², προσβάλλουσα L¹ λιμῷ μὲν οὐ χαίρει UF: om. ceteri 23. 24 χαίρει, πλησμονῇ δὲ ἕπειτα καὶ coni. Mang. 24 ἕπεται] τέρπεται conicio ἐνεργείας] χρείας UF

θρέμμασι τούτοις ἐπιτρέποντας ἀθρόων ὧν ὀρέγονται πάντων ἐμφορεῖσθαι κτηνοτρόφους λεκτέον, ποιμένας δ' ἔμπαλιν ὅσοι τά τε ἀναγκαῖα καὶ αὐτὰ μόνα τὰ ἐπιτήδεια παρέχουσι περιτεμνόμενοι καὶ ἀποκόπτοντες τὴν περιττὴν καὶ ἀλυσιτελῆ πᾶσαν ἀφθονίαν, ἥτις ἀπορίας καὶ ἐνδείας οὐχ ἥκιστα βλάπτει, πρόνοιάν τε πολλὴν ἔχουσι τοῦ μὴ ἐξ ἀμελείας καὶ ῥᾳθυμίας νοσῆσαι τὴν ἀγέλην εὐχόμενοι μηδὲ τὰς ἔξωθεν εἰωθυίας κατασκήπτειν νόσους ἐπιγενέσθαι. στοχάζονται δὲ οὐδὲν ἧττον καὶ τοῦ μὴ διασπασθεῖσαν αὐτὴν σποράδην διασκεδασθῆναι, φόβον ἐπανατεινόμενοι τὸν σωφρονιστὴν τῶν λόγῳ μηδέποτε πειθομένων καὶ κολάσει χρώμενοι συνεχεῖ, μετρίᾳ μὲν κατὰ τῶν ἰάσιμα νεωτεριζόντων, ἀφορήτῳ δὲ κατὰ τῶν ἀνίατα· τὸ γὰρ εἶναι δοκοῦν ἀπευκτὸν μέγιστον ἀγαθὸν ἀφραίνουσιν, ἡ κόλασις, ὥσπερ τοῖς τὰ σώματα κάμνουσιν αἱ ἰατρικαὶ ὕλαι. (10.) ταῦτα τὰ ἐπιτηδεύματα ποιμένων ἐστίν, οἳ τῶν σὺν ἡδονῇ βλαβερῶν τὰ μετὰ ἀηδίας προτιμῶσιν ὠφέλιμα. οὕτως γοῦν σεμνὸν καὶ λυσιτελὲς νενόμισται τὸ ποιμαίνειν, ὥστε τὸ μὲν ποιητικὸν γένος τοὺς βασιλέας ποιμένας λαῶν εἴωθε καλεῖν, ὁ δὲ νομοθέτης τοὺς σοφούς, οἳ μόνοι πρὸς ἀλήθειαν βασιλεῖς εἰσιν· ἄρχοντας γὰρ αὐτοὺς ὡς ἂν ποίμνης εἰσάγει τῆς ἀνθρώπων ἁπάντων ἀλόγου φορᾶς. διὰ τοῦτο καὶ τῷ τελειωθέντι ἐξ ἀσκήσεως Ἰακὼβ τὴν ποιμενικὴν ἐπιστήμην περιῆψε· ποιμαίνει γὰρ οὗτος τὰ πρόβατα Λάβαν (Gen. 30,36), τῆς τοῦ ἄφρονος ψυχῆς τὰ αἰσθητὰ μόνα καὶ φαινόμενα νομιζούσης ἀγαθά, χρώμασι καὶ σκιαῖς ἡπατημένης καὶ δεδουλωμένης· λευκασμὸς γὰρ ἑρμηνεύεται Λάβαν. καὶ Μωυσεῖ τῷ πανσόφῳ τὴν αὐτὴν τέχνην ἀνατίθησι· καὶ γὰρ οὗτος ποιμὴν ἀποδείκνυται διανοίας τῦφον πρὸ ἀληθείας ἀσπαζομένης καὶ πρὸ τοῦ εἶναι τὸ δοκεῖν
p. 307 M. | ἀποδεχομένης· περισσὸς γὰρ Ἰοθὸρ ἑρμηνεύεται, περιττὸν δὲ καὶ ἐπεισ-
26 ηγμένον ἁπλανεῖ βίῳ πρὸς ἀπάτην τῦφος, ᾧ καὶ τὰ κατὰ πόλεις ἕτερα

---

1 ἀθρόων U: ἀθρόον ceteri 2 δὲ M τε om. UF 3 μόνα om. H, μόνα τὰ om. L^1 τἀπιτήδεια F 4 ἀγησιτελῆ U ἥτις MGUF: ἢ τῆς A, ἥπερ H 5 ἧττον coni. Mang. ἔχουσιν ὑπὲρ τοῦ UF 8 σκεδασθῆναι UF 9 τὸν] τοῦ U λόγων UFH^1 χρώμενοι GH^2L^1: χρωμένων ceteri 10 μέτρια MAUF ἀφόρητα AUF 10. 11 δὲ κακὰ κατ' αὐτῶν ἀνίατα A 11. 12 ἡ κόλασις ἀφραίνουσιν A 12 αἱ κολάσεις UFL^2 14 μετὰ ἀηδίας UFL^2: μεγάλα ἴδια MAHL^1, μὴ μεγάλα ἥδια G προτιμῶσιν Mang.: περιποιοῦσιν UFL^2, περιποιήσειεν MGH^1, περιποιήσειν A, περιποιήσειαν H^2L^1 οὕτως οὖν UF 15 τοὺς om. UF 20 τῆς post ψυχῆς add. mg. H 21 μόνον UF χρήμασι UF σκιᾶς U, σχήμασι coni. Mang. 22 Λάβαν. Μωσεῖ γὰρ L Μωυσεῖ U: Μωυσῆ F, Μωσεῖ MGH, Μωσῆ A 23 ἀνατίθησι UF: ἀναδίδωσι MAH^1, μεταδίδωσι GH^2 24 πρὸ ἀληθείας GH^2: πρὸς ἀλήθειαν MAUFH^1 δοκεῖν] ἀδικεῖν U 25 Ἰοθὼρ U, ὁ Ἰοθὸρ GH δὲ] γὰρ UF 26 ἁπλανῆ βίον A

παρ' ἑτέροις, οὐ τὰ αὐτὰ δίκαια παρὰ πᾶσιν, ἔθος εἰσηγεῖσθαι τὰ κοινὰ τῆς φύσεως καὶ ἀκίνητα νόμιμα οὐδ' ὄναρ ἰδόντι· λέγεται γὰρ ὅτι „Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὸρ τοῦ ἱερέως Μαδιάμ (Exod.
44 3,1). ὁ δ' αὐτὸς οὗτος εὔχεται, μὴ ὡς ἀνεπιτρόπευτον ποίμνην τὸν ὄχλον καὶ λεὼν ἅπαντα τῆς ψυχῆς ἀφεθῆναι, τυχεῖν δὲ ἀγαθοῦ ποιμένος ἐξάγοντος μὲν ἀπὸ τῶν ἀφροσύνης καὶ ἀδικίας καὶ πάσης κακίας δικτύων, εἰσάγοντος δὲ εἰς τὰ παιδείας καὶ τῆς ἄλλης ἀρετῆς δόγματα· „ἐπισκεψάσθω" γάρ φησι „κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης"· εἶτα ὀλίγα προσειπὼν ἐπιφέρει· „καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα, οἷς οὐκ ἔστι ποιμήν"
45 (Num. 27,16.17). (11.) ἀλλ' οὐκ ἄξιον εὔχεσθαι μὴ χωρὶς ἐπιστάτου καὶ ἡγεμόνος ἐαθῆναι τὸ συγγενὲς καὶ συμφυὲς ἡμῶν ἑκάστῳ ποίμνιον, ὡς μὴ τῆς φαυλοτάτης τῶν κακοπολιτειῶν ὀχλοκρατίας, ἣ παράκομμα τῆς ἀρίστης δημοκρατίας ἐστίν, ἀναπλησθέντες θορύβοις καὶ ταραχαῖς
46 καὶ ἐμφυλίοις στάσεσιν ἀεὶ χρώμενοι διατελῶμεν; οὐ μὴν ἀναρχία μόνον ὀχλοκρατίαν τίκτουσα δεινόν, ἀλλ' ἡ καὶ παρανόμου καὶ βιαίου τινὸς ἐφ' ἡγεμονίαν ἐπανάστασις· τύραννος γὰρ ἐκ φύσεως ἐχθρός, πόλεων μὲν ἄνθρωπος, σώματος δὲ καὶ ψυχῆς καὶ τῶν καθ' ἑκάτερον πραγμάτων ὁ
47 τὴν ἀκρόπολιν ἐπιτετειχικὼς ἑκάστῳ θηριωδέστατος νοῦς. ἀλυσιτελεῖς δὲ οὐχ αὗται μόνον αἱ δεσποτεῖαι, ἀλλὰ καὶ τῶν λίαν ἐπιεικῶν ἀρχαί τε καὶ προστασίαι· χρηστότης γὰρ πρᾶγμα εὐκαταφρόνητον καὶ ἑκατέροις, ἄρχουσί τε καὶ ὑπηκόοις, βλαβερόν, τοῖς μὲν ἐκ τῆς τῶν ὑποτεταγμένων

---

1 παρ' om. UF οὐ UF: οὔ ceteri αὐτὰ Mang.: δυνατὰ codd. δίκαιος U 2 καὶ om. UF ὅτι] ὅτι καὶ A 3 Μωυσῆς UF: Μωσῆς ceteri Ἰοθὸρ U 4—7 μὴ — δόγματα mg. H 4 ἀνεπιτρόπευτον UF: ἂν ἐπιπρέπει τὴν M, ἂν ἐπιπρέπει τὴν G, ἂν ἐπιτρέποι τὴν A, ἂν ἐπιτρέπει τὴν H, ἂν ἐπιτρέπειν τὴν L 4. 5 τὸν ὄχλον om. A 5 καὶ λεὼν scripsi (καὶ λαὸν Mang.): κλαίων M, κλ ων (sic) G, κλοιὸν A, κελεύων UF, καλῶν H δὲ] δὲ τοῦ F 6 ἐξαγαγόντος F καὶ πάσης] δικτύω G 7 εἰσαγαγόντος UF δὲ εἰς τὰς M, δ' εἰς τὰς F, δεῖ τὰς U 8 γάρ φησι] λέγων H τῶν πατέρων τῆς πάσης F 9 ἄνθρωπον UFH: ἀνθρώπων MAG 10 ἔσται] ἄρα F ὡσεὶ πρόβατα] εἰς ποίμνιον U, ὡς ποίμνιον F ἔστιν αὐτοῖς ποιμήν UF 11 ἀλλ'] ἀφ' conicio οὐκ UFHL²: οὐν MAGL¹ ἄξιος U 12 συμφυὲς UF: εὐφυὲς ceteri 13 φαυλότητος τῆς τῶν F κακοπολιτῶν UFH ὀχλοκρατίας FL²: ὀχλοκρασίας ceteri 14 δημοκρασίας A 16 ὀχλοκρατίαν FH: ὀχλοκρασίαν ceteri (etiam L) δεινὸν τίκτουσα U ἀλλὰ καὶ ἡ A παρανόμου τινὸς καὶ βιαίου A 17 τύραννος — ἐχθρός om. UF post πόλεων add. ἢ M, εἰ A 18 ἕτερον MA ὁ UF: ante θηριωδέστατος pos. ceteri 19 ἀκρόπολον] ἐλέπολιν coni. Mang. δ' UF 20 ἑαυταὶ U, αἱ αὐταὶ F αἱ UF: om. ceteri καὶ corr. in καὶ αἱ H, post καὶ add. ἑτέρων αἱ F 20. 21 τε καὶ] τε U 21 χρηστότητος F

εἰς αὐτοὺς ὀλιγωρίας μηδὲν μήτε ἴδιον μήτε κοινὸν ἐπανορθώσασθαι δυναμένοις, ἔστι δ' ὅτε καὶ τὰς ἡγεμονίας ἀναγκαζομένοις ἀποτίθεσθαι, τοῖς δὲ ἐκ συνεχοῦς τῆς πρὸς τοὺς ἄρχοντας ὀλιγωρίας πειθοῦς ἠμεληκόσι καὶ ἀδεῶς ἐπὶ μεγάλου κακοῦ κτήσει περιποιησαμένοις αὐθάδειαν. τούτους μὲν ⟨οὖν⟩ θρεμμάτων, ἐκείνους δὲ κτηνοτρόφων οὐδὲν νομιστέον 48 διαφέρειν· οἱ μὲν γὰρ τρυφᾶν ἐν ἀφθόνοις ὕλαις ἀναπείθουσιν, οἱ δὲ τὸν κόρον ἀδυνατοῦντες φέρειν ἐξυβρίζουσι. χρὴ δὲ ὥσπερ αἰπόλον ἢ βουκόλον
p. 308 M. ἢ ποιμένα ἢ κοινῶς νομέα τὸν ἡμέτερον ἄρχειν νοῦν τὸ | συμφέρον πρὸ τοῦ ἡδέος ἑαυτῷ τε καὶ τοῖς θρέμμασιν αἱρούμενον. (12.) ἡ δὲ τοῦ 49 θεοῦ ἐπίσκεψις πρῶτον σχεδὸν καὶ μόνον αἴτιον τοῦ τὰ μέρη τῆς ψυχῆς μὴ ἀνεπιτρόπευτα ἀφεθῆναι, τυχεῖν δὲ ἀνυπαιτίου καὶ πάντα ἀγαθοῦ ποιμένος· οὗ κατασταθέντος ἀμήχανον τὴν σύνοδον τῆς διανοίας γενέσθαι σποράδα. ὑπὸ γὰρ μίαν καὶ τὴν αὐτὴν σύνταξιν ἐξ ἀνάγκης φανεῖται πρὸς τὴν ἑνὸς ἐπιστασίαν ἀφορῶσα, ἐπεὶ τό γε πολλαῖς ὑπακούειν ἀρχαῖς ἀναγκάζεσθαι βαρύτατον ἄχθος. οὕτως μέντοι τὸ ποιμαίνειν ἐστὶν 50 ἀγαθόν, ὥστε οὐ βασιλεῦσι μόνον καὶ σοφοῖς ἀνδράσι καὶ ψυχαῖς τέλεια κεκαθαρμέναις ἀλλὰ καὶ θεῷ τῷ πανηγεμόνι δικαίως ἀνατίθεται. τούτου δὲ ἐγγυητὴς οὐχ ὁ τυχὼν ἀλλὰ προφήτης ἐστίν, ᾧ καλὸν πιστεύειν, ὁ τὰς ὑμνῳδίας ἀναγράψας· λέγει γὰρ ὧδε· „κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει“ (Psalm. 22,1). τοῦτο μέντοι τὸ ᾄσμα 51 παντὶ φιλοθέῳ μελετᾶν ἐμπρεπές, τῷ δὲ δὴ κόσμῳ καὶ διαφερόντως· καθάπερ γάρ τινα ποίμνην γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ καὶ ὅσα ἐν τούτοις φυτά τε αὖ καὶ ζῷα, τὰ μὲν θνητὰ τὰ δὲ θεῖα, ἔτι δὲ οὐρανοῦ φύσιν καὶ ἡλίου καὶ σελήνης περιόδους καὶ τῶν ἄλλων ἀστέρων τροπάς τε αὖ καὶ χορείας ἐναρμονίους ὁ ποιμὴν καὶ βασιλεὺς θεὸς ἄγει κατὰ

---

1 μήτ' A 2 δὲ MGH ἀναγκαζόμενος M 3 τοῖς δὲ ἐκ AGH: τοῖς ἐκ M, τῆς δὲ UF ἠμεληκότι U 4 καὶ ἀδεῶς Cohn: κατὰ δέος U, καταδεὲς ceteri, μετ' ἀδείας olim coniciebam περιποιησαμένης A αὐθάδειαν FH²: αὐθαδεία ceteri 5 οὖν addidi 9 αὐτῶ UF 10 σχεδὸν καὶ μόνον UF: σχεδὸν μόνον MAG, μόνον σχεδὸν H 12 οὗ] οὐ U 14 ἐπίστασιν UF ἀφορῶσα UF: ἀφορῶσαν ceteri ἐπὶ A 16 ὥστ' UF 17 τέλεια MAGH: om. UF, τελείως conicio παντὸς ἡγεμόνι A 18 ἀλλὰ καὶ GH 19 ὁ τὰς om. F 20 λεγέτω καὶ ἕκαστος ἐν μέρει τὸ αὐτὸ τοῦτο. τὸ γὰρ ante τοῦτο add. H ex p. 106,7 τοῦτο μέντοι τὸ] τοιοῦτον H 21 εὐπρεπές GH καὶ UF: om ceteri 22 γάρ om. MAH¹ 22 ποικρὴν U, ποιηρὰν F 23 ζώων M τε αὖ H: om. ceteri 25 ταῦτα δὴ πάντα ante ὁ ex Eus. recipi vult Cohn ὁ UF Eus: ὡς GH, om. MA καὶ om. U ὁ θεὸς GH²

25—106,3 Euseb. Pr. Ev. VII 13 . . . ὁ δ' αὐτὸς ἐν τῷ περὶ γεωργίας προτέρῳ καὶ υἱὸν

δίκην καὶ νόμον, προστησάμενος τὸν ὀρθὸν αὐτοῦ λόγον καὶ πρωτόγονον
υἱόν, ὃς τὴν ἐπιμέλειαν τῆς ἱερᾶς ταύτης ἀγέλης οἷά τις μεγάλου βασιλέως
ὕπαρχος διαδέξεται· καὶ γὰρ εἴρηταί που· „Ἰδοὺ ἐγώ εἰμι, ἀποστέλλω
ἄγγελόν μου εἰς πρόσωπόν σου τοῦ φυλάξαι σε ἐν τῇ ὁδῷ“ (Exod.
52 23,20). λεγέτω τοίνυν καὶ ὁ κόσμος ἅπας, ἡ μεγίστη καὶ τελεωτάτη 5
τοῦ ὄντος θεοῦ ποίμνη· „κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει“.
53 λεγέτω καὶ ἕκαστος τῶν ἐν μέρει τὸ αὐτὸ τοῦτο μὴ τῇ διὰ γλώττης
καὶ στόματος ῥεούσῃ φωνῇ πρὸς βραχεῖαν ἀέρος ἐξικνουμένῃ μοῖραν,
ἀλλὰ τῇ τῆς διανοίας εὐρυνομένῃ καὶ τῶν τοῦ παντὸς ἁπτομένῃ
περάτων· | ἀμήχανον γὰρ τῶν ἐπιβαλλόντων ἔνδειαν εἶναί τινος ἐπιστα- p. 309 M.
τοῦντος θεοῦ πλήρη καὶ τέλεια τἀγαθὰ τοῖς οὖσιν ἅπασιν εἰωθότος 11
54 χαρίζεσθαι. (13.) παγκάλη δὲ εἰς ὁσιότητα παραίνεσις ἡ διὰ τοῦ
λεχθέντος ῥήματος· τῷ γὰρ ὄντι ὁ μὲν πάντα τὰ ἄλλα δοκῶν ἔχειν, τῇ
δὲ ἑνὸς προστασίᾳ δυσχεραίνων, ἀτελὴς καὶ πένης· ἥτις δὲ ὑπὸ θεοῦ
ποιμαίνεται ψυχὴ τὸ ἓν καὶ μόνον ἔχουσα, οὗ τὰ πάντα ἐκκρέμαται, 15
ἀπροσδεὴς εἰκότως ἐστὶν ἄλλων, οὐ τυφλὸν πλοῦτον, βλέποντα δὲ καὶ
55 σφόδρα ὀξυδορκοῦντα θαυμάζουσα. τούτου πάντες οἱ μαθηταὶ εἰς σύν-
τονον καὶ δυσαπάλλακτον ἔρωτα ἦλθον, διὸ κτηνοτροφίαν γελάσαντες
56 ἐξεπόνησαν ποιμενικὴν ἐπιστήμην. τεκμήριον δέ· ὁ τὴν περὶ σῶμα καὶ
τὰς κενὰς δόξας ὑπόθεσιν ἀεὶ μελετῶν Ἰωσήφ, ἄρχειν μὲν καὶ ἐπιστατεῖν 20

---

1 prius καὶ om. Eus αὐτοῦ codd. alterum καὶ Eus: om. codd.
1. 2 πρωτογονον υἱὸν om. U 2 ante ὃς add. προστησάμενος αὐτοῦ τὸν ἀρχάγγελον οὗ τήν προσωνυμίαν λέγειν οὐκ ἀναγκαῖον UF, προστησάμενος αὐτοῦ circumpunxit F ὃς] ὡς A 3 διατάξεται FL^{2} 3. 4 καὶ γὰρ — ὁδῷ UF, mg. L: om. ceteri, fort. recte 3 που om. U 5 λέγω A ἅπας ἡ] ἁπάσῃ UF ἡ om. MAH^{1} τελειοτάτη GUF 6 τοῦ ὄντος AGUFH^{1}: τοῦ ὄντως MH^{2}, τῷ ὄντι conicio θεοῦ om. UF μέ om. U 7 λεγέτω — τοῦτο om. H^{1}, add. m. rec., cf. supra ad p. 105,20 8 ἐξικνουμένην F μοῖρα MA 10 ἐπιβαλόντων U ἐνδιαμεῖναι UF 11 ἀγαθὰ UF 12 δὲ καὶ εἰς H ὁσ:ότητα UF: ἰσότητα ceteri 13 τῷ μὲν γὰρ F τὰ ἄλλα πάντα UF ἔχειν add. H^{2}
14 δ' A ἐπιστασία UF ἥτις GUF: τίς MA, εἴ τις H ὑπὸ] ἀπὸ UF
15 ἐκκρέμανται MA 16 ἐστὶν εἰκότως H, sed εἰκότως ἄλλων add. m. rec.
16. 17 πλοῦτον, βλέποντα δὲ καὶ σφόδρα ὀξυδορκοῦντα Mang.: πλοῦτον βλέπουσα (βλέπουσα πλοῦτον U) σφόδρα δὲ ὀξυδερκοῦσα καὶ UF, πλοῦτον βλέπουσα τὰ δὲ καὶ σφόδρα ὀξυδορκοῦσα (ὀξυδερκοῦσα H) ceteri 17. 18 σύντομον L^{2} 18 πελάσαντες UF, ἀπελάσαντες F^{2}, ἐλάσαντες L^{2} 19 ὁ τὴν] ὅταν MA

θεοῦ τὸν πρωτόγονον αὐτοῦ λόγον τοῦτον ὀνομάζει τὸν τρόπον: Ταῦτα δὴ πάντα ὁ ποιμὴν καὶ βασιλεὺς θεὸς — διαδέξεται.

ἀλόγου φύσεως οὐκ ἐπιστάμενος — πρεσβύταις γὰρ ἔθος ἐπὶ τὰς ἀνυπευθύνους ἀρχὰς καλεῖσθαι, νέος δέ ἐστιν οὗτος ἀεί, κἂν τὸ χρόνου μήκει γῆρας ἐπιγινόμενον ἐνέγκηται —, τρέφειν δὲ εἰωθὼς καὶ συναύξειν ὑπολαμβάνει καὶ τοὺς φιλαρέτους πεῖσαι δυνήσεσθαι μεταβάλλειν ὡς αὐτόν, ἵνα τῶν ἀλόγων καὶ ἀψύχων περιεχόμενοι μηκέτ' ἐνευκαιρεῖν δύνωνται τοῖς λογικῆς ψυχῆς ἐπιτηδεύμασι· φησὶ γάρ· ἂν ὁ βασιλεὺς 57
νοῦς τῆς σωματικῆς χώρας πυνθάνηται, τί τὸ ἔργον ὑμῶν, ἀποκρίνεσθε· ἄνδρες κτηνοτρόφοι ἐσμέν (Gen. 46, 33. 34). τοῦτο ἀκούσαντες κατὰ τὸ εἰκὸς δυσχεραίνουσιν, εἰ ἡγεμόνες ὄντες ὑπηκόων τάξιν ἔχειν ὁμολογήσουσιν· οἱ μὲν γὰρ τροφὰς ταῖς αἰσθήσεσι διὰ τῆς τῶν αἰσθη- 58
τῶν ἀφθονίας εὐτρεπιζόμενοι δοῦλοι γίνονται τῶν τρεφομένων καθάπερ δεσποίναις οἰκέται φόρον τελοῦντες καθ' ἑκάστην ἡμέραν ἀναγκαῖον, ἄρχοντες δὲ οἱ τούτων ἐπιστατοῦντες καὶ τὰ περιττὰ τῆς εἰς ἀπληστίαν ὁρμῆς αὐτῶν ἐπιστομίζοντες. τὸ μὲν οὖν πρῶτον καίτοι τοῦ λεχθέντος 59
οὐ καθ' ἡδονὴν ἀκούσαντες ἐχεμυθήσουσι περιττὸν ἡγούμενοι τὸ μὴ μαθησομένοις διαφορὰν κτηνοτροφίας καὶ ποιμενικῆς ὑφηγεῖσθαι, αὖθις δὲ ὅταν ὁ περὶ τούτων ἀγὼν ἑνστῇ, διαγωνιοῦνται πάσῃ δυνάμει καί, πρὶν ἀνὰ κράτος ἑλεῖν, οὐκ ἀνήσουσι τὸ τῆς φύσεως ἐλεύθερόν τε καὶ εὐγενὲς καὶ ἡγεμονικὸν τῷ ὄντι ἐπιδειξάμενοι· πυνθανομένου γοῦν τοῦ βασιλέως „τί τὸ ἔργον ὑμῶν;" ἀποκρίνονται· „ποιμένες ἐσμέν, καὶ οἱ πατέρες ἡμῶν" (Gen. 47, 3). (14.) εἶτ' οὐκ ἂν δόξαιεν ἐπὶ ποιμενικῇ 60
τοσοῦτον αὐχεῖν, ὅσον οὐδὲ ἐπὶ τῷ τοσούτῳ κράτει τῆς ἀρχῆς ὁ προσομιλῶν αὐτοῖς βασιλεύς; οἵ γε οὐχ αὑτοῖς μόνοις τὴν προαίρεσιν τοῦ βίου τούτου μαρτυροῦσιν, ἀλλὰ καὶ τοῖς πατράσιν αὐτῶν, ὡς σπου-

---

1 ἀλόγου] λογικῆς G 2 ἀνυπευθύνους Mang.: ἀνυπαιτίους codd., ὑπαιτίους Turn. οὗτός ἐστιν ἀεί UF τὸ H: τῶ UF, τοῦ MAG 3 ἐπιγενόμενον UF 4 ὑπολαμβάνειν U μεταβαλεῖν UF 5 αὐτὸν Cohn μηκέτ' ἐνευκαιρεῖν scripsi: μηκέτ' εὐκαιρεῖν UF, ἐνευκαιρεῖν μὴ GH, ἐνευκαιρεῖν MA 6 τοῖς λογικῆς ψυχῆς UF: ψυχῆς λογικῆς (om. τοῖς) ceteri 7 νοῦς om. UF 9 ἔχειν τάξιν F 11 ἀφθονίας ἔχειν εὐτρεπιζόμενοι L 12 τελοῦντες GH: φέροντες MAUF 14 αὐτοὺς H 14. 15 τὸ μὲν — ἀκούσαντες om. U 14—17 τὸ μὲν — αὖθις δὲ add. in mg. H m. rec. 15 ἀκούσοντες MA ἐξεμυθήσουσι M, ἐκμυθήσουσι UF 16 μαθησόμενοι MAUF, καθησομένοις L 17 δ' A ἀγὼν add. H² 19 ἡγεμονικὸν καὶ εὐγενὲς ἐπιδειξάμενοι τῶ ὄντι H 20 ἀποκρίνονται AUF: ἀποκρινοῦνται MGH 21 ὑμῶν U δόξαι ἐν ποιμενικῇ A 22 οὐδ' AUF τῷ om. UH τοσούτῳ] τούτῳ L 23 οἱ δέ γε UF αὐτοῖς MGH: αὐτοῖς A, ἑαυτοῖς UF 24 ὡς] ὧ M, ὧ A

---

21 *Origenes, Selecta in Genesim p. 50:* παρρησιάζονται τὸ ποιμένες εἶναι πρὸς τὸν Φαραώ.

61 δῆς καὶ ἐπιμελείας ἁπάσης | ἀξίου· καίτοι γε, εἰ μὲν ἦν περὶ αἰγῶν ἢ p. 310 M.
προβάτων ἐπιμελείας ὁ λόγος, κἂν ἴσως ἡδέσθησαν ὁμολογεῖν ἀτιμίαν
φυγόντες· ἄδοξα γὰρ καὶ ταπεινὰ τὰ τοιαῦτα παρὰ τοῖς ὄγκον μὲν
εὐτυχίας τὸν ἄνευ φρονήσεως περιβεβλημένοις καὶ μάλιστα βασιλεῦσι
62 νενόμισται· τὸ δὲ Αἰγυπτιακὸν ἐκ φύσεως καὶ διαφερόντως ἐστὶν ὑπέρ- 5
αυχον, ὁπότε μικρά τις αὐτὸ μόνον αὖρα καταπνεύσειεν εὐπραγίας, ὡς
χλεύην καὶ πλατὺν γέλωτα ἡγεῖσθαι τὰς τῶν δημοτικωτέρων ἀνθρώπων
63 περὶ βίον σπουδάς τε καὶ φιλοτιμίας. ἐπειδὴ δὲ περὶ τῶν ἐν ψυχῇ
δυνάμεων λογικῶν τε αὖ καὶ ἀλόγων πρόκειται σκοπεῖν, εἰκότως αὐχή-
σουσιν οἱ πεπεισμένοι ὅτι δύνανται κρατεῖν τῶν ἀλόγων συμμάχοις 10
64 χρώμενοι ταῖς λογικαῖς. ἐὰν μέντοι τις βάσκανος καὶ φιλεγκλήμων
αἰτιώμενος φάσκῃ· πῶς οὖν ποιμενικὴν τέχνην διαπονοῦντες καὶ τῆς
συμφυοῦς ποίμνης ἐπιμέλειαν ἔχειν καὶ προστασίαν ἐπαγγελλόμενοι
προσορμίσασθαι τῇ σώματος καὶ παθῶν χώρᾳ διενοήθητε, Αἰγύπτῳ,
ἀλλ' οὐχ ἑτέρωσε τὸν πλοῦν ἐποιήσασθε; μετὰ παρρησίας αὐτῷ λεκτέον, 15
65 ὅτι „παροικεῖν, οὐ κατοικεῖν ἤλθομεν“ (Gen. 47, 4)· τῷ γὰρ ὄντι
πᾶσα ψυχὴ σοφοῦ πατρίδα μὲν οὐρανόν, ξένην δὲ γῆν ἔλαχε, καὶ νομίζει
τὸν μὲν σοφίας οἶκον ἴδιον, τὸν δὲ σώματος ὀθνεῖον, ᾧ καὶ παρεπιδημεῖν
66 οἴεται. οὐκοῦν ἐπειδὰν ὁ ἀγελάρχης νοῦς παραλαβὼν τὴν ψυχῆς
ἀγέλην νόμῳ φύσεως διδασκάλῳ χρώμενος εὐτόνως ἀφηγῆται, δόκιμον 20
αὐτὴν καὶ σφόδρα ἐπαινετὴν ἀπεργάζεται, ὅταν δὲ παρανομίᾳ ῥᾳθύμως
καὶ ἀνειμένως προσφερόμενος, ψεκτήν. εἰκότως τοίνυν ὁ μὲν βασιλέως
ὄνομα ὑποδύσεται ποιμὴν προσαγορευθείς, ὁ δ' ὀψαρτυτοῦ τινος ἢ
σιτοπόνου κτηνοτρόφος ἐπιφημισθείς, εὐωχίαν καὶ θοίνην ἀδηφαγεῖν
θρέμμασιν εἰωθόσιν εὐτρεπιζόμενος. 25
67 (15.) Ὃν δὴ τρόπον γεωργὸς μὲν ἐργάτου γῆς, ποιμὴν δὲ κτηνο-
τρόφου διενήνοχεν, οὐκ ἀμελῶς ἐπιδέδειχα. καὶ τρίτον δ' ἐστὶ συγγέ-
νειάν τινα ἔχον πρὸς τὰ λεχθέντα, περὶ οὗ νῦν ἐροῦμεν· ἱππέα τε

---

2 ἴσως UF: om. ceteri ἡδέσθησαν om. A 5 καὶ om. UF 5. 6 ὑπέρ-
μαχον G 6 αὖρα καταπνεύσειεν MAGF: καταπνεύσειεν αὖρα H, καταπνεύσειεν
(om. αὖρα) U 7 πλαστὴν U 9 post δυνάμεων add. ὁ λόγος UF 11 ἐὰν]
εἰ A 12 φάσκει A 13 εὐφυοῦς UF 14 προσορμήσασθαι L
15 πλοῦν] πλοῦτον F ἐκποιήσασθαι UF 17 πᾶσα UF: πᾶσα μὲν ceteri
γῆν δὲ ξένην L 19—21 οὐκοῦν — ἀπεργάζεται om. UF 19 οὐκοῦν] οὐκα A
20 ἀφηγεῖται AL 21 ἀπεργάσεται conicio 22 τοίνυν G 23 ὑποδύε-
ται A ὀψαρτύπου A 23. 24 ἢ σιτοπόνου om. UF 24 θοῖναν UF
ἀδηφαγεῖν MUF: ἀδδηφαγεῖν AG, ἀδδηφαγεῖ H, alterum δ add. H² 26 ὃν MAUFH¹:
δν οὖν GH² γῆς om. UF 27 ἐπιδέδεικται UF. hic desinunt UF, περὶ γεωρ-
γίας subscripsit U 28 ἱππέα A: ἵππον ceteri τε om. L

γὰρ καὶ ἀναβάτην οὐ μόνον, ἄνθρωπον ἐποχούμενον ἐποχουμένου
χρεμετιστικῷ ζῴῳ μακρῷ διαφέρειν ἡγεῖται, ἀλλὰ καὶ λογισμὸν λογισμοῦ.
ὁ μὲν τοίνυν ἄνευ τέχνης ἱππικῆς ἐπιβεβηκὼς λέγεται μὲν εἰκότως 68
ἀναβάτης, ἐκδέδωκε δὲ ἑαυτὸν ἀλόγῳ καὶ σκιρτητικῷ θρέμματι, ὥσθ'
p. 311 M. ὅπῃ ἂν ἐκεῖνο χωρῇ | 'κεῖσε πάντως ἀναγκαῖον φέρεσθαι καὶ μὴ προϊ-
6 δόμενον χάσμα γῆς ἢ βαθύν τινα βόθρον ὑπὸ τῆς ἐν τῷ δρόμῳ ῥύμης
κατακρημνισθῆναι [συνηνέχθη] καὶ συγκαταποθῆναι τὸν φερόμενον. ὁ 69
δ' ἱππεὺς πάλιν, ὅταν ἀνέρχεσθαι μέλλῃ, χαλινὸν ἐντίθησι κἄπειτ'
ἐφαλλόμενος τῆς περιαυχενίου χαίτης ἐνείληπται καὶ φέρεσθαι δοκῶν
10 αὐτός, εἰ δεῖ ταληθὲς εἰπεῖν, ἄγει τὸ κομίζον τρόπον κυβερνήτου· καὶ
γὰρ ἐκεῖνος ἄγεσθαι δοκῶν ὑπὸ νεὼς τῆς κυβερνωμένης ἄγει πρὸς ἀλή-
θειαν αὐτὴν καὶ ἐφ' οὓς ἐπείγεται παραπέμπει λιμένας. ὅταν μὲν οὖν 70
εὐηνίως προέρχηται, καταψήχει ὁ ἱππεὺς ὡς ἂν ἐπαινῶν τὸν ἵππον,
ὅταν δὲ σὺν πλείονι ὁρμῇ πέραν ἐκφέρηται τοῦ μετρίου, μετὰ βίας
15 εὐτόνως ἀναχαιτίζει, ὡς ὑπανεῖναι τοῦ τάχους· ἐὰν δὲ ἀπειθῶν ἐπιμένῃ,
λαβὼν τοῦ χαλινοῦ ὅλον ἀντέσπασε καὶ ἀντιπεριήγαγεν αὐτοῦ τὸν
αὐχένα, ὡς ἐξ ἀνάγκης στῆναι· καὶ πρὸς σκιρτήσεις μὲν καὶ τοὺς 71
συνεχεῖς ἀφηνιασμούς εἰσι μάστιγες καὶ μώπες εὐτρεπεῖς καὶ τἄλλ'
ὅσα πωλοδάμναις ἵππων κατεσκεύασται κολαστήρια. καὶ θαυμαστὸν
20 οὐδέν· ἀνιόντος γὰρ τοῦ ἱππέως καὶ ἱππικὴ τέχνη συνανέρχεται, ὥστε
δύο ὄντες καὶ ἐποχούμενοι καὶ ἐπιστήμονες εἰκότως ἑνὸς καὶ ὑποβεβλη-
μένου καὶ ἀπαραδέκτου τέχνης ζῴου περιέσονται. (16.) μεταβὰς τοίνυν 72
ἀπὸ τῶν χρεμετιζόντων καὶ τῶν ἐποχουμένων αὐτοῖς τὴν σαυτοῦ ψυχὴν
εἰ θέλεις ἐρεύνησον· εὑρήσεις γὰρ ἐν τοῖς μέρεσιν αὐτῆς καὶ ἵππους
25 καὶ ἡνίοχον καὶ ἀναβάτην, ὅσαπερ καὶ ἐν τοῖς ἐκτός. ἵπποι μὲν οὖν 73

---

1 μόνον] μὲν coni. Mang. ἄνθρωπον G: ἀνθρώπου ceteri ἐποχούμενον codd.: ἐποχουμένου v ἐποχουμένου scripsi: ἐποχουμένῳ codd., ἐποχούμενον v

4 δ' M αὐτὸν A ὅσθ' M(G¹) 5 ὅποι A 'κεῖσε scripsi: κεῖσε MAH¹, ἐκεῖσε GH² ἀναγκαῖον vid. del. 5. 6 προϊδόμενον scripsi: προειδόμενον codd. 7 συνηνέχθη seclusi συγκαταποθῆναι MG, mg. H: συγκαταπτωθῆναι A, καταποντισθῆναι text. H, συγκαταποντισθῆναι Turn. ante τὸν add. δεῖ MGH τὸν] τὸ L 9 περιαυχενίας G ἀνείληπται H 11. 12 πρὸς τὴν ἀλήθειαν A 13 προέρχηται H²: προσέρχηται ceteri καταψύχη A, καταψύχει L ὡς H²: ὦ M, ὧ AG(H¹?) ἀνεπαίρων A 14 πέραν A: πέρα ceteri 15 ἐπιμένῃ H²: ὑπομένῃ ceteri 16 λαβόμενος conicio 17 μὲν] μέντοι conicio 18 εὐπρεπεῖς A τἄλλα GH 19 κατεσκευάσθαι G 20 συνανέρχεται Mang.: συνέρχεται codd. 21 καὶ ἐποχούμενος καὶ ἐπιστήμων conicio τέχνης Turn.: τέχνη codd. ζώου H²: ζώων ceteri 23 αὐτῆς A 24 θέλοις A 25 ἡνίοχον καὶ Mang.: ἡνιόχους καὶ MA, ἡνιοχικὸν GH ὥσπερ coni. Mang.

ἐπιθυμία καὶ θυμός εἰσιν, ὁ μὲν ἄρρην, ἡ δὲ θήλεια. διὰ τοῦθ' ὁ μὲν γαυριῶν ἄφετος εἶναι βούλεται καὶ ἐλεύθερος καὶ ἔστιν ὑψαύχην ὡς ἂν ἄρρην, ἡ δ' ἀνελεύθερος καὶ δουλοπρεπὴς καὶ πανουργίᾳ χαίρουσα οἰκόσιτος, οἰκοφθόρος· θήλεια γάρ. ἀναβάτης δὲ καὶ ἡνίοχος εἷς ὁ νοῦς· ἀλλ' ἡνίκα μὲν μετὰ φρονήσεως ἄνεισιν, ἡνίοχος, ὁπότε δὲ μετ' 74 ἀφροσύνης, ἀναβάτης. ἄφρων μὲν οὖν ὑπὸ ἀμαθίας κρατεῖν ἀδυνατεῖ ὧν ἡνιῶν, αἱ δὲ τῶν χειρῶν ἀπορρυεῖσαι χαμαὶ πίπτουσι, τὰ δὲ ζῷα 75 εὐθὺς ἀφηνιάσαντα πλημμελῆ καὶ ἄτακτον ποιεῖται τὸν δρόμον. ὁ δ' ἐπιβεβηκὼς οὐδενὸς ἐνειλημμένος, ὑφ' οὗ στηριχθήσεται, πίπτει, περιδρυπτόμενος δὲ γόνυ καὶ χεῖρας καὶ πρόσωπα μεγάλα κλαίει τὴν ἰδίαν κακοπραγίαν ὁ δείλαιος, πολλάκις δὲ καὶ τὰς βάσεις πρὸς τὸν δίφρον ἐξημμένος ἀνατραπεὶς ὕπτιος ἐπὶ νῶτα | ἀπηώρηται καὶ ἐν ἁρματροχιαῖς p. 312 M. αὐταῖς κεφαλήν τε καὶ αὐχένα καὶ ὤμους ἀμφοτέρους περιθραύεται κατασυρόμενος, εἶθ' ὧδε κἀκεῖσε φορούμενος καὶ πᾶσι τοῖς ἐν ποσὶ προσαραττό- 76 μενος οἰκτρότατον ὑπομένει θάνατον. τῷ μὲν δὴ τοιοῦτον ἀποβαίνει τὸ τέλος, τὸ δὲ ὄχημα ἀνακουφιζόμενον καὶ ἐξαλλόμενον μετὰ βίας, ὅταν ἐπὶ γῆν παλίσσυτον ἐνεχθῇ, ῥᾷστα κατάγνυται, ὡς μηκέτ' αὖθις ἁρμοσθῆναι καὶ παγῆναι δύνασθαι· τὰ δὲ ζῷα πάντων τῶν συνεχόντων ἀφειμένα παρακινεῖται καὶ οἰστρᾷ καὶ οὐ παύεται φερόμενα, πρὶν ὑποσκελισθέντα πεσεῖν ἢ κατά τινος ἐνεχθέντα κρημνοῦ βαθέος παρα- 77 πολέσθαι. (17.) τοῦτον οὖν ἔοικε τὸν τρόπον αὐτοῖς ἐπιβάταις τὸ τῆς ψυχῆς ὄχημα σύμπαν διαφθείρεσθαι πλημμελῆσαν τὴν ἡνιόχησιν. τοὺς δὴ τοιούτους ἵππους καὶ τοὺς ἐποχουμένους ἄνευ τέχνης αὐτοῖς λυσιτελὲς καθαιρεῖσθαι, ἵνα τὰ ἀρετῆς ἐγείρηται· πιπτούσης γὰρ ἀφροσύνης ἀνάγκη 78 φρόνησιν ὑπανίστασθαι. διὰ τοῦτ' ἐν προτρεπτικοῖς Μωυσῆς φησιν· „ἐὰν ἐξέλθῃς εἰς πόλεμον ἐπ' ἐχθρούς σου καὶ ἴδῃς ἵππον καὶ ἀναβάτην καὶ λαὸν πλείονα, οὐ φοβηθήσῃ, ὅτι κύριος ὁ θεὸς μετὰ σοῦ“ (Deut. 20,1)· θυμοῦ γὰρ καὶ ἐπιθυμίας καὶ συνόλως ἁπάντων παθῶν, πασῶν δὲ καὶ

---

1 ἐπιθυμίαι L 6 οὖν καὶ ἀπὸ A 8 πλημμελῆ GH²: πλημμελεῖ MA(H¹) ποιεῖ τὸν A 11 τοῦ δίφρου coni. Mang. 12 ἀνατραπεὶς add. m. rec. in mg. H ἀπηώρηται codd.: ἐπῃώρηται Turn. ἐν ἁρματροχιαῖς GH: ἐναρμοιτροχιαῖς M, ἐναρμοτροχιαῖς A 14 φερόμενος A 17 κατεάγνυται H² 19 παρακινεῖται—φερόμενα add. m. rec. in H 21 τῆς om. M 22 ὄχημα om. A πλημμελῆσαν τὴν ἡνιόχησιν GH²: πλημμελήσοντα ἡνιόχησις MAH¹, tum add. ἢ M, εἰ A, ras. H πλημμεληθὲν ⟨περὶ⟩ τὴν conicio 22. 23 τοὺς δὴ om. A 27 φοβηθῇς A 28—111,4 θυμοῦ—πανταχοῦ add. m. rec. in mg. H 28 πασῶν δὲ om. Turn., ἢ Mang. „ex Ms. Med.“ (!)

τῶν ἄλλων ⟨κακιῶν⟩ ἐποχουμένων ὥσπερ ἵπποις ἑκάστοις λογισμῶν, κἂν ἀμάχῳ ῥώμῃ κεχρῆσθαι νομίζωσιν, ἀλογητέον τοὺς ἔχοντας τὴν τοῦ μεγάλου βασιλέως θεοῦ δύναμιν ὑπερασπίζουσαν καὶ προαγωνιζομένην αἰεὶ καὶ πανταχοῦ. στρατὸς δὲ θεῖος αἱ ἀρεταὶ φιλοθέων ὑπέρμαχοι 79
ψυχῶν, αἷς, ἐπειδὰν ἴδωσι τὸν ἀντίπαλον ἡττημένον, ἁρμόττει πάγκαλον καὶ πρεπωδέστατον ὕμνον ᾄδειν τῷ νικηφόρῳ καὶ καλλινίκῳ θεῷ. δύο δὲ χοροί, ὁ μὲν τῆς ἀνδρωνίτιδος, ὁ δὲ τῆς γυναικωνίτιδος ἑστίας, στάντες ἄντηχον καὶ ἀντίφωνον ἀναμέλψουσιν ἁρμονίαν. χρήσεται δ' ὁ 80
μὲν τῶν ἀνδρῶν χορὸς ἡγεμόνι Μωυσεῖ, νῷ τελείῳ, ὁ δὲ τῶν γυναικῶν Μαριάμ, αἰσθήσει κεκαθαρμένῃ (Exod. 15, 1. 20)· δίκαιον γὰρ καὶ νοητῶς καὶ αἰσθητῶς τοὺς εἰς τὸ θεῖον ὕμνους καὶ εὐδαιμονισμοὺς ἀνυπερθέτως ποιεῖσθαι καὶ τῶν ὀργάνων ἐμμελῶς κρούειν ἑκάτερον, τό τε νοῦ καὶ αἰσθήσεως, ἐπὶ τῇ τοῦ μόνου σωτῆρος εὐχαριστίᾳ καὶ τιμῇ. τὴν γοῦν παράλιον ᾠδὴν ᾄδουσι μὲν πάντες ἄνδρες, οὐ μὴν τυφλῇ 81
διανοίᾳ, ἀλλ' ὀξὺ καθορῶντες Μωυσέως ἐξάρχοντος, ᾄδουσι δὲ καὶ γυναῖκες αἱ πρὸς ἀλήθειαν ἄρισται, τῷ τῆς ἀρετῆς ἐγγεγραμμέναι πολιτεύματι, Μαριὰμ ἀφηγουμένης αὐταῖς. (18.) ὕμνος δὲ ὁ αὐτὸς 82
ἀμφοτέροις ᾄδεται τοῖς χοροῖς ἐπῳδὸν ἔχων θαυμασιώτατον, δν ἐφυμνεῖσθαι καλόν· ἔστι δὲ τοιόσδε· „ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ
p. 313 M. | δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν“ (Exod. 15,1.21)·
ἀμείνονα γὰρ καὶ τελειοτέραν οὐκ ἄν τις εὕροι σκοπῶν νίκην ἢ καθ' 83
ἣν τὸ τετράπουν καὶ σκιρτητικὸν καὶ ὑπέραυχον ἥττηται παθῶν τε καὶ κακιῶν ἀλκιμώτατον στῖφος — καὶ γὰρ κακίαι τῷ γένει τέτταρες καὶ πάθη ταύταις ἰσάριθμα —, πρὸς δὲ καὶ ὁ ἐπιβάτης αὐτῶν μισάρετος καὶ

---

1 ἄλλων Mang.: ὅλων codd. κακιῶν addidi ἑκάστων λογισμοῖς conicio ex λογισμῶν corr. λογισμὸν A 2 νομίζουσιν A, νομισθῶσιν coni. Mang. 5 εἴδωσι A ἁρμόττει s. s. H² 7 δὲ H: δὴ MAG 8 ἀναμέλψουσιν Mang.: ἀναμέλψωσιν codd. ἁρμονίαν in ras. M 9 Μωσεῖ codd. 10 καὶ om. L 12. 13 τό τε] τοῦ τε M 13 post εὐχαριστίᾳ hab. γνώμῃ H, postea del. 14 οὐ GH: οἱ MA μὴν H²: μὲν MAH¹, om. G τυφλοὶ A 15 Μωυσέως MA: Μωυσέος GH 16 αἱ om. H 17 ἀφηγουμέναις A δ' A 17. 18 ἀμφοτέροις ὁ αὐτὸς A 17 αὐτῆς M(H¹) 19 δὲ καὶ G τοιόσδε G: τοιόνδε MAH 20 δεδόξασθαι AG 21 ἤ M, om. A 22 ὑπέρμαχον G 23 τέσσαρες G 24. 112,1 νοῦς ὁ μισάρετος καὶ φιλοπαθὴς H

---

19 *Clemens Strom. V 52 p. 677 P:* ὅταν τε αὖ ἐν τῇ ᾠδῇ λέγῃ· „ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν“, τὸ πολυσκελὲς καὶ κτηνῶδες καὶ ὁρμητικὸν πάθος τὴν ἐπιθυμίαν σὺν καὶ τῷ ἐπιβεβηκότι ἡνιόχῳ τὰς ἡνίας ταῖς ἡδοναῖς ἐπιδεδωκότι „ἔρριψεν εἰς θάλασσαν“ εἰς τὰς κοσμικὰς ἀταξίας ἀποβαλών.

φιλοπαθὴς νοῦς καταπεσὼν οἴχεται, ὃς ἡδοναῖς καὶ ἐπιθυμίαις, ἀδικίαις τε καὶ πανουργίαις, ἔτι δὲ ἁρπαγαῖς καὶ πλεονεξίαις καὶ τοῖς παρα-
84 πλησίοις θρέμμασιν ἐγεγήθει. παγκάλως οὖν ὁ νομοθέτης ἐν ταῖς παραινέσεσιν ἐκδιδάσκει μηδ' ἄρχοντα χειροτονεῖν ἱπποτρόφον, ἀνεπιτήδειον οἰόμενος εἶναι πρὸς ἡγεμονίαν πάνθ' ὃς ἂν περὶ ἡδονὰς καὶ ἐπιθυμίας καὶ ἔρωτας ἀκαθέκτους μεμηνὼς οἷα ἀχαλίνωτος καὶ ἀφηνιαστὴς ἵππος οἰστρᾷ· λέγει γὰρ ὧδε· „οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σεαυτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σού ἐστι· διότι οὐ πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδὲ μὴ ἀποστρέψῃ τὸν λαὸν εἰς Αἴγυπτον“ (Deut. 17, 15. 16).
85 οὐκοῦν τῶν ἱπποτρόφων πρὸς ἀρχὴν πέφυκεν οὐδεὶς κατὰ τὸν ἱερώτατον Μωυσῆν· καίτοι φαίη τις ἂν ἴσως, ὅτι μεγάλη χεὶρ ἐστι βασιλέως ἱππικὴ δύναμις οὔτε πεζῆς οὔτε ναυτικῆς ἀποδέουσα, πολλαχοῦ δὲ καὶ λυσιτελεστέρα καὶ μάλιστα ἐν οἷς ἀνυπερθέτου καὶ συντόνου τάχους τῆς ἐπεξόδου δεῖ τῶν καιρῶν μέλλειν οὐκ ἐπιτρεπόντων, ἀλλ' ἐπ' αὐτῆς ἱσταμένων ἀκμῆς, ὡς μὴ ἀναβάλλεσθαι τοὺς ὑστερηκότας μᾶλλον ἢ ἀποτυχεῖν ἂν εἰκότως εἰσάπαν νομισθῆναι, φθάντων παρελθεῖν ὥσπερ
86 νέφους ἐκείνων. (19.) εἴποιμεν δ' ἂν αὐτοῖς· οὐδεμίαν, ὦ γενναῖοι, φρουρὰν ἄρχοντος ὁ νομοθέτης ὑποτέμνεται οὐδὲ τὸ συλλεχθὲν αὐτῷ στράτευμα ἀκρωτηριάζει τῆς δυνάμεως τὸ ἀνυσιμώτερον, τὴν ἱππικὴν δύναμιν, ἀποκόπτων, ἀλλ' ὡς οἷόν τε πειρᾶται συναύξειν, ἵν' εἷς τε ἰσχὺν καὶ πλῆθος ἐπιδόντες οἱ σύμμαχοι ῥᾷστα τοὺς ἐναντίους καθαιρῶσι.
87 τίνι γὰρ οὕτω λοχίσαι στράτευμα καὶ τάξαι καὶ κατὰ φάλαγγας διανεῖμαι καὶ λοχαγοὺς καὶ ταξιάρχους καὶ τοὺς ἄλλους πλείονων ἢ ἐλαττόνων ἡγεμόνας καταστῆσαι ἢ ὅσα τακτικὰ καὶ στρατηγικὰ εὕρηται [καὶ] τοῖς ὀρθῶς χρησομένοις ὑφηγήσασθαι κατὰ πολλὴν τῆς ἐν τούτοις ἐπιστήμης
88 περιουσίαν ἐξεγένετο; ἀλλὰ γὰρ οὐκ ἔστι νῦν ὁ λόγος αὐτῷ περὶ δυνάμεως ἱππικῆς, ἣν συγκροτεῖσθαι πρὸς ἄρχοντος ἐπ' ἀναιρέσει

---

1 καὶ ἐπιθυμίαις om. H 3—11 παγκάλως—βασιλέως add. m. rec. in mg. H 5 ὃς ἂν] ὅσα A 7 ἐπὶ σεαυτὸν ex LXX scripsi: ἐπ' αὐτὸν codd., ἐφ' αὑτὸν v 9 ἵππος H οὐδὲ MG: οὐδ' οὐ AH ἀποστρέψῃ MH: ἀποστρέψει AG εἰς H: om. ceteri 10 τὸν ἱπποτρόφον A 11 Μωσῆν H 13 ἀνυπερθέτου καὶ συντόνου τάχους scripsi: ἀνυπερθέτῳ καὶ συντόμῳ (συντόνῳ coni. Mang.) τάχει codd. τάχει] τύχῃ L^2 14 ἐπ' ἐξόδου A 16 εἰς ἅπαν M φθάνων L 17 εἴποιμ' ἄν coni. Mang. 19 ὀνησιμώτερον A^2, ἀνυσιμώτατον conicio 20 οἵονται A 21 ἐπιδόντες MAG: ἐπιδιδόντες H τοὺς ἐναντίους ῥᾷστα H καθαίρωσι codd. 22 οὕτως H λοχῆσαι A στρατεύματα H 23 ταξιάρχας A τῶν πλειόνων H 24 εὕρηται Turn.: εὕρηνται codd. καὶ secl. Mang. 25 ὀρθοῖς H^1 χρησαμένοις A πολὺ τὴν ἐν A

δυσμενῶν καὶ σωτηρίᾳ φίλων ἀναγκαῖον, ἀλλὰ περὶ τῆς κατὰ ψυχὴν ἀλόγου καὶ ἀμέτρου καὶ ἀπειθοῦς φορᾶς, ἣν ἐπιστομίζειν λυσιτελές, μή ποτε τὸν λαὸν αὐτῆς ἅπαντα εἰς Αἴγυπτον, τὴν τοῦ σώματος χώραν, ἀποστρέψῃ καὶ φιλήδονον καὶ φιλοπαθῆ μᾶλλον ἢ φιλάρετον καὶ φιλόθεον
p. 314 M. ἀνὰ κράτος | ἐργάσηται, ἐπειδὴ τὸν πλῆθος ἵππων παρ' ἑαυτῷ κτώμενον
6 ἀνάγκη τὴν εἰς Αἴγυπτον, ὡς αὐτὸς ἔφη, βαδίζειν ὁδόν. ὅταν γὰρ καθ' 89
ἑκάτερον τοῖχον τῆς ψυχῆς νεὼς τρόπον, τόν τε νοῦ καὶ αἰσθήσεως, ὑπὸ βίας τῶν καταπνεόντων εἰς αὐτὴν παθῶν τε καὶ ἀδικημάτων ἀντιρρεπούσης καὶ κλινομένης ἐξαιρόμενον ἐπιβαίνῃ τὸ κῦμα, τόθ' ὡς
10 εἰκὸς ὑπέραντλος ὁ νοῦς γινόμενος καταποντοῦται· βυθὸς δέ ἐστιν, εἰς ὃν καταποντοῦται καὶ καταδύεται, σῶμα αὐτὸ τὸ ἀπεικασθὲν Αἰγύπτῳ.
(20.) μή ποτ' οὖν περὶ τοῦτο σπουδάσῃς τῆς ἱπποτροφίας τὸ εἶδος. 90
οἱ μὲν γὰρ θάτερον μετιόντες ψεκτοὶ μὲν καὶ αὐτοί· πῶς γὰρ οὔ; παρ' οἷς ἄλογα ζῷα μᾶλλον τετίμηται, ὧν ἐκ τῆς οἰκίας ἵππων μὲν ἀγέλαι
15 κατευωχημένων ἀεὶ προέρχονται, ἀνθρώπων δὲ ἑπομένων οὐδὲ εἷς ἔρανον εἰς ἐπανόρθωσιν ἐνδείας, οὐ δωρεὰν εἰς περιουσίαν εὑρισκόμενος. ἀλλ' ὅμως κουφότερα ἀδικοῦσιν· ἀθλητὰς γὰρ ἵππους ἀνατρέφοντες τούς 91
τε ἱεροὺς ἀγῶνας καὶ τὰς πανταχῇ πανηγύρεις ἀγομένας φασὶ κοσμεῖν καὶ οὐχ ἡδονῆς μόνον [ἀλλὰ] καὶ τῆς περὶ τὴν θέαν τέρψεως αἴτιοι
20 γίνεσθαι τοῖς ὁρῶσιν, ἀλλὰ καὶ τῆς τῶν καλῶν ἀσκήσεώς τε καὶ μελέτης· οἱ γὰρ τὸν τοῦ νικηφορῆσαι πόθον ἐνιδόντες θηρίοις, διὰ τιμῆς ἔρωτα καὶ ζῆλον ἀρετῆς ἀλέκτῳ τινὶ προτροπῇ καὶ προθυμίᾳ χρησάμενοι, πόνους ἡδεῖς ὑποστάντες τῶν οἰκείων καὶ ἐπιβαλλόντων οὐκ ἀφέξονται, πρὶν ἢ ἐπὶ τέλος ἐλθεῖν αὐτῶν. ἀλλ' οὗτοι μὲν εὑρεσι- 92
25 λογοῦσιν ἀδικοῦντες, οἱ δ' ἄνευ ἀπολογίας διαμαρτάνοντές εἰσιν οἱ τὸν ἀναβάτην νοῦν ἔποχον ἀποφαίνοντες ἄπειρον ἱππικῆς ἐπιστήμης κακίᾳ

---

3 λαὸν GL: ἄλλον MAH 5 ἐργάσηται] η H^2 in ras. 7 τοῖχον] τυχὸν A
8 βίας τῶν G: βιαστῶν MH, βιασθῶ A καταπνεόντων H: κακὰ πνεόντων MAG
9 ἐξαιρούμενον G 10 ὑπέραντλος GH: ὑπεραντᾶ M, ὑπὲρ αὐτὰ A ὁ] ὅσω M
γινόμενος MGH: γενόμενος ante ὁ νοῦς A 11 τὸ om. L 14 τετίμηται μᾶλλον A, μᾶλλον om. L τετίμηται ⟨ἀνθρώπων⟩ conicio 14. 15 ἵππον et κατευωχημένον A 14 ἀγέλαι H^2: ἄγεται ceteri 15 προέρχονται H^2: προέρχεται ceteri ἑπομένων] πενομένων vel πενήτων conicio, αἰτουμένων Cohn
οὐδ' A εἷς H: εἷς MAG 16 εἰς prius H^2: om. ceteri οὐ] οὐδὲ conicio 17—114, 8 ἀθλητὰς—ἐπιστήμην add. m. rec. in mg. H 17 ἀναστρέφοντες A 18 πανταχοῦ AG 19 ἀλλὰ eras. G, habent ceteri αἴτιον A
20 γίνεσθαι ex γενέσθαι corr. H καλῶν Mang.: κακῶν codd. 21 ἐνιδόντες Mang.: ἐνδιδόντες codd. 22 ἀλήκτῳ A ἡδέως coni. Mang. 24 ἢ om. A
25 ἁμαρτάνοντες A

93 καὶ πάθει τετράποδι. ἐὰν μέντοι τέχνην τὴν ἡνιοχικὴν ἀναδιδαχθεὶς
ἐπὶ πλέον ἐνομιλήσῃς καὶ ἐνδιατρίψῃς αὐτῇ καὶ ἤδη νομίσῃς ἱκανὸς εἶναι
δύνασθαι κρατεῖν ἵππων, ἀναβὰς ἔχου τῶν ἡνιῶν· οὕτως γὰρ οὔτε
ἀνασκιρτώντων αὐτὸς ἀποπίπτων μετὰ τραυμάτων δυσιάτων γέλωτα παρ'
ἐπιχαιρεκακοῦσιν ὀφλήσεις θεαταῖς οὔτ' ἐξ ἐναντίας ἢ κατόπιν ἐπι- 5
τρεχόντων ἐχθρῶν ἁλώσῃ, τοὺς μέν τάχει φθάνων τῷ προεκδραμεῖν
διώκοντας, τῶν δὲ προσιόντων ἀλογῶν διὰ τὴν τοῦ δύνασθαι ἐξαναχωρεῖν
94 ἀσφαλῶς ἐπιστήμην. (21.) οὐκ εἰκότως οὖν Μωυσῆς ἐπὶ τῇ τῶν
ἀναβατῶν ἄδων ἀπωλείᾳ τοῖς ἵπποις εὔχεται σωτηρίαν παντελῆ;
δύνανται γὰρ οὗτοι χαλινὸν ταῖς ἀλόγοις δυνάμεσιν ἐμβαλόντες αὐτῶν 10
ἐπιστομίζειν τῆς πλεοναζούσης τὴν φορὰν ὁρμῆς. τίς οὖν ἡ εὐχή,
λεκτέον· „γενέσθω" φησί „Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου,
δάκνων πτέρναν ἵππου, καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν
95 περιμένων κυρίου" (Gen. 49,17. 18). δ δ' αἰνίττεται διὰ τῆς εὐχῆς,
μηνυτέον· ἑρμηνεύεται Δὰν κρίσις· τὴν | οὖν ἐξετάζουσαν καὶ ἀκριβοῦσαν p. 315 M.
καὶ διακρίνουσαν καὶ τρόπον τινὰ δικάζουσαν ἕκαστα τῆς ψυχῆς δύναμιν 16
ὡμοίωσε δράκοντι — ζῷον δ' ἐστὶ καὶ τὴν κίνησιν ποικίλον καὶ συνετὸν
ἐν τοῖς μάλιστα καὶ πρὸς ἁλκὴν ἕτοιμον καὶ τοὺς χειρῶν ἄρχοντας
ἀδίκων ἀμύνασθαι δυνατώτατον —, οὐ μὴν τῷ φίλῳ καὶ συμβούλῳ
ζωῆς — Εὔαν πατρίῳ γλώττῃ καλεῖν αὐτὴν ἔθος —, ἀλλὰ τῷ πρὸς 20
Μωυσέως ἐξ ὕλης χαλκοῦ δημιουργηθέντι, ὃν οἱ δηχθέντες ὑπὸ τῶν
ἰοβόλων ὄφεων καίτοι μέλλοντες τελευτήσειν ὁπότε κατίδοιεν ἐπιβιοῦν
96 καὶ μηδέποτε ἀποθνήσκειν λέγονται (Num. 21,8). (22.) ταῦτα δ'
οὕτως μὲν λεγόμενα φάσμασιν ἔοικε καὶ τέρασι, δράκων ἀνθρώπου
προϊέμενος φωνὴν καὶ ἐνσοφιστεύων ἀκακωτάτοις ἤθεσι καὶ πιθανότησιν 25
εὐπαραγώγοις γυναῖκα ἀπατῶν, καὶ ἕτερος αἴτιος σωτηρίας γενόμενος
97 παντελοῦς τοῖς θεασαμένοις. ἐν δὲ ταῖς δι' ὑπονοιῶν ἀποδόσεσι τὸ μὲν
μυθῶδες ἐκποδὼν οἴχεται, τὸ δ' ἀληθὲς ἀρίδηλον εὑρίσκεται· τὸν μὲν
οὖν τῆς γυναικὸς ὄφιν, αἰσθήσεως καὶ σαρκῶν ἐκκρεμαμένης ζωῆς,
ἡδονὴν εἶναί φαμεν, ἰλυσπωμένην καὶ πολυπλοκωτάτην, ἀνεγερθῆναι μὴ 30

---

1 ἀναδιδαχθῆς A 3 οὕτω AG 4. 5 παρ' ἐπιχαιρεκακοῦσιν MA: παρὰ χαιρεκακοῦσιν G[1]H, παρὰ πᾶσι χαιρεκακοῦσιν G[2] 7 δὲ om. GA ἁλόγων MA 8 οὐκ] ras. G 9 ἔχεται MA 10 ἐμβάλλοντες A αὐτῶν MA: αὐτῶν GH 18 ὡμοίωσε H[2]: ὁμοίωσε G, ὁμοίως ἐν MA(H[1]) καὶ prius MAGH[1]: om. H[2] 21 Μωϋσέως M: Μωϋσέος AGH 23 μηδὲ τότε MH[1] 24 φάσκουσιν G 25 ἀκακώτοις coni. Mang. 26 ἕτερος H: ἑτέροις MAG γινόμενος conicio 27 παντελοῦς Mang.: παντελῶς codd. 28 ἀρίδηλον ἀληθὲς H 29 οὖν GH[2]: τοίνυν νοῦν M, οὖν τοίνυν A(H[1]) 30 μὴ om. A

δυναμένην, αἰεὶ καταβεβλημένην, ἐπὶ μόνα τὰ γῆς ἕρπουσαν ἀγαθά,
καταδύσεις τὰς ἐν τῷ σώματι ζητοῦσαν, ὥσπερ ὀρύγμασιν ἢ χάσμασιν
ἑκάστῃ τῶν αἰσθήσεων ἐμφωλεύουσαν, σύμβουλον ἀνθρώπου, φονῶσαν
κατὰ τοῦ κρείττονος, ἰοβόλοις καὶ ἀνωδύνοις γλιχομένην δήγμασιν ἀπο-
κτεῖναι· τὸν δὲ Μωυσέως ὄφιν τὴν ἡδονῆς ἐναντίαν διάθεσιν, καρτερίαν,
παρὸ καὶ τῆς χαλκοῦ κραταιοτάτης ὕλης κατεσκευασμένος εἰσάγεται.
τὸν οὖν ἄκρως καταθεασάμενον τὸ καρτερίας εἶδος, κἂν εἰ δεδηγμένος 98
πρότερον ὑπὸ τῶν φίλτρων ἡδονῆς τυγχάνοι, ζῆν ἀναγκαῖον· ἡ μὲν γὰρ
ἐπανατείνεται ψυχῇ θάνατον ἀπαραίτητον, ἐγκράτεια δ' ὑγείαν καὶ
σωτηρίαν προτείνει βίου. ἀντιπαθὲς δ' ἀκολασίας φάρμακον ἡ ἀλεξί-
κακος σωφροσύνη. παντὶ δὲ σοφῷ τὸ καλὸν φίλον, ὃ καὶ πάντως ἐστὶ 99
p. 316 M. | σωτήριον. ὥσθ' ὅταν εὔχηται Μωυσῆς γενέσθαι τῷ Δὰν ἢ αὐτὸν
ἐκεῖνον ὄφιν — ἑκατέρως γὰρ ἔστιν ἐκδέξασθαι —, παραπλήσιον τῷ
ὑπ' αὐτοῦ κατασκευασθέντι, ἀλλ' οὐχ ὅμοιον τῷ τῆς Εὔας εὔχεται·
τὴν γὰρ εὐχὴν ἀγαθῶν αἴτησιν εἶναι συμβέβηκε. τὸ μὲν οὖν τῆς 100
καρτερίας γένος ἀγαθὸν καὶ οἰστικὸν ἀφθαρσίας, ἀγαθοῦ τελείου, τὸ δὲ
τῆς ἡδονῆς κακὸν τὴν μεγίστην τιμωρίαν ἐπιφέρον, θάνατον. διὸ λέγει·
„γενέσθω Δὰν ὄφις“ οὐχ ἑτέρωθι μᾶλλον ἢ „ἐφ' ὁδοῦ“· τὰ μὲν γὰρ 101
τῆς ἀκρασίας καὶ λαιμαργίας καὶ ὅσα ἄλλα αἱ ἀμέτρητοι καὶ ἄπληστοι,
πληρούμεναι πρὸς τῆς τῶν ἐκτὸς ἀφθονίας, ὠδίνουσι καὶ τίκτουσιν
ἡδοναί, κατὰ λεωφόρου καὶ εὐθυτενοῦς βαίνειν οὐκ ἐπιτρέπει ψυχήν,
φάραγξι δὲ καὶ βαράθροις ἐμπίπτειν ἄχρι τοῦ καὶ διαφθεῖραι παντελῶς
αὐτὴν ἀναγκάζει· τὰ δὲ καρτερίας καὶ σωφροσύνης καὶ τῆς ἄλλης
ἀρετῆς * * * ἐχόμενα μόνα, μηδενὸς ὄντος ἐν ποσὶν ὀλισθηροῦ, ᾧ

---

1 αἰεὶ MAG: ἀεὶ H 3 σύμβουλον GH²: σύμβολον MAH¹, ἐπίβουλον Mang., σύμβουλον ⟨φιληδόνου⟩ coni. Cohn, κακὸν σύμβουλον conicio φωνοῦσαν A 4 ἰοβόλοις H²: ἰοβόροις ceteri 5 Μωσέως codd. τὴν ἡδονῆς ἐναντίαν διάθεσιν καρτερίαν Turn.: τῇ ἡδονῇ ἐναντία διαθέσει, καρτερία codd. (sed ἡδονῆς AH²) 6 παρ' ὃ GH², παρὸν MAH¹ καὶ] κἀκ conicio κραταιοτάτης scripsi: κραταιοτέρας codd. 7—16 οὖν ἄκρως — ἀφθαρσίας ἀγαθοῦ add. m. rec. partim in ras. textus partim in mg. H 7 οὖν] νοῦν A ἄκρως] εἰλικρινῶς coni. Mang. εἰ GH: ἢ MA 8 ὑπὸ] ἀπὸ A 9 δὲ A 9. 10 ὑγείας καὶ σωτηρίας A 10 βίου MA 12 Μωσῆς codd. τῷ Δὰν] τόδε A 13. 14 ἑκατέρως — ἀλλ' om. H 13 ἑκάτερος A 17 φέρον L 20 πληρούμεναι GH²: πειρώμεναι MA(H¹) 21 εὐθυτόνου ut vid. H¹ βαίνειν A 22 φάραξι MG δὲ H: τε MAG ante ἄχρι ras. 3 litt. H καὶ H: om. MAG 23 ἀναγκάζοι A τὰ δὲ GH: τοῖς δὲ M, τῆς δὲ A 24 ἀρετῆς ⟨εὐοδίαν⟩ ψυχῇ παρέχεται μόνα conicio ἐχόμενα μόνα GH²: ἐχομένοις μόνοις MAH¹ ᾧ GH²: ὡς MAH¹

προσπταίσασα κλιθήσεται. προσφυέστατα οὖν ἔχεσθαι τῆς ὀρθῆς ὁδοῦ σωφροσύνην εἶπε, διότι καὶ τὴν ἐναντίαν ἕξιν ἀκολασίαν ἀνοδίᾳ χρῆσθαι
102 συμβέβηκε. (23.) τὸ δὲ „καθήμενος ἐπὶ τρίβου“ τοιοῦτον ὑποβάλλει νοῦν, ὡς γε ἐμαυτὸν πείθω· τρίβος ἐστὶν ἡ τετριμμένη πρός τε
103 ἀνθρώπων καὶ ὑποζυγίων ἱππήλατος καὶ ἁμαξήλατος ὁδός. ταύτῃ φασὶν ἡδονὴν ἐμφερεστάτην εἶναι· σχεδὸν γὰρ ἀπὸ γενέσεως ἄχρι τοῦ μακροῦ γήρως ἐπιβαίνουσι καὶ ἐμπεριπατοῦσι καὶ μετὰ σχολῆς καὶ ῥᾳστώνης ἐνδιατρίβουσι τῇ ὁδῷ ταύτῃ, οὐκ ἄνθρωποι ⟨μόνον⟩, ἀλλὰ καὶ ὅσαι ἄλλαι ἰδέαι τῶν ζῴων εἰσίν· ἓν γὰρ οὐδέν ἐστιν ὃ μὴ πρὸς ἡδονῆς δελεασθὲν εἵλκυσται καὶ ἐμφέρεται τοῖς πολυπλοκωτάτοις δικτύοις αὐτῆς,
104 ἃ πολὺς διεκδῦναι πόνος. αἱ δὲ φρονήσεως καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ὁδοί, καὶ εἰ μὴ ἄβατοι, ἀλλά τοι πάντως ἀτριπτοι· ὀλίγος γὰρ ἀριθμός ἐστι τῶν αὐτὰς βαδιζόντων, οἳ πεφιλοσοφήκασιν ἀνόθως καὶ πρὸς μόνον τὸ καλὸν ἑταιρίαν ἔθεντο, τῶν ἄλλων ἁπάντων
105 ἅπαξ ἀλογήσαντες. „ἐγκάθηται“ οὖν, καὶ οὐχ ἅπαξ, ὅτῳ ζῆλος καὶ φροντὶς εἰσέρχεται καρτερίας, ἵν' ἐξ ἐνέδρας ἐπιθέμενος τὴν ἐθάδα ἡδονήν, πηγὴν ἀενναόων κακῶν, ἐπιφράξῃ καὶ ἐκ τοῦ τῆς ψυχῆς ἀνέλῃ
106 χωρίου. τότε, ὡς φησιν ἀκολουθίᾳ χρώμενος, ἀναγκαίως „δήξεται πτέρναν ἵππου“· καρτερίας γὰρ καὶ σωφροσύνης ἴδιον τὰς τῆς ὑψαυχενούσης κακίας καὶ τοῦ παρατεθηγμένου καὶ ὀξυκινήτου καὶ σκιρτητικοῦ
107 πάθους ἐπιβάθρας διασεῖσαι | καὶ ἀνατρέψαι. (24.) τὸν μὲν οὖν τῆς p. 317 M.
Εὔας ὄφιν εἰσάγει κατ' ἀνθρώπου φονῶντα — λέγει γὰρ ἐν ταῖς ἀραῖς· „αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν“ (Gen. 3,15) —, τὸν δὲ τοῦ Δάν, περὶ οὗ νῦν ἐστιν ὁ λόγος, ἵππου πτέρναν,
108 ἀλλ' οὐκ ἀνθρώπου δάκνοντα· ὁ μὲν γὰρ τῆς Εὔας ἡδονῆς ὢν σύμβολον, ὡς ἐδείχθη πρότερον, ἀνθρώπῳ τῷ καθ' ἕκαστον ἡμῶν ἐπιτίθεται λογισμῷ — φθορὰ γὰρ διανοίας πλεοναζούσης ἡδονῆς ἀπόλαυσίς
109 τε καὶ χρῆσις —· ὁ δὲ τοῦ Δάν, εἰκών τις ὢν ἐρρωμενεστάτης ἀρετῆς

---

1 κληθήσεται G ἔχεσθαι GH²: εὔχεσθαι MAH¹ τῆς ὀρθῆς ὁδοῦ MAG: τῆς ὁδοῦ τῆς ὀρθῆς H 2 εἶπε GH²: εἰπεῖν MAH¹ ἕξιν om. G 5 ταύτῃ MA: ταύτην GH φησὶν H¹ 6 ἡδονὴν MAH¹: ἡδονῇ GH² 7 ἐπιβαίνωσι καὶ ἐμπεριπατῶσι A 8 μόνον add. Mang. 9—11 ἓν — πόνος add. m. rec. in mg. H 14 ἑταιρίαν MG: ἑταιρείαν H, φροντίδα A 14. 15 ἁπαξαπάντων Mang. 15 ὅτῳ] οὕτω L 16 φροντὶς τις G 18—21 τότε — ἀνατρέψαι om. H 18 τότε ὡς A: τὸ τέως MG ἀναγκαίᾳ coni. Mang. 19 τὰς Mang.: τὰ codd. οὐχ post τῆς add. A 21 ἐπὶ βάθρα A 22 κατὰ MH φωνοῦντα A ἐν ταῖς] αὐταῖς G 24 ὁ om. A 25 ὁ GH²: τὸ MAH¹ ὢν GH²: ὃν MAH¹ 26 τῷ] τὸ G¹

καρτερίας, ἵππον, τὸ πάθους καὶ κακίας σύμβολον, δήξεται, διότι σωφροσύνη τὴν τούτων καθαίρεσίν τε καὶ φθορὰν μελετᾷ. δηχθέντων μέντοι καὶ ὀκλασάντων „ὁ ἱππεὺς“ φησί „πεσεῖται“. ὃ δ' αἰνίττεται, 110
τοιοῦτόν ἐστι· καλὸν καὶ περιμάχητον εἶναι νομίζει μηδενὶ τῶν ἐκ
5 πάθους ἢ κακίας τὸν ἡμέτερον ἐποχεῖσθαι νοῦν, ἀλλ' ὁπότ' ἐπιβῆναί τινι αὐτῶν βιασθείη, σπουδάζειν καθάλλεσθαι καὶ ἀποπίπτειν· τὰ γὰρ τοιαῦτα πτώματα φέρει τὰς εὐκλεεστάτας νίκας. διὸ καὶ τῶν πάλαι τις προκληθεὶς ἐπὶ λοιδορίας ἅμιλλαν οὐκ ἂν εἰς τοιοῦτον ἀγῶνα ἔφη ποτὲ παρελθεῖν, ἐν ᾧ χείρων ὁ νικῶν ἐστι τοῦ ἡττωμένου. (25.) καὶ 111
10 σὺ τοίνυν, ὦ οὗτος, μηδέποτ' εἰς κακῶν παρέλθῃς ἅμιλλαν μηδὲ περὶ πρωτείων τῶν ἐν τούτοις διαγωνίσῃ, ἀλλὰ μάλιστα μέν, ἐὰν οἷόν τε ᾖ, σπούδασον ἀποδρᾶναι· ἐὰν δέ που πρὸς ἐρρωμενεστέρας δυνάμεως βιασθεὶς ἀναγκασθῇς διαγωνίσασθαι, μὴ μελλήσῃς ἡττᾶσθαι· τότε γὰρ 112
εὖ μὲν ἔσῃ νενικηκὼς ὁ ἡττώμενος, ἡττώμενοι δ' οἱ νενικηκότες. καὶ
15 μὴ ἐπιτρέψῃς μηδὲ κήρυκι κηρῦξαι μηδὲ βραβευτῇ στεφανῶσαι τὸν ἐχθρόν, ἀλλ' αὐτὸς παρελθὼν τὰ βραβεῖα καὶ τὸν φοίνικα ἀνάδος καὶ στεφάνωσον, εἰ θέλει, καὶ ταῖς ταινίαις ἀνάδησον καὶ κήρυξον αὐτὸς μεγάλῃ καὶ ἀρρήκτῳ φωνῇ κήρυγμα τοιοῦτον· τὸν ἐπιθυμίας καὶ θυμοῦ καὶ ἀκολασίας ἀφροσύνης τε αὖ καὶ ἀδικίας προτεθέντα ἀγῶνα,
20 ὦ θεαταὶ καὶ ἀθλοθέται, ἥττημαι μὲν ἐγώ, νενίκηκε δ' οὑτοσί, καὶ οὕτως ἐκ πολλοῦ τοῦ περιόντος νενίκηκεν, ὥστε καὶ παρὰ τοῖς ἀνταγωνισταῖς ἡμῖν, οὓς εἰκὸς ἦν βασκαίνειν, μὴ φθονεῖσθαι. τὰ μὲν οὖν 113
τῶν ἀνιέρων τούτων ἀγώνων ἆθλα παραχώρησον ἄλλοις, τὰ δὲ τῶν ἱερῶν ὄντως αὐτὸς ἀνάδησαι· ἱεροὺς δὲ μὴ νομίσῃς ἀγῶνας, οὓς αἱ

---

1 πάθους Turn.: πάθος codd. 2 σωφροσύνην A 3 ὁ om. A 4 νομίζει scripsi: νομίζειν codd. 5 ὁπότε MG 6 καθάλλεσθαι m. rec. in mg. H: καθελέσθαι ceteri 7 εὐκλεεστάτους A 8 τοσοῦτον A 9 ποτὲ om. D παρελθεῖν MAGD: παρέλθω H 12. 13 δυνάμεις ὡς βιασθῆς (ῆ vid. corr. ex ει) A 13 ἀναγκασθῇς om. A μελήσης MA 14 ἡττημένος, ἡττημένοι A 17 θέλη (η corr. ex ει) A 18 ἀρρήτω A 19 αὖ H: om. MAG 20 ἥττημαι μὲν ἐγώ G^2H^2: ἥτταται μὲν ἐγώ G^1H^1, ἥτταται μὲν ἔργω MA οὑτοσί Turn.: οὗτος εἰ codd. 21 οὕτως H^2: οὔτος ceteri 22 ἡμῖν om. H^1 οὓς εἰκὸς Mang.: οἷς νῖκος H^2, ὡς νῖκος ceteri 23 ἆθλα Turn.: τοῦ τῶν (τούτων ML) ἄθλων codd. παραχωρήσοντος G δὲ] δὴ M 24 νομίσῃς GH^2: μισῆς MA(H^1)

7—9 D^K fol. 195v Φίλωνος ἐκ τοῦ περὶ γεωργίας: τῶν πάλαι τις — ἡττωμένου. cf. Stobaei Floril. XIX, 4 Hense (etiam p. LXXVI)

πόλεις ἐν ταῖς τριετηρίσιν ἄγουσι θέατρα ἀναδειμάμεναι πολλὰς
ἀνθρώπων δεξόμενα μυριάδας· ἐν | γὰρ τούτοις ἢ ὁ καταπαλαίσας p. 318 M.
τινὰ καὶ ὕπτιον ἢ πρηνῆ τείνας ἐπὶ γῆν ἢ ὁ πυκτεύειν καὶ παγκρατιάζειν
δυνάμενος καὶ μηδεμιᾶς μήτε ὕβρεως μήτε ἀδικίας ἀπεχόμενος φέρεται
114 τὰ πρωτεῖα· (26.) εἰσὶ δ' οἳ σφόδρα καὶ κραταιότατα σιδήρου
τρόπον ἀκονησάμενοι καὶ στομώσαντες ἑκατέραν τῶν χειρῶν περιά-
ψαντες κεφαλὰς καὶ πρόσωπα τῶν ἀντιπάλων ἀποσκάπτουσι καὶ τἆλλα,
ἐπὰν τύχωσι τὰς πληγὰς ἐνεγκόντες, ἀποθραύουσιν, εἶτα βραβείων καὶ
115 στεφάνων τῆς ἀνηλεοῦς ὠμότητος ἕνεκα μεταποιοῦνται. τὰ μὲν γὰρ
ἄλλα ἀγωνίσματα δρομέων ἢ πεντάθλων τίς οὐκ ἂν γελάσαι τῶν εὖ
φρονούντων, ἐπιτετηδευκότων μήκιστα ἐξάλλεσθαι καὶ μετρουμένων
τὰ διαστήματα καὶ περὶ ποδῶν ὠκύτητος ἁμιλλωμένων; οὓς οὐ
μόνον τῶν ἀδροτέρων ζῴων δορκὰς ἢ ἔλαφος ἀλλὰ καὶ τῶν βραχυτάτων
σκυλάκιον ἢ λαγωδάριον μὴ σφόδρα ἐπειγόμενον ῥύμῃ καὶ ἀπνευστὶ
116 θέοντας παραδραμεῖται. τούτων μὲν δὴ τῶν ἀγώνων πρὸς ἀλήθειαν
ἱερὸς οὐδείς, κἂν πάντες ἄνθρωποι μαρτυρῶσιν, οὓς ἀνάγκη πρὸς ἑαυ-
τῶν ψευδομαρτυριῶν ἁλίσκεσθαι· οἱ γὰρ ταῦτα θαυμάζοντες τοὺς
νόμους τοὺς καθ' ὑβριστῶν καὶ τιμωρίας τὰς ἐπὶ ταῖς αἰκίαις ἔθεσαν
117 καὶ δικαστὰς τοὺς περὶ ἑκάστων διαγνωσομένους ἀπεκλήρωσαν. πῶς
οὖν εἰκός ἐστι τοὺς αὐτοὺς ἐπὶ μὲν τοῖς ἰδίᾳ τινὰς αἰκισαμένοις ἀγανακτεῖν
καὶ δίκας κατ' αὐτῶν ἀπαραιτήτους ὠρικέναι, ἐπὶ δὲ τοῖς δημοσίᾳ
καὶ ἐν πανηγύρεσι καὶ θεάτροις στεφάνους καὶ κηρύγματα καὶ ἄλλα
118 τινὰ νομοθετῆσαι; δυεῖν γὰρ ἐναντίων καθ' ἑνὸς εἴτε σώματος εἴτε
πράγματος ὁρισθέντων ἢ εὖ ἢ κακῶς ἐξ ἀνάγκης ἂν ἔχοι θάτερον·
ἄμφω γὰρ ἀμήχανον. πότερον οὖν ἐπαινοῖτ' ἂν δεόντως; ἆρ' οὐ τὸ
τοὺς χειρῶν ἄρχοντας ἀδίκων κολάζεσθαι; ψέγοιτ' ἂν οὖν εἰκότως τὸ

---

1 ἀναδειμάμεναι G (Turn.): ἀναδειμάμενοι MAH post πολλὰς add. δὲ L 2 δεξόμενα scripsi: δεξάμεναι codd. (sed αι corr. H²), δεξάμενα Mang. ἢ] εἰ A ὁ add. Turn.: om. codd. 3 ἢ πρηνῆ τείνας H²: πρὶν ἢ τινὰς ceteri ἢ ὁ Turn.: ἢ ὃν MGH, οἷον A πυκτεύειν scripsi: παλαίειν codd. 4 καὶ om. H² 5 εἰσὶ δ' scripsi: εἰσὶν MAG(H¹), εἰσὶ δὲ H² 6 ⟨ἑαυτοὺς⟩ ἑκατέρᾳ coni. Cohn χειρῶν ⟨καὶ⟩ conicio 7 μέρη post τἆλλα add. Mang. 8 δὲ ante τύχωσι add. H² 9 μεταποιοῦντες MA(H¹) 10 γελάσαιτο A 12 οὓς GH²: om. MAH¹ 13 ἀδροτέρων G: ἀδροτέρων MH, ἀνδρωτέρων A 14 ἀπνευστεὶ A 15–119,2 τούτων — εὐκλεές add. m. rec. in mg. H 16 ἱερῶς A πάντες] πέντε A 16. 17 αὐτὸν corr. ex αὐτῶν A 17 οἱ post θαυμάζοντες add. MA 18 post αἰκίαις add. ἃς L 19 ἀπεκλήρωσε L 23 νομοθετῆσαι MAG: νομοθετεῖν H δυεῖν MAG: δυοῖν H 24 ὡρισθέντων AG ἔχοις MA 25 οὖν ἐπαινοῖτ' ἂν scripsi: συνεπαινοῖτ' ἂν MGH, συνεπαίνει κἂν A, συνεπαινοῖτ' ἂν οὖν v δέοντος AG¹ ἆρ' οὕτω τοὺς A

ἐναντίον, τὸ τιμᾶσθαι· ψεκτὸν δ' οὐδὲν τῶν ἱερῶν, ἀλλὰ πάντως εὐκλεές. (27.) ὁ τοίνυν Ὀλυμπιακὸς ἀγὼν μόνος ἂν λέγοιτο ἐνδίκως 119
ἱερός, οὐχ ὃν τιθέασιν οἱ τὴν Ἥλιν οἰκοῦντες, ἀλλ' ὁ περὶ κτήσεως τῶν θείων καὶ ὀλυμπίων ὡς ἀληθῶς ἀρετῶν. εἰς τοῦτον τὸν ἀγῶνα
5 οἱ ἀσθενέστατοι τὰ σώματα ἐρρωμενέστατοι δὲ τὰς ψυχὰς ἐγγράφονται πάντες, εἶτα ἀποδυσάμενοι καὶ κονισάμενοι πάνθ' ὅσα καὶ τέχνης καὶ δυνάμεως ἔργα δρῶσι, παραλιπόντες οὐδὲν ὑπὲρ τοῦ νικηφορῆσαι. τῶν μὲν οὖν ἀντιπάλων οἱ ἀθληταὶ περίεισιν οὗτοι, πρὸς ἀλλήλους δὲ 120
πάλιν περὶ πρωτείων διαφέρονται· οὐ γὰρ ὁ αὐτὸς τῆς νίκης τρόπος
10 ἅπασιν, ἀλλὰ πάντες ἄξιοι τιμῆς ἀργαλεωτάτους καὶ βαρεῖς ἀνατρέψαντες καὶ καταβαλόντες ἐχθρούς. θαυμασιώτατος δὲ καὶ τούτων ὁ διενεγκών, 121
p. 319 M. ᾧ καὶ τὰ πρῶτα τῶν ἄθλων | οὐ φθονητέον λαμβάνοντι. οἳ δὲ κἂν δευτερείων ἢ τρίτων ἀξιωθῶσι, μὴ κατηφείτωσαν· καὶ γὰρ ταῦτα ἐπ' ἀρετῆς κτήσει προτίθεται, τοῖς δὲ μὴ τῶν ἄκρων ἐφικέσθαι δυναμένοις
15 ἡ τῶν μέσων κτῆσις ὠφέλιμος, λέγεται δὲ ὅτι καὶ βεβαιοτέρα τὸν ἐμφυόμενον ἀεὶ τοῖς ὑπερέχουσιν ἐκφεύγουσα φθόνον. παιδευτικώτατα 122
οὖν εἴρηται τὸ „πεσεῖται ὁ ἱππεύς", ἵν' εἴ τις ἀποπίπτοι [μὲν] κακῶν, ἐγείρηται [δὲ] ἀγαθοῖς ἐπερειδόμενος καὶ συνορθιάζηται. διδασκαλικώτατον δὲ κἀκεῖνο, μὴ πρόσω φάναι, κατόπιν δὲ πίπτειν, ἐπειδὴ κακίας
20 καὶ πάθους ὑστερίζειν ἀεὶ λυσιτελέστατον· φθάνειν μὲν γὰρ τὰ καλὰ 123
δρῶντα δεῖ, τὰ δὲ αἰσχρὰ μέλλειν [καὶ] ἔμπαλιν, κἀκείνοις μὲν προσέρχεσθαι, τούτων δὲ ὑστερίζειν καὶ μακρὸν ὅσον ἀπολείπεσθαι· ᾧ ⟨γὰρ⟩ τῶν ἁμαρτημάτων ἐγγίνεται ⟨καὶ⟩ παθῶν ὑστερίζειν, ἄνοσος διατελεῖ.

---

1 παντὸς A 2—14 ὁ τοίνυν — ἐπ' ἀρετῆς om. L 2 Ὀλυμπικὸς M 3 Ἥλιν GH: ἵλην M, ὅλην A ἀλλ' ὁ GH^2: ἀλλὰ MAH^1 5 τὰ — δὲ om. A ἐγγράφουσι A 6 ἐπαποδυσάμενοι coni. Mang. κονιασάμενοι A 7 παραλείποντες M 8 περίεισιν Turn.: περιΐασιν codd. 9 διαφέρονται scripsi: διαλέγονται codd., διαμιλλῶνται coni. Mang., διαμάχονται coni. Cohn 11 ὁ GH^2: om. MAH^1 12 ἄθλων Mang.: ἀθλητῶν codd. οἳ scripsi: οἱ codd. 14 προτίθεται A Turn.: προστίθεται MGH ἐφικέσθαι GH^2: φείδεσθαι MA(H^1) 15—120,6 λέγεται — τρέπεσθαι add. m. rec. in mg. H 16 ὑπάρχουσιν MA ἐκφεύγουσι A 17 ἱππεὺς ⟨εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περιμένων κυρίου⟩ conicio ἵν' εἴ] ἐάν coniciebam ἀποπίπτοι Cohn: ἀποπίπτῃ codd., ἀποπίπτει Turn. μὲν et δὲ secl. Cohn 18 ἐγείρεται G δὲ] δὴ Mang. συνορθιάζηται Cohn: συνορθιάζῃ MAH, συνορθιάζει GL, συνορθιασθῇ Mang. 18. 19 διδασκαλικώτατον scripsi: διδασκαλικώτερον codd. 21 καὶ om. A: habent ceteri κἀκείνοις] ἐκείνοις v 21. 22 προσέχεσθαι coni. Mang. 22 μακρὰν A ᾧ Turn.: ὃ codd. 22. 23 ᾧ — διατελεῖ om. A 22 γὰρ add. Mang. 23 καὶ παθῶν Mang.: πάθους MGH ἄνοσος διατελεῖ Turn.: ἀνόσως διατελεῖν MGH

τὴν γοῦν „παρὰ τοῦ θεοῦ σωτηρίαν περιμένειν“ φησὶν αὐτόν, ἵνα ἐφ' ὅσον ἀπελείφθη τοῦ ἀδικεῖν, ἐπὶ τοσοῦτον τῷ δικαιοπραγεῖν ἐπιδράμῃ.

124 (28.) Περὶ μὲν οὖν ἱππέως καὶ ἀναβάτου, κτηνοτρόφου τε καὶ ποιμένος, ἔτι δὲ γῆν ἐργαζομένου καὶ γεωργοῦ τὰ προσήκοντα εἴρηται, καὶ αἱ καθ' ἑκάστην συζυγίαν ὡς οἷόν τε ἦν ἠκρίβωνται διαφοραί.

125 πρὸς δὲ τὰ ἀκόλουθα καιρὸς ἤδη τρέπεσθαι. τὸν οὖν ἐφιέμενον ἀρετῆς οὐ παντελῆ κεκτημένον τὴν γεωργικῆς ψυχῆς ἐπιστήμην εἰσάγει, ἀλλ' αὐτὸ μόνον περὶ τὰς ἀρχὰς αὐτῆς πεπονημένον· λέγει γάρ· „ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργός“. ἀρχὴ δ', ὁ τῶν παλαιῶν λόγος, ἥμισυ τοῦ παντός, ὡς ἂν ἡμίσει πρὸς τὸ τέλος ἀφεστηκυῖα, οὗ μὴ

126 προσγενομένου καὶ τὸ ἄρξασθαι πολλάκις μεγάλα πολλοὺς ἔβλαψεν. ἤδη γοῦν τινες καὶ τῶν οὐκ εὐαγῶν τῆς διανοίας κατὰ τὰς συνεχεῖς μεταβολὰς στροβουμένης ἔννοιαν χρηστοῦ τινος ἔλαβον, ἀλλ' οὐδὲν ὤνηντο· ἔστι γὰρ μὴ πρὸς τὸ τέλος ἡξάντων φορὰν ἀθρόον τῶν ἐναντίων καταρραγεῖσαν ἐπικλύσαι καὶ τὸ χρηστὸν ἐκεῖνο διαφθαρῆναι νόημα.

127 (29.) οὐ διὰ τοῦτο μέντοι δόξαντι θυσίας ἀμέμπτους ἀναγαγεῖν τῷ Κάιν λόγιον ἐξέπεσε μὴ θαρρεῖν ὡς κεκαλλιερηκότι; μὴ γὰρ ἐφ' ἱεροῖς καὶ τελείοις βουθυτῆσαι· τὸ δὲ λόγιόν ἐστι τοιόνδε· „οὐκ ἐὰν ὀρθῶς

128 προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς“ (Gen. 4, 7). ὀρθὸν μὲν οὖν ἡ τοῦ θεοῦ τιμή, τὸ δὲ ἀδιαίρετον οὐκ ὀρθόν. ὃν δ' ἔχει καὶ τοῦτο λόγον, ἴδωμεν· εἰσί τινες οἱ τὸ εὐσεβὲς ἐν τῷ πάντα φάσκειν ὑπὸ

129 θεοῦ γενέσθαι, τά τε καλὰ καὶ τὰ ἐναντία, περιγράφοντες· πρὸς οὓς ἂν λέγοιμεν, ὅτι τὸ μὲν ὑμῶν | ἐπαινετόν ἐστι τῆς δόξης, τὸ δ' p. 320 M.
ἔμπαλιν ψεκτόν, ἐπαινετὸν μέν, ὅτι τὸ μόνον θαυμάζετε τίμιον, ψεκτὸν δὲ αὖ, παρόσον ἄνευ τομῆς καὶ διαιρέσεως· ἔδει γὰρ μὴ φῦραι

---

2 τῷ] τὸ A 3 καὶ κτηνοτρόφου G 5 αἱ GH: om. MA ἦν om. H 7 τὴν GH²: τῆς A, τὴν τῆς M(H¹) γεωργικὴν coni. Cohn (cf. I 283,22) ἐπιστήμην om. H¹ 8 αὐτῶ A αὐτῆς A πεποιημένον G 9 ἄρχει M δ'] δ' ὡς ὁ H² λόγων G 10 ἥμισυ] εἰ μὴ σὺ A ὡς Turn.: ὃς codd. ἡμίσει H: μισεῖ G, μισῆ MA πρὸς τὸ τέλος] τοῦ τέλους coni. Mang. ἀφεστηκυῖα scripsi: ἀφέστηκεν codd. 13 οὐδὲν ὤνηντο MG(H¹): οὐδ' ἀνόνητον A, οὐδὲν ὄναιντο H², οὐδὲν ὤναντο v 14 ἔστι γὰρ μὴ H²: τοῦ γὰρ MAG(H¹) τὸ om. H εἰξάντων A φθορὰν L ἀθρόον τῶν Mang.: ἀθροῦν τῶν A, ἀθρούντων MGH 15 διαφθεῖραι H² 17 ὡς] ὡς καὶ A 18 ἐὰν] ἂν A 19 δὲ om. A 21 εἴδωμεν A 22 περιγράφοντες H²: om. ceteri 24 θαυμάζετε scripsi: θαυμάζει H², θαυμάζειν ceteri 25 αὖ scripsi: οὐ codd., om. v παρ' ὅσον codd. post φῦραι add. καὶ μολῦναι A

καὶ συγχέαι πάντων ἀθρόως ἀποφήναντας αἴτιον, ἀλλὰ μετὰ διαστολῆς
μόνων ὁμολογῆσαι τῶν ἀγαθῶν. ἄτοπον γὰρ ἱερέων μὲν πρόνοιαν 130
ἔχειν, ὡς ὁλόκληροι τὰ σώματα καὶ παντελεῖς ἔσονται, τῶν τε κατα-
θυομένων ζῴων, ὡς οὐδὲν οὐδεμιᾷ τὸ παράπαν ἀλλ' οὐδὲ τῇ βραχυτάτῃ
χρήσεται λώβῃ, καί τινας δεῖ ὅσους ἐπ' αὐτὸ τοῦτο χειροτονεῖν τὸ
ἔργον, οὓς ἔνιοι μωμοσκόπους ὀνομάζουσιν, ἵνα ἄμωμα καὶ ἀσινῆ
προσάγηται τῷ βωμῷ τὰ ἱερεῖα, τὰς δὲ περὶ θεοῦ δόξας ἐν ταῖς
ἑκάστων ψυχαῖς ὑποσυγκεχύσθαι καὶ μὴ κανόνι ὀρθοῦ λόγου διακεκρίσθαι.
(30.) τὸν κάμηλον οὐχ ὁρᾷς ὅτι ἀκάθαρτον εἶναί φησι ζῷον ὁ νόμος, 131
ἐπειδὴ μηρυκᾶται μέν, οὐ διχηλεῖ δέ (Lev. 11,4); καίτοι γε πρὸς τὴν
ῥητὴν ἐπίσκεψιν οὐκ οἶδ' ὃν ἔχει λόγον ἡ προσαποδοθεῖσα ⟨αἰτία⟩,
πρὸς δὲ τὴν δι' ὑπονοιῶν ἀναγκαιότατον· ὥσπερ γὰρ τὸ μηρυκώμενον 132
τὴν προκαταβληθεῖσαν ὑπαναπλέουσαν αὖθις ἐπιλεαίνει τροφήν, οὕτως
ἡ ψυχὴ τοῦ φιλομαθοῦς, ἐπειδάν τινα δι' ἀκοῆς δέξηται θεωρήματα,
λήθῃ μὲν αὐτὰ οὐ παραδίδωσιν, ἠρεμήσασα δὲ καθ' ἑαυτὴν ἕκαστα
μεθ' ἡσυχίας τῆς πάσης ἀναπολεῖ καὶ εἰς ἀνάμνησιν τῶν πάντων
ἔρχεται. μνήμη δ' οὐ πᾶσα ἀγαθόν, ἀλλ' ἡ ἐπὶ μόνοις τοῖς ἀγαθοῖς, 133
ἐπεὶ τό γε ἄλησται εἶναι τὰ κακὰ βλαβερώτατον· οὗ ἕνεκα πρὸς
τελειότητα χρεία τοῦ διχηλεῖν, ἵνα τοῦ μνημονικοῦ δίχα τμηθέντος ὁ
λόγος διὰ στόματος, οὗπερ διττὰ ἡ φύσις [διττὰ] εἰργάσατο χεῖλη, ῥέων
διαστείλῃ τό τε ὠφέλιμον καὶ τὸ ἐπιζήμιον μνήμης γένους εἶδος. ἀλλ' 134
οὐδὲ τὸ διχηλεῖν ἄνευ τοῦ μηρυκᾶσθαι καθ' ἑαυτὸ φαίνεταί τινα ἔχειν
ὄνησιν ἐξ αὐτοῦ. τί γὰρ ὄφελος τὰς φύσεις τῶν πραγμάτων τέμνειν

---

1 οὐ ante πάντων add. v ἀποφήναντας αἴτιον Mang. ex cod. Coll. S. Trin. B. 9. 6: ἀποφήνας ἀναίτιον MAH, ἀποφήνασαν αἴτιον G, ἀποφῆναι ἀναίτιον Turn. 3 τε H^2: om. ceteri 5 χρήσεται codd.: χρήσηται Mang. τίνας v δεῖ ὅσους] latet substantivum, velut καί τινας ἱεροσκόπους (διόπους Cohn) καὶ post δεῖ add. v 8 ὑποσυγκεχύσθαι scripsi: ἐπισυγκεχύσθαι codd. 9 εἶναί φησι MAG: φησὶν εἶναι H 10 μαρυκᾶται MAG οὐχὶ A 11 αἰτία addidi 19 μνημονευτικοῦ A 20 οὗπερ scripsi: ὥσπερ codd. διττὰ scripsi: ἅττα MGH, ατὰ (sic) A διττὰ seclusi ἐργάσαιτο A χεῖλη, ῥέων scripsi: ῥέων χεῖλη codd. χείλει A 21 γένους secludit Mang. 22 καθ' ἑαυτῶ AG post φαίνεται add. καθ' ἑαυτῶ A ἔχει AG 23 αὐτοῦ H^2: αὐτοῦ ceteri τὰς φύσεις H^2: τὰ φύσει ceteri

---

9 sqq. *Origenes Homil. VII 6 in Levit. p. 226, Selecta in Deut. p. 389:* τὸ μὲν διχηλεῖν ἐπὶ τῆς ὁπλῆς τὴν πορείαν, καθ' ἣν πρὸς πᾶν ὁτιοῦν ἐρχόμεθα τῶν ἀγαθῶν σπουδασμάτων, ἐμφάνειεν (ἐμφαίνοι ἂν?), ὁ δὲ μηρυκισμὸς τὸ ἄνω τε καὶ κάτω ποιεῖν τῆς θεοπνεύστου γραφῆς τοὺς λόγους καὶ οἷον ἀναμασᾶσθαι καὶ καταλεπτύνειν ἐρεύναις τὰ κεκρυμμένα τῶν θεωρημάτων. cf. *Contra Celsum VI 16 p. 642* et *Aristeae Epistulam p. 40,9 sqq. Schmidt*

ἄνωθεν ἀρξάμενον μέχρι τῶν λεπτοτάτων, εἰς τοὔσχατον ⟨δὲ⟩ αὐτὸ μηκέτι γίνεσθαι μηδὲ ἔχειν διαιρετὰ τὰ μέρη, ἅπερ ἄτομα καὶ ἀμερῆ
135 πρὸς ἐνίων εὐθυβόλως ὀνομάζεται; ταῦτα γὰρ συνέσεως μὲν καὶ περιττῆς ἀκριβείας ἠκονημένης εἰς ὀξυτάτην ἀγχίνοιαν ἐναργῆ δείγματ' ἐστίν, ὄνησιν δὲ οὐδεμίαν πρὸς καλοκἀγαθίαν καὶ | ἀνεπιλήπτου βίου p. 321 M.
136 διέξοδον ἔχει. (31.) καθ' ἑκάστην γοῦν ἡμέραν ὁ πανταχοῦ τῶν 6
σοφιστῶν ὅμιλος ἀποκναίει τὰ ὦτα τῶν παρατυγχανόντων ἀκριβολογούμενος καὶ τὰς διπλᾶς καὶ ἀμφιβόλους λέξεις ἀναπτύσσων καὶ τῶν πραγμάτων ὅσα δοκεῖ μεμνῆσθαι — πέπηγε δὲ καὶ πλειόνων — διακρίνων. ἢ οὐχ οἱ μὲν τὰ στοιχεῖα τῆς ἐγγραμμάτου φωνῆς εἴς τε 10
ἄφωνα καὶ φωνήεντα τέμνουσιν; ἔνιοι δὲ τὸν λόγον εἰς τὰ ἀνωτάτω
137 τρία, ὄνομα, ῥῆμα, σύνδεσμον; μουσικοὶ δὲ τὴν ἰδίαν ἐπιστήμην εἰς ῥυθμόν, εἰς μέτρον, εἰς μέλος, καὶ τὸ μέλος εἴς τε τὸ χρωματικὸν καὶ ἐναρμόνιον καὶ διατονικὸν εἶδος καὶ διὰ τεσσάρων καὶ διὰ πέντε καὶ διὰ πασῶν, συνημ-
138 μένων τε καὶ διεζευγμένων μελῳδίας; γεωμέτραι δὲ εἰς τὰς γενικω- 15
τάτας δύο γραμμὰς εὐθεῖάν τε καὶ περιφέρειαν; καὶ οἱ ἄλλοι τεχνῖται εἰς τὰς καθ' ἑκάστην ἐπιστήμην ἰδέας τὰς ἀπὸ τῶν πρώτων ἄχρι τῶν
139 ὑστάτων; ᾧ συνεπηχείτω μέντοι καὶ τῶν φιλοσοφούντων χορὸς ἅπας τὰ εἰωθότα διεξιών, ὅτι τῶν ὄντων τὰ μέν ἐστι σώματα, τὰ δ' ἀσώματα· καὶ τὰ μὲν ἄψυχα, τὰ δὲ ψυχὴν ἔχοντα· καὶ τὰ μὲν λογικά, 20
τὰ δ' ἄλογα· καὶ τὰ μὲν θνητά, τὰ δὲ θεῖα· καὶ τῶν θνητῶν τὸ μὲν
140 ἄρρεν, τὸ δὲ θῆλυ, τὰ ἀνθρώπου τμήματα· καὶ πάλιν τῶν ἀσωμάτων

---

1 ἀρξαμένῳ coni. Jessen δὲ add. Benzelius αὐτὸ M: αὐτῶ AGH¹, αὐτὸ H², ἑαυτῷ Turn. 2 μὴ ἐξικνεῖσθαι conicio γίνεσθαι] δύνασθαι coni. Mang. μηδ' A ἅπερ H²: om. ceteri ἄτομα H²: ἄτοπα ceteri 3 ἐνίων] ἐνοιῶν A 4 περιττῆς] περὶ γῆς A ἠκονημένης GH²: ἠκονημένην MAH¹ ἐναργῆ GH²: ἐνεργῆ MAH¹ 6 καὶ καθ' A 7 ἀποκναίει H²: ἀποκνεῖ MGH¹, ἀπόκνει A, ἀποκνήει L 8 λέξεις GH²: ἐλέγξεις MAH¹ 9 μεμνῦσθαι conicio πέπηγε codd.: πέφυκε coni. Mang. μεμήνυται δὲ καὶ πλείονα conicio 10 ἢ om. A 11 ἔνι A 13 εἰς μέλος εἰς μέρος G μέτρον Mang. (cf. Testim.): μέρος codd. alterum μέλος Benzelius: μέρος codd. 14 καὶ ⟨συμφωνίας τὰς⟩ διὰ conicio 15 γεωμέτραι Turn.: γεωμετρία codd. 16 περιφάνειαν A, περιφερῆ conicio 17 ἰδέας τὰς scripsi: ἰδικὰς codd., ἰδέας v 18 ᾧ Turn.: ὡς A, ὁ M, δ GH συνεπηχείτω H: συνεπιχείτω G, συνεπηχειτο M (sine accentu), ἐπηχείτω A 19 δὲ G 20 καὶ ⟨τῶν σωμάτων⟩ τὰ conicio 21 δὲ MG 22 θῆλυ H: γυνή MAG καὶ scripsi: ἢ codd. ἀσωμάτων] κατηγορημάτων coni. Turn.

---

12 sqq. cf. Aristidis Quintiliani librum I, Anonymum Bellermanni II 30, Alypii prooemium p. 367 Ian. 18—123,11 cf. Laert. Diog. VII 63 sqq.

τὰ μὲν τέλεια, τὰ δὲ ἀτελῆ· καὶ τῶν τελείων τὰ μὲν ἐρωτήματα καὶ πύσματα ἀρατικά τε αὖ καὶ ὁρκικὰ καὶ ὅσαι ἄλλαι τῶν κατ' εἶδος ἐν ταῖς περὶ τούτων στοιχειώσεσιν ἀναγράφονται διαφοραί, τὰ δὲ πάλιν ἃ διαλεκτικοῖς ἔθος ὀνομάζειν ἀξιώματα· καὶ τούτων τὰ μὲν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ· καὶ τῶν οὐχ ἁπλῶν τὰ μὲν συνημμένα, τὰ δὲ παρασυνημ- 141
μένα τὸ μᾶλλον ἢ ἧττον, καὶ προσέτι δὲ διεζευγμένα καὶ ἄλλα τοιουτότροπα, ἔτι δ' ἀληθῆ τε καὶ ψευδῆ καὶ ἄδηλα, δυνατά τε καὶ ἀδύνατα [καὶ τὰ μὲν φθαρτὰ καὶ ἄφθαρτα] καὶ ἀναγκαῖα καὶ οὐκ ἀναγκαῖα, καὶ εὔπορά τε καὶ ἄπορα καὶ ὅσα συγγενῆ τούτοις· πάλιν δὲ τῶν ἀτελῶν αἱ εἰς τὰ λεγόμενα κατηγορήματα καὶ συμβεβηκότα καὶ ὅσα τούτων ἐλάττω διαιρέσεις προσεχεῖς. (32.) κἂν ἔτι παραθῇξας ὁ νοῦς 142
εἰς τὸ λεπτότερον ἑαυτόν, καθάπερ ἰατρὸς τὰ σώματα, τὰς τῶν πραγμάτων φύσεις ἀνατέμνῃ, πλέον οὐδὲν πρὸς ἀρετῆς κτῆσιν ἐργάσεται, ἀλλὰ διιχνήσει μὲν διαστέλλειν καὶ διακρίνειν ἕκαστα δυνάμενος, οὐ μηρυκηθήσεται δέ, ὡς ὠφελίμῳ χρῆσθαι τροφῇ κατὰ τὰς ὑπομνήσεις τὴν ἐξ ἁμαρτημάτων ἐπιγεγενημένην τραχύτητα ψυχῇ λεαινούσῃ καὶ
p. 322 M. | προσηνῇ καὶ λείαν τῷ ὄντι κίνησιν ἀπεργαζομένῃ. μυρίοι οὖν τῶν 143
λεγομένων σοφιστῶν θαυμασθέντες κατὰ πόλεις καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν ἐπὶ τιμὴν ἐπιστρέψαντες ἕνεκα ἀκριβολογίας καὶ τῆς περὶ τὰς εὑρέσεις δεινότητος ἀνὰ κράτος τοῖς πάθεσι ἐγκατεγήρασαν καὶ ἐγκατέτριψαν τὸν βίον οὐδὲν ἰδιωτῶν ἠμελημένων καὶ φαυλοτάτων διενεγκόντες ἀνθρώπων· διὸ καὶ παγκάλως τοὺς οὕτω βιοῦντας τῶν 144
σοφιστῶν ὁ νομοθέτης τῷ συῶν παραβάλλει γένει διαυγεῖ μὲν οὐδενὶ καὶ καθαρῷ θολερῷ δὲ καὶ βορβορώδει βίῳ καὶ τοῖς αἰσχίστοις ἐμφερο-

---

2 πτύσματα A ἀρατικά Menagius ad Laert. Diog. VII 66: ἐρωτικά codd. 4 ἔθος MAG: ἔθος ἐστὶν H μὲν διπλᾶ A δὲ H 5. 6 τὰ δὲ παρασυνημμένα om. A 6 ἢ AGH: om. M καὶ ἄλλα om. G 7 ἔτι scripsi: εἰ MAGH¹, ἢ H², τὰ v ante ψευδῆ ras. in H 8 καὶ—ἄφθαρτα delevi, φανερὰ καὶ ἀφανῆ coni. Mang. 9 εὔπορά τε καὶ ἄπορα Turn.: ἀπορά τε καὶ εὔπορα codd. σύνεγγυς A πάλιν in ras. H² δὲ H: τὲ MAG 11 ἐλάττω Turn.: ἔλαττον codd. 13 ἀνατέμνῃ Turn.: ἀνατέμνει codd. ἐργάζεται H 14. 15 οὐ μὴ ῥηθήσεται MAH¹ 15 μηρυκήσεται conicio 16 ἐπιγεγενημένην] ἐπήγαγεν ἠμμένην A 16. 17 λεαίνων et ἀπεργαζόμενος conicio 17 προσηνῇ Mang.: πεινῆν MG, πεῖναν AH λείαν H: λίαν MAG 19 τιμὴν scripsi: τιμῇ codd. (τομῇ L) 20 δεινότητας MA ἐγκατεγήρασαν Mang.: κατεγήρασαν codd. 21 ἐγκατέτριψαν scripsi: κατέτριψαν codd. 23 συῶν] συνὸν A 24 βορβορώδει Mang. (cf. Testimonia): βαραθρώδει codd. 24. 124,1 ἐμφερομένους H²: ἐμφερόμενον MA(H¹), ἐμφερομένοις G, ἐμφερομένοις v, ἐμφυρομένῳ coni. Mang., ἐμφερομένων coniciebam

---

17 cf. Epicurea fragm. 411 23. 24 cf. Heracliti fragm. 53. 54 Byw.

145 μένους. τὸν γὰρ σῦν ἀκάθαρτον εἶναί φησιν, ὅτι διχηλεῖ μέν, οὐ μηρυκᾶται δέ (Lev. 11,7), ὡς τὸν κάμηλον διὰ τὴν ἐναντίαν πρόφασιν, ὅτι μηρυκώμενος οὐ διχηλεῖ. ὅσα μέν⟨τοι⟩ τῶν ζῴων ἀμφοτέρων μετέχει, καθαρὰ εἰκότως ἀναγράφεται, ὅτι τὴν περὶ ἑκάτερον τῶν λεχθέντων ἀτοπίαν ἐκπέφευγε. καὶ γὰρ διαίρεσις ἄνευ μνήμης καὶ μελέτης καὶ διεξόδου τῶν ἀρίστων * * * ἀγαθὸν ἀτελές, ἡ δ' ἀμφοῖν
146 εἰς ταὐτὸ σύνοδός τε καὶ κοινωνία τελειότατον. (33.) τελειότητα δὲ καὶ οἱ δυσμενεῖς τῆς ψυχῆς καταπτήσσουσιν, ὧν μηκέτι ἐπανίστασθαι δυναμένων ἡ ἀψευδὴς εἰρήνη κρατεῖ. ἡμιέργου δ' ὅσοι σοφίας ἢ πάλιν ἡμιπαγοῦς ἔλαχον, ἀσθενέστεροι ἢ ὥστε ἁμαρτημάτων ἐκ πολλοῦ συγκεκροτημένων καὶ πρὸς ἀλκὴν ἐπιδεδωκότων ἐναντιοῦσθαι στίφεσι.
147 διὰ τοῦθ' ὅταν ἐν τῷ τοῦ πολέμου καιρῷ ποιῆται τῆς στρατιᾶς κατάλογον, οὐχ ἅπασαν καλεῖ τὴν νεότητα, κἂν μετὰ προθυμίας τῆς πάσης αὐτοκελεύστῳ χρῆται πρὸς ἐχθρῶν ἄμυναν ἑτοιμότητι, προστάττει δὲ ἀπιόντας οἴκοι καταμεῖναι, ὡς ἂν ἐκ συνεχοῦς μελέτης τὴν τοῦ ποτε δύνασθαι νικᾶν ἀνὰ κράτος ἰσχύν τε καὶ ἐμπειρίαν εὕρωνται κραταιοτάτην.
148 ἡ δὲ πρόσταξις διὰ τῶν τῆς στρατιᾶς γραμματέων γίνεται, ὅταν ὁ πόλεμος ἐγγὺς καὶ ἐπὶ θύραις ὢν ἤδη τυγχάνῃ· ταυτὶ δὲ φήσουσι· „τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῇ πολέμῳ καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. καὶ τίς ὃς ἐφύτευσεν ἀμπελῶνα καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. καὶ τίς ἐμνηστεύσατο γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος | λήψεται αὐτήν“ p. 323 M.
149 (Deut. 20,5—7). (34.) διὰ τί γάρ, εἴποιμ' ἄν, ὦ θαυμασιώτατε, οὐχὶ

---

2 μαρυκᾶται MA 3 μέντοι scripsi: μὲν codd., δὲ v 4 ὅτι τὴν περὶ MAG: ὅτιπερ τὴν H, ὅτιπερ Turn. ἑκάτερον scripsi: θατέραν MGH, θάτερα A, ἑκατέραν Turn. 5 διαίρεσις Mang. ex cod. Coll. Nov. 143: αἵρεσις ceteri καὶ μνήμη χωρὶς διαιρέσεως τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων suppleo 6 ἀγαθῶν A 7 τελειότητι MAH¹ 8 καταπτύσσουσιν A 9 ἡμιέργου] εἰ μὴ ἔργου A πόλιν A 10 ἡμιπαγοῦς om. A 11 στίφεσι H²: στέφεσι MAG¹H¹, στήφησι ut vid. G² 12 τοῦτο A ἐν] μὲν A ποιῆσαι L 13 τῆς πάσης] ἁπάσης Turn. 14 προστάττει GH²: πρὸς ταυτὶ MA(H¹) 16 εὑρών τε M 18 post πόλεμος ras. H θύραις H²: θύρας ceteri ὢν in ras. H² τυγχάνει H 19 ἀνεκαίνισεν A 20 αὐτοῦ v 20. 21 ἐν πολέμῳ G 20—22 πορευέσθω—ἐξ αὐτοῦ om. G 23 αὐτοῦ v 25 αὐτοῦ v 27 ante διὰ lacunam statuam

τούτους μᾶλλον ἑτέρων εἰς τὸν ἀγῶνα τοῦ πολέμου κατατάττειν ἀξιοῖς, οἳ γύναια καὶ οἰκίας καὶ ἀμπελῶνας καὶ τὴν ἄλλην κτῆσιν ἀφθονωτάτην περιπεποίηνται; τοὺς γὰρ περὶ τῆς τούτων ἀσφαλείας κινδύνους, καὶ εἰ πάντως εἶεν βαρύτατοι, κουφότατα οἴσουσιν· ἐπεὶ οἷς γε τῶν λεχθέντων οὐδὲν πρόσεστιν, ἅτε μηδὲν ἔχοντες ἀναγκαῖον ἐνέχυρον ὄκνῳ καὶ ῥᾳθυμίᾳ τὰ πολλὰ χρήσονται. ἢ παρόσον οὐδενὸς τῶν κτη- 150
θέντων ἀπολελαύκασιν, εἶτα μηδ' ὕστερον δυνηθῶσιν ἀπολαῦσαι; τοῖς γὰρ κρατηθεῖσι τῷ πολέμῳ τίς ἀπολείπεται τῶν κτηθέντων ὄνησις; ἀλλ' οὐχ ἁλώσονται; εὐθὺς μὲν οὖν τό γε ἐπὶ τοῖς ἀστρατεύτοις πείσονται· οἴκοι γὰρ καθεζομένων καὶ τρυφώντων ἀνάγκη τοὺς τὰ τοῦ πολέμου συντόνως δρῶντας ἐχθροὺς οὐχ ἁναιμωτὶ μόνον ἀλλὰ καὶ ἀκονιτὶ κρατεῖν. ἀλλὰ τὸ τῶν ἄλλων συμμάχων πλῆθος καὶ τὸν ὑπὲρ τούτων 151
ἀγῶνα προθύμως ἀναδέξεται; πρῶτον μὲν ἄτοπον ἐπὶ ταῖς ἑτέρων σπουδαῖς ἢ τύχαις ὁρμεῖν, καὶ μάλιστα ὅτε περὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ πορθήσεως ἴδιός τε καὶ κοινὸς ἐπικρέμαται κίνδυνος, δυναμένους συνδιαφέρεσθαι τὰ τοῦ πολέμου καὶ μήθ' ὑπὸ νόσου μήθ' ὑπὸ γήρως μήθ' ὑπ' ἄλλης κακοπραγίας μηδεμιᾶς κωλυομένους. ἁρπάσαντας γὰρ δεῖ τὰ ὅπλα ἐν ταῖς πρώταις φάλαγξι τούτους καὶ ὑπερέχειν τῶν συμμάχων τὰς ἀσπίδας ἐκθύμως καὶ φιλοκινδύνως μαχομένους. (35.) ἔπειτ' οὐ προδοσίας μόνον, ἀλλὰ καὶ πολλῆς 152
ἀναλγησίας ἐξενηνοχότες ἂν εἶεν δείγματα, εἰ οἱ μὲν ἄλλοι προπολεμήσουσιν, αὐτοὶ δὲ πρὸς τοῖς οἰκείοις πράγμασιν ἔσονται, καὶ οἱ μὲν τοὺς ὑπὲρ τῆς ἐκείνων σωτηρίας ἀγῶνας ἀναρρίπτειν θελήσουσιν, οἱ δὲ οὐδὲ τοὺς ὑπὲρ ἑαυτῶν ἀναδέξονται, καὶ οἱ μὲν ἀσιτίας καὶ χαμευνίας καὶ τὰς ἄλλας σώματός τε καὶ ψυχῆς κακώσεις ἄσμενοι διὰ τὸν τοῦ νικῆσαι πόθον καρτερήσουσιν, οἱ δὲ κονιάματα καὶ λήρους, κόσμον ἄψυχον, οἰκίαις περιτιθέντες ἢ τὴν κατ' ἀγροὺς ὀπώραν δρεπόμενοι

---

3 περιπεποίηνται] περι s. s. H^2 4 καὶ] κἂν Mang. καὶ πάντως εἰ ἐν βαρύτητι A κουφότατοι G^1 6 παρ' ὅσον codd. 9 πείσονται H^2: om. ceteri 10 τρυφόντων GH τοὺς τὰ] τὰς A τοῦ om. H^1 11 ἐχθροὺς om. L ἀκονιτὶ M: ἀκονητὶ AGH 14 ὁρμὴν A 16 δυναμένους MA: δυναμένοις GH ὑπὸ νόσου μήθ' om. G 17 κωλυομένους codd.: κωλυομένοις Mang. 18 δεῖ] δὴ A, ἔδει conicio τούτους H^2: ταύταις ceteri, αὐταῖς conicio 19 ὑπερέχων A 20 ἔπειτ' οὐ MG^2H: ἐπεὶ τοῦ G^1, ἐπεὶ τὰ A 21 ἂν G^2: om. ceteri 21. 22 προπολεμήσωσιν A, πολεμοῦσι L 22 τοὺς om. A 23 ἀνερρείπτειν A 24 τοὺς] τὰς A ἀναδείξονται A 26 κλήρους A 27 οἰκίας A περιτιθέντες H: περιτιθέντας MAG ἢ] οἱ A κατ' ἀγροὺς G^2H: καταγρῶτ' M, καταγροτ G^1, κατ' ἀγρῶ τὲ A σποράν H

καὶ τἀπιλήνι' ἄγοντες ἢ ταῖς ὁμολογηθείσαις ἔκπαλαι παρθένοις νῦν
πρῶτον εἰς ὁμιλίαν ἐρχόμενοι καὶ συνευναζόμενοι ὡς ἐν ἐπιτηδειοτάτῳ
153 τοῦ γαμεῖν καιρῷ διατελοῦσι; καλόν γε τοίχων ἐπιμελεῖσθαι, προσόδους
ἐκλέγειν, ἑστιᾶσθαι, μεθύειν, θαλαμεύεσθαι, νυμφοστολεῖσθαι τὰς
γεγηρακυίας καὶ σαπράς, τὸ λεγόμενον, ἀλλ' εἰρήνης ἔργα, ἐν δ' ἔτι
154 ἡβῶντός τε καὶ ἀνθοῦντος ἀκμῇ πολέμου πάντα δρᾶν. ἢ τούτων οὐχ
ὁ πατήρ, οὐκ ἀδελφός, οὐ τῶν ἀφ' αἵματος οὐδείς, οὐ γένους ἐστράτευται, ἀλλὰ πανοίκιος αὐτοῖς ἐμπεφώλευκεν | ἡ δειλία; ἀλλὰ πάντως p. 324 M.
εἰσὶ μυρίοι τῶν συγγενῶν ἀγωνιζόμενοι. τούτων οὖν τὸν ὑπὲρ τῆς
ψυχῆς κίνδυνον αἱρομένων οἱ χλιδῶντες καὶ ἁβροδιαίτως ζῶντες τίνας
155 οὐκ ἂν ἀτιθάσους θῆρας δι' ὑπερβολὴν ὠμότητος παραδράμοιεν; ἀλλὰ
χαλεπὸν τὸ ἑτέρους ἀπονητὶ τῶν ἡμετέρων ἀπολαῦσαι πόνων. καὶ
πότερον χαλεπώτερον ἐχθροὺς ἔτι ζώντων ἢ φίλους καὶ συγγενεῖς
τετελευτηκότων ἐπὶ τὸν κλῆρον ἐλθεῖν; ἢ καὶ τὸ συγκρίνειν τὰ οὕτως
156 μακρὰν ἀφεστῶτα εὔηθες; καὶ μὴν εὔλογον μὴ μόνον ὅσα τοῖς ἀστρατεύτοις πρόσεστιν, ἀλλὰ καὶ αὐτοὺς ἐκείνους ἐχθρῶν κεκρατηκότων
γενέσθαι κτήματα· τοῖς δέ γε ἀποθνῄσκουσιν ὑπὲρ τῆς κοινῆς σωτηρίας,
καὶ εἰ μηδενὸς ἀπώναντο πρότερον τῶν κατὰ τὴν οὐσίαν, ἡδίστη
τελευτὴ γίνεται λογιζομένοις ὅτι πρὸς οὓς ηὔξαντο διαδόχους τὴν οὐσίαν
157 ἐλθεῖν ἔρχεται. (36.) τὸ μὲν οὖν τοῦ νόμου ῥητὸν τοσαύτας καὶ ἔτι
πλείους ἐπισκέψεις ἴσως ἔχει. ὡς δὲ μηδεὶς εὑρεσιλογῶν θρασύνηται
τῶν κακοτεχνούντων, ἀλληγοροῦντες φήσομεν ὅτι πρῶτον μὲν οὐ μόνον
οἴεται δεῖν ὁ νόμος περὶ τὴν τῶν ἀγαθῶν πονεῖσθαί τινα κτῆσιν, ἀλλὰ
καὶ περὶ τὴν τῶν κτηθέντων ἀπόλαυσιν, καὶ τό γε εὐδαιμονεῖν ἀρετῆς
χρήσει τελείας περιγενέσθαι νομίζει σῷον καὶ παντελῆ περιποιούσης βίον·

---

1 τἀπιλήνι' ἄγοντες H: τὰ πηλινιάγοντες M, τὰ ras. πιλήνια ἄγοντες G, τὰ πήλινα ἄγοντες A ἢ] οἱ A 3 τοῖχον G^1 5 ἀλλ' in ras. H: om. ceteri ἔργον ἐν ἔτει A δ' H^2: om. ceteri 6 πάντα δρᾶν MAGH^1, πάντα ἐᾶν H^2, παλίμφημα conicio, πάντως ἂν (om. ἢ) Turn., ταῦτα δρᾶν ⟨αἴσχιστον⟩ coni. Cohn ἢ] εἰ A 6. 7 οὐχ ὁ H^2: om. ceteri 7 οὐ] ἐκ H^2 γένους H^2: γένος ceteri 8 ἐμπεφώλευται A 10 αἱρομένων G: αἱρομένων MH^1, αἱρουμένων AH^2, ἀραμένων coni. Mang. 11 ἀτιθάσσους A 13 πότερον GH^2; πρότερον MAH^1 14 ἢ scripsi: ἢ codd. 14. 15 ἢ — εὔηθες om. A τοὺς et ἀφεστῶτας Turn. 14 οὕτω H 15 μόνον ὅσα in ras. H^2 16 post πρόσεστιν add. ὑπομένειν vel simile verbum Mang. 18 post μηδενὸς add. ἀπήλαυσαν H^2 ἀπώναντο Cohn: ἀφ' ὧν ἂν τὸ codd. post πρότερον add. εἶχον H^2 20 ἔρχεται Mang.: εὔχεται MAG, ἔτυχε in ras. H^2 ῥητὸν H^2: ῥητέον ceteri ἔτι GH^2: ἐπὶ MAH^1 21 ἐπισκέψεις MAH^1: ἐπισκήψεις GH^2 ἔχει Mang. ex cod. Coll. Nov. 143: ἔχειν codd. εὑρεσιλόγων M, εὑρέσει λόγων A 22 οὐ GH^2: om. MAH^1 25 νομίζειν coni. Mang.

ἔπειθ' ὅτι οὐ περὶ οἰκίας ἢ ἀμπελῶνος ἢ τῆς καθ' ὁμολογίας ἐγγυηθείσης γυναικός ἐστιν ὁ λόγος αὐτῷ, ὅπως τὴν μὲν ὡς μνηστὴρ ἀγάγηται, τοῦ δ' ἀμπελῶνος τὸν καρπὸν ὁ φυτουργὸς ἀποδρεψάμενος καὶ ἀποθλίψας, εἶτ' ἐμπιὼν μεθύσματος ἀκράτου γανωθῇ, τὴν δ' οἰκίαν ὁ ἀναδειμάμενος οἰκήσῃ, ἀλλὰ περὶ τῶν κατὰ ψυχὴν δυνάμεων, δι' ὧν συμβέβηκεν ἀρχάς τε λαμβάνειν καὶ προκοπὰς καὶ τελειότητας ἐν πράξεσιν ἐπαινεταῖς· αἱ μὲν τοίνυν ἀρχαὶ περὶ μνηστῆρα φιλοῦσι 158
γίνεσθαι — καθάπερ γὰρ ὁ μνώμενος γυναῖκα μέλλων ἐπὰν ἀνὴρ οὐ γεγονὼς ἤδη, τὸν αὐτὸν τρόπον ὁ εὐφυὴς εὐγενῆ μὲν καὶ καθαρὰν ἄξεσθαι παρθένον, παιδείαν, ἐλπίζει, μνᾶται δ' αὐτίκα —, αἱ δὲ προκοπαὶ περὶ γεωργόν — ὡς γὰρ ἐπιμελὲς τῷ φυτουργῷ τὰ δένδρα αὔξεσθαι, καὶ τῷ φιλομαθεῖ τὰ φρονήσεως θεωρήματα ποιῆσαι μηκίστην λαβεῖν ἐπίδοσιν —, αἱ δὲ τελειότητες περὶ δημιουργίαν οἰκίας τελειουμένης μέν, οὔπω δὲ πῆξιν λαβούσης. (37.) ἁρμόττει δὴ πᾶσι τούτοις, ἀρχομένοις, προ- 159
κόπτουσι, τετελειωμένοις, βιοῦν ἀφιλονείκως καὶ μὴ τῷ τῶν σοφιστῶν ἐπαποδύεσθαι πολέμῳ δύσεριν ταραχὴν ἐπὶ νοθείᾳ τἀληθοῦς ἀεὶ μελε-
p. 325 M. τώντων· ἐπειδὴ τἀληθὲς εἰρήνῃ φίλον, | ἢ δυσμενὴς αὐτοῖς. εἰ γὰρ 160
εἰς τοῦτον ἀφίξονται τὸν ἀγῶνα πρὸς ἐμπειροπολέμους ἰδιῶται, παντελῶς ἁλώσονται· ὁ μὲν ἀρχόμενος, ⟨ὅτι⟩ ἄπειρος, ὁ δὲ προκόπτων, ὅτι ἀτελής, ὁ δὲ τέλειος, ὅτι οὔπω ἄτριβος ἀρετῆς· δεῖ δ' ὥσπερ τὰ κονιάματα στηριχθῆναι βεβαίως καὶ λαβεῖν πῆξιν, οὕτως τὰς τῶν τελειωθέντων ψυχὰς κραταιωθείσας παγιώτερον ἱδρυθῆναι μελέτῃ συνεχεῖ καὶ γυμνάσμασιν ἐπαλλήλοις. οἱ δὲ μὴ τούτων τυγχάνοντες παρὰ τοῖς φιλοσόφοις διαλελῃθότες 161
εἶναι λέγονται σοφοί· τοὺς γὰρ ἄχρι σοφίας ἄκρας ἐληλακότας καὶ τῶν ὅρων αὐτῆς ἄρτι πρῶτον ἁψαμένους ἀμήχανον εἰδέναι φασὶ τὴν ἑαυτῶν

---

1 ὁμολογίας MAG: ὁμολογίαν H 2 μνηστὴρ H²: μνηστῆρα ceteri 3 ἀγάγητε A 4 γανωθῇ] πλημελεῖται ut vid. G² 5 οἰκήσει GH 6 προκοπὰς Mang.: προτροπὰς MAH, τροπὰς G 8 μέλλει H² μέλλει γενέσθαι ἀνὴρ conicio, μελλόποσις ἀνὴρ coni. Mang. ἐπὰν] ἐπεὶ H² γέγονεν H² 9 αὔξεσθαι GH¹ ἐλπίζει scripsi: ἐλπίζεται codd. 11 ἐπιμελὲς Turn.: ἐπιμελῶς codd. αὔξεσθαι Turn.: αὔξεται codd. 14 δὴ] δὲ H² τούτοις πᾶσι H τοῦ τοῖς A 15 τετελειωμένης A 16 πολέμῳ] ὁμίλῳ coni. Mang. δύσεριν A: δύσερι MH, δυσερεῖ G νωθεία H² αἰεὶ M 16. 17 μελετώντων Mang.: μελετῶν MAGH¹, μελετῶντι H² 17 ἐπειδὴ — αὐτοῖς om. A ἢ δυσμενὴς Turn.: ἢ δυσμενεῖς G, ἡδὺ μὲν εἰς MH αὐτοῖς Turn.: αὐτούς codd. 19 ὅτι ante ἄπειρος add. Turn.: om. codd. προκύπτων AG 20 ἐντριβὴς ἀρετῆς vel ἐνιδρυνθεὶς ἀρεταῖς coni. Mang., ὅτι ἔτι ἀτριβὴς conicio 20—128,10 δεῖ — ἡσυχάσαι add. m. rec. in mg. H 20 ὥσπερ δὲ δεῖ coni. Mang. 21 καὶ H: om. MAG 22 ἱδρυθῆναι MA: ἱδρυνθῆναι GH 24 εἶναι] ἑαυτοὺς coni. Mang.

τελείωσιν· μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἄμφω συνίστασθαι, τήν τε πρὸς τὸ πέρας ἄφιξιν καὶ τὴν τῆς ἀφίξεως κατάληψιν, ἀλλ' εἶναι μεθόριον ἄγνοιαν, οὐ τὴν μακρὰν ἀπεληλαμένην ἐπιστήμης, ἀλλὰ τὴν
162 ἐγγὺς καὶ ἀγχίθυρον αὐτῇ. τοῦ μὲν οὖν καταλαμβάνοντος καὶ συνιέντος καὶ τὰς ἑαυτοῦ δυνάμεις ἐπισταμένου ἄκρως γένοιτ' ἂν ἔργον πολεμῆσαι τῷ φιλέριδι καὶ σοφιστικῷ στίφει· νικήσειν γὰρ τὸν τοιοῦτον ἐλπίς. ᾧ δὲ ἔτι τὸ ἀγνοίας ἐπιπροσθεῖ σκότος, μήπω τοῦ τῆς ἐπιστήμης ἀναλάμψαι φέγγους ἰσχυκότος, ἀσφαλὲς οἶκοι καταμεῖναι, τουτέστιν εἰς τὴν περὶ ὧν ἄκρως οὐ κατείληφε μὴ παρελθεῖν ἄμιλλαν, ἀλλ'
163 ἠρεμῆσαί τε καὶ ἡσυχάσαι. ὁ δ' ὑπ' αὐθαδείας ἐξενεχθείς, τὰ παλαίσματα τῶν ἀντιπάλων οὐκ εἰδώς, πρὶν δρᾶσαι, παθεῖν φθήσεται καὶ τὸν ἐπιστήμης θάνατον ἐνδέξεται, ὃς ἐστιν ἀργαλεώτερος τοῦ ψυχὴν
164 καὶ σῶμα διακρίνοντος. ὀφείλει δὲ τοῦτο συμβαίνειν τοῖς πρὸς τῶν σοφισμάτων ἀπατωμένοις· ὅταν γὰρ τὰς λύσεις αὐτῶν εὑρεῖν μὴ δυνηθῶσιν, ὡς ἀληθέσι τοῖς κατεψευσμένοις πεπιστευκότες ἀποθνῄσκουσι βίον τὸν τῆς ἐπιστήμης ταὐτὸν πεπονθότες τοῖς ὑπὸ κολάκων φενακιζομένοις· καὶ γὰρ τούτων ἡ τῆς ψυχῆς ὑγιαίνουσα καὶ ἀληθὴς ὑπὸ τῆς
165 φύσει νοσερᾶς ἐξωθεῖται καὶ ἀνατρέπεται φιλίας. (38.) συμβουλευτέον οὖν εἰς τοὺς τοιούτους ἀγῶνας μὴ παρέρχεσθαι τοῖς τε ἀρχομένοις τοῦ μανθάνειν — ἀνεπιστήμονες γὰρ — καὶ τοῖς προκόπτουσι, διότι οὐ τέλειοι, καὶ τοῖς πρῶτον τελειωθεῖσι, διότι λέληθεν αὐτοὺς ἄχρι πῆ τελειότης.
166 τῶν δὲ ἀπειθησάντων ἄλλος, φησίν, ἄνθρωπος τὴν μὲν οἰκίαν οἰκήσει, τὸν δ' ἀμπελῶνα κτήσεται, τὴν δὲ γυναῖκα ἄξεται· τὸ δ' ἐστὶν ἴσον τῷ αἱ λεχθεῖσαι δυνάμεις σπουδῆς, βελτιώσεως, τελειώσεως | ἐπιλείψουσι p. 326 M.
μὲν οὐδέποτε, ἄλλοτε δὲ ἄλλοις ἐνομιλήσουσιν ἀνθρώποις ἐπιφοιτῶσαι καὶ τὰς ψυχὰς οὐ τὰς αὐτὰς * * * ἀμείβουσαι, σφραγῖσιν ὁμοιούμεναι.

---

3 ἀπεληλαμένην H: ἀπεληλασμένην MAG ἐπιστήμης Turn.: ἐπιστήμην MAG, ἐπιστήμη H 4 ἀγχίθυρον A: ἀγχήθυρον ceteri τοῦ μὲν οὖν scripsi: τοῦτο μὲν codd. 5 ἑαυτοῦ scripsi: ἑαυτῶν codd., αὐτῶν v ἐπισταμένου Turn.: ἐπισταμένους codd. ἄκρως ἐπισταμένου conicio 6 στίφει H²: στέφει MAG¹H¹, στήφει G² 7 ἐλπίς. ᾧ δὲ Mang. (Turn. ᾧδε): ἐλπὶς ὅδε M, ἐλπίσω δὲ MAH ἐπιπροσθεῖ σκότος Mang.: ἐπίπροσθεν εἰκότως codd. 7. 8 τοῦ et φέγγους scripsi: τὸ et φέγγος codd. 8 ἰσχυκότος codd.: ἰσχυκότι Turn. 12 τοῦ] τὴν G 13 ὀφείλει] φιλεῖ coni. Mang. 16 τῆς Turn.: τ' codd. 16. 17 φαινακιζομένοις A 17. 18 τῆς φύσει νοσερᾶς H²: φύσει τῆς νοερᾶς MGH¹, ὑποφοιτήσει τῆς νοερᾶς A 18 φιλία coni. Cohn 20 διότι Turn.: δι' ὃν MGH, δι' ὧν A 21 πῆ H²: ποινῆ ceteri 22 δ' A 23 δὲ MH 23. 24 ἴσον τὸ ἐλεγχθεῖσαι A 26 ἀμείβουσαι] ἀπομάττουσαι coni. Mang. ἀεὶ κατοικοῦσαι, ἀλλ' ἐξ ἄλλων ἄλλας suppleo σφραγῖσιν Turn.: σφόδρα γ' εἰσὶν codd.

καὶ γὰρ αὗται τὸν κηρὸν ἐπειδὰν τυπώσωσι, παθοῦσαι μηδὲν ἀπ' αὐτῶν 167
εἶδος ἐγχαράξασαι μένουσιν ἐν ὁμοίῳ· κἂν ὁ τυπωθεὶς συγχυθῇ κηρὸς
καὶ ἀφανισθῇ, πάλιν ἕτερος ὑποβληθήσεται. ὥστε, ὦ γενναῖοι, μὴ
νομίσητε φθειρομένοις συμφθείρεσθαι τὰς δυνάμεις ὑμῖν· ἀθάνατοι
γὰρ οὖσαι μυρίους ἄλλους πρὸ ὑμῶν ἀσπάζονται τῆς ἀπ' αὐτῶν
εὐκλείας, οὓς ἂν αἴσθωνται μὴ ὥσπερ ὑμᾶς διὰ τὸ ῥιψοκίνδυνον ἀπο-
δεδρακότας τὴν ὁμιλίαν αὐτῶν, ἀλλὰ προσιόντας καὶ θεραπευτικῶς
ἀσφαλείας ἔχοντας. εἰ δέ τις ἀρετῆς φίλος, εὐχέσθω τὰ καλὰ πάντα 168
ἐμφυτευθῆναί τε αὐτῷ καὶ ἐπὶ τῆς ἑαυτοῦ ψυχῆς φανῆναι καθάπερ ἐν
ἀνδριάντι καὶ γραφῇ τελείᾳ τὰς εἰς εὐμορφίαν συμμετρίας, λογιζόμενος
ὅτι εἰσὶν ἔφεδροι μυρίοι, οἷς ἡ φύσις ἀντ' αὐτοῦ δωρήσεται ταῦτα
πάντα, εὐμαθείας, προκοπάς, τελειότητας. ἄμεινον δὲ πρὸ ἐκείνων
αὐτὸν ἐκλάμψαι ταμιευόμενον τὰς ὑπὸ τοῦ θεοῦ δοθείσας ἀσφαλῶς
χάριτας καὶ μὴ προενεγκόντα πόρθησιν ἐχθροῖς ἀφειδοῦσιν ἑτοιμοτάτην
λείαν παρασχεῖν. (39.) οὐκοῦν βραχὺ ὄφελος ἀρχῆς, ἣν τέλος αἴσιον 169
οὐκ ἐσφράγισται. πολλάκις μέντοι καὶ τελειωθέντες τινὲς ἀτελεῖς
ἐνομίσθησαν τῷ παρὰ τὴν ἰδίαν προθυμίαν, ἀλλὰ μὴ κατ' ἐπιφροσύνην
θεοῦ βελτιωθῆναι δόξαι, καὶ διὰ τοῦτο μέντοι ⟨τὸ⟩ δόξαι μετεωρισθέντες
καὶ ἐξαρθέντες ἐπὶ μήκιστον ἀφ' ὑψηλοτέρων χωρίων εἰς ἔσχατον
κατενεχθέντες βυθὸν ἠφανίσθησαν· „ἐὰν“ γάρ φησιν „οἰκοδομήσῃς 170
οἰκίαν καινήν, καὶ ποιήσεις στεφάνην τῷ δώματί σου, καὶ οὐ ποιήσεις
φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἀπ' αὐτοῦ“ (Deut. 22,8).
πτωμάτων γὰρ ἀργαλεώτατον θεοῦ τιμῆς ἀποπεσεῖν ὀλισθόντα, στεφανώ- 171
σαντα πρὸ ἐκείνου ἑαυτὸν καὶ φόνον ἐμφύλιον ἐργασάμενον· κτείνει

---

1 παθοῦσαι μηδὲν ante μένουσιν vid. ponendum ἀπ' αὐτῶν] τὸ αὐτῶν conicio 2 συγχυθῇ] συγχωρήσεται H 2—4 κηρὸς—νομίσητε om. H 4 νομίσητε] ὑπολαμβάνετε Mang. φθειρομένοις scripsi: συμφθειρομένοις codd. 5 ἀσπάζονται codd.: ἠσπάσαντο coni. Mang., ἠσπάζοντο ⟨μεταδιδοῦσαι⟩ conicio 5. 6 τῆς . . . εὐκλείᾳ coni. Cohn 8 ἀσφαλείας] φιλίας coni. Mang., μετ' ἀσφαλείας conicio 9 τε MAG: om. H αὐτῷ codd. 11 οἷς] οὓς H δωρήσηται G 12 εὐμαθίας A 14 μὴ om. A πορθοῦσιν A 15 οὔκουν GH ἣν G²H: ἣν M, ἢν AG¹ ὄσιον L 16 ἐσφράγισται scripsi ἐσφραγίσθαι MA, ἐσφραγίσθη H, ἐσφράγισεν G, sed σεν scr. G² 17 ἀλλὰ] ἀλλ' ἐπεὶ H 18 τὸ δόξαι Turn.: δόξαι codd. μετεωρισθέντες Mang.: νεωτερισθέντες codd. 19 ὑψηλοτάτων conicio 21 στέφανον A δώματι MAL: δόματι GH 21 ποιήσεις scripsi: ποιήσῃς codd. σου om. H ποιήσῃς M 22 ἀπ' MA: ὑπ' GH 23 πτωμάτων Mang.: πτῶμα. τῶν codd. ἀργαλεώτατον Mang.: ἀργαλεωτάτων codd. ὄλισθον τὰ M, ὀλισθήσαντα A 24 ἑαυτὸν πρὸ ἐκείνου conicio ἐργασάμενον A: ἀρέσαντα MGH

γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὁ μὴ τὸ ὂν τιμῶν, ὡς ἀνόνητον αὐτῷ γενέσθαι παιδείας τὸ οἰκοδόμημα. παιδεία δὲ φύσιν ἔλαχε τὴν ἀγήρω, διόπερ καινὴν εἶπε τὴν οἰκίαν αὐτῆς· τὰ μὲν γὰρ ἄλλα χρόνῳ φθείρεται, ἡ δ' ἐφ' ὅσον πρόεισιν, ἐπὶ μήκιστον ἡβᾷ καὶ ἐπακμάζει τὸ ἀειθαλὲς
172 εἶδος φαιδρυνομένη καὶ ταῖς συνεχέσιν ἐπιμελείαις καινουμένη. κἂν τοῖς | προτρεπτικοῖς μέντοι παραινεῖ τοὺς κτῆσιν ἀγαθῶν λαχόντας p. 327 M. πλείστην μὴ ἑαυτοὺς ἀναγράψαι τῆς κτήσεως αἰτίους, ἀλλὰ „μνησθῆναι
173 θεοῦ τοῦ διδόντος ἰσχὺν ποιῆσαι δύναμιν“ (Deut. 8,18). τοῦτο μὲν οὖν τὸ εὐπραγίας ἦν πέρας, ἀρχαὶ δ' ἐκεῖναι· ὥστε τοὺς ἐκλανθανομένους τοῦ τέλους μηδὲ τῆς τῶν κτηθέντων ⟨ἀρχῆς⟩ εὖ ἂν ἔτ' ἀπόνασθαι. τούτοις μὲν οὖν ἑκούσια γίνεται διὰ φιλαυτίαν τὰ σφάλματα οὐχ ὑπομένουσι τὸν φιλόδωρον καὶ τελεσφόρον θεὸν αἴτιον ἀποφῆναι τῶν ἀγα-
174 θῶν. (40.) εἰσὶ δ' οἳ πάντα κάλων εὐσεβείας ἀνασείσαντες ἐνορμίσασθαι τοῖς λιμέσιν αὐτῆς ταχυναυτοῦντες ἐσπούδασαν, κἄπειτ' οὐ μακρὰν ἀφεστηκότων, ἀλλ' ἤδη μελλόντων προσέχειν, αἰφνίδιον ἐξ ἐναντίας καταρραγὲν πνεῦμα πλησίστιον εὐθυδρομοῦν τὸ σκάφος ἀνέωσεν, ὡς
175 ὑποκεῖραι πολλὰ τῶν πρὸς εὔπλοιαν συνεργούντων. τούτους οὐκ ἄν τις ἔτι θαλαττεύοντας αἰτιάσαιτο· ἀκούσιος γὰρ αὐτοῖς ἐπειγομένοις γέγονεν ἡ βραδυτής. τίς οὖν ἀπεικάζεται τούτοις ἢ ὁ τὴν

---

1 τὸ ὂν τιμῶν ὡς G^2H: τὸ ὄν τιμὸν ὡς G^1, τῶ ὄντι μόνως M, τὸ ἔντιμον ὡς A ἀνόνητον M: ἀνόητον AGH 2 παιδείαν A φύσιν Turn.: φησιν codd. ἀγήρων v 3 γὰρ om. H 5 εἶδος] ἦθος A καινουμένη A^1G^2: κενουμένη ceteri 6 παραινῆ A 7 καὶ post ἀλλὰ add. H 10 ἀρχῆς add. Mang. εὖ ἂν GH: ευαν M, ἐᾶν A ἔτ' ἀπόνασθαι scripsi: ἐπαπόνασθαι codd. 12 φιλόδωρον Mang.: θεόφιλον codd. 13 κάλων AG ἀνασείσαντες H: ἀναπείσαντες MG, ἀναπτήσαντες A 14 κἄπειτ' A: καὶ ἔπειτ' G^2, κἀπὶ τοῦ MG^1H 15 ἀφεστηκότων AG^2 (Turn.): ἀφεστηκότας MG^1, ἀφεστηκότες H ἐξεναντίας codd. 16 πλησίστιον Mang.: πλησίον codd. ἀνέωσεν ὡς Turn.: ἀνώσεως MGH, ἀνέσεως A 18 θαλαττεύοντας ἔτι H αἰτιάσαιτο G (Mang.): εὐαγιάσαιτο MΠ, ναυαγιάσαιτο A αὐταῖς H 19 ἐπειγομένοις Mang.: ἐπιγιγνόμενος MG^1H, ἐπιγινόμενος A, ἐπιγιγνομένη G^2, ἐπιγιγνομένοις Turn. γέγονεν] γίνεται A

---

19 sqq. *Clemens Paedag. I p. § 5 p. 100 P:* καί μοι δοκεῖ παγκάλως διὰ Μωυσέως φάσκειν ὁ παιδαγωγός· „ἐάν τις ἀποθάνῃ ἐπ' αὐτῷ αἰφνίδιον, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ καὶ ξυρήσεται“ τὴν ἀκούσιον ἁμαρτίαν αἰφνίδιον θάνατον προσειπών . . . . ἔπειτα ὀλίγα προσειπὼν ἐπιφέρει· „αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι“, δι' ὧν δῆλον ὅτι αἱ ἁμαρτίαι μηνύονται αἱ μὴ γεγονυῖαι κατὰ λόγον. καὶ τὸ μὲν ἀκούσιον αἰφνίδιον προσεῖπεν, τὸ δὲ ἁμαρτάνειν ἄλογον.

μεγάλην λεγομένην εὐξάμενος εὐχήν; „ἐὰν γάρ τις“ φησίν „ἀποθάνῃ
ἐπ' αὐτῷ αἰφνίδιον, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ,
καὶ ξυρήσεται“· εἶτα ὀλίγα προσειπὼν ἐπιφέρει· „αἱ δ' ἡμέραι
αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη κεφαλὴ εὐχῆς αὐτοῦ“
(Num. 6,9. 12)· δι' ἀμφοτέρων τοίνυν, τοῦ τε „αἰφνίδιον“ καὶ τοῦ 176
„παραχρῆμα“ εἰπεῖν, ἡ ἀκούσιος παρίσταται τῆς ψυχῆς τροπή· πρὸς
μὲν γὰρ τὰ ἑκούσια τῶν ἁμαρτημάτων εἰς τὸ βουλεύσασθαι ποῦ καὶ
πότε καὶ πῶς πρακτέον χρόνου δεῖ, τὰ δὲ ἀκούσια ἐξαίφνης, ἀπερι-
σκέπτως καί, εἰ οἷόν τε τοῦτ' εἰπεῖν, ἀχρόνως κατασκήπτει. χαλεπὸν 177
γὰρ ὥσπερ τοὺς δρομεῖς ἀρξαμένους ὁδοῦ τῆς πρὸς εὐσέβειαν ἀπταίστως
καὶ ἀπνευστὶ διευθῦναι τὸν δρόμον, ἐπειδὴ μυρία ἐμποδὼν παντὶ τῷ
γενομένῳ. πρότερον μὲν ⟨οὖν⟩, ὃ ἓν καὶ μόνον εὐεργεσία, μηδενὸς τῶν 178
κατὰ γνώμην ἀδικημάτων ἐφάψασθαί πᾶσάν τε τὴν ἀμήχανον τῶν
ἀκουσίων πληθὺν ἰσχῦσαι διώσασθαι· δεύτερον δὲ τὸ μήτε πολλοῖς τῶν
ἀκουσίων μήτ' ἐπὶ μήκιστον χρόνον ἐνδιατρῖψαι. παγκάλως δὲ τὰς 179
τῆς ἀκουσίου τροπῆς ἡμέρας εἶπεν ἀλόγους, οὐ μόνον ἐπειδὴ τὸ
ἁμαρτάνειν ἄλογον, ἀλλ' ὅτι καὶ τῶν ἀκουσίων λόγον οὐκ ἔστιν ἀπο-
p. 328 M. δοῦναι. παρὸ καὶ πυνθανομένων πολλάκις τὰς τῶν | πραγμάτων αἰτίας
φαμὲν μήτ' εἰδέναι μήτ' εἰπεῖν δύνασθαι· μήτε γὰρ γιγνομένων συμ-
παραληφθῆναι, ἀλλὰ καὶ τὴν ἄφιξιν αὐτῶν ἀγνοῆσαι. σπάνιον οὖν εἴ 180
τῳ δωρήσεται ὁ θεὸς ἀπ' ἀρχῆς ἄχρι τέλους σταδιεῦσαι τὸν βίον
μήτ' ὀκλάσαντι μήτ' ὀλισθόντι, ἀλλ' ἑκατέραν φύσιν ἀδικημάτων,
ἑκουσίων τε καὶ ἀκουσίων, ῥώμῃ καὶ φορᾷ τάχους ὠκυδρομωτάτου

---

2 ἐπ' αὐτῷ] ἑαυτῷ A αἰφνίδιον scripsi: αἰφνιδίως codd. 3 ξυρήσεται] ῥυήσεται H προειπὼν A δὲ A 4 ἡ κεφαλὴ H 5 τοίνυν MA: om. GH εἰπεῖν post αἰφνίδιον transpos. A, fort. del. 7 γὰρ add. Turn. 9 εἰπεῖν τοῦτο A 12 οὖν addidi ὃ ἓν MH: ἓν G, νοεῖν A μόνον GH: μεῖζον MA 14 ἀκουσίων scripsi: ἑκουσίων codd. ἰσχῦσαι A: ἴσχυσε MGH τῶν MAG Clem.: om. H 15 ἐνδιατρῖψαι Hoeschel ad Clem.: διατρῖψαι codd. τὰς scripsi: τὸ codd. 18 παρ' ὃ AG 19 μὴ γὰρ coni. Cohn 22 ὀλισθόντι MG: ὀλισθήσαντι AH, ὀλισθῶντι DK, ὀλισθέντι DC 23 ὠκυδρομωτάτους H, ὠκυδρομώτατον DC

12—15 *Clem. Paedag. I § 4 p. 99 P:* ἄριστον μὲν οὖν τὸ μηδ' ὅλως ἐξαμαρτάνειν κατὰ μηδένα τρόπον, ὃ δή φαμεν εἶναι θεοῦ· δεύτερον δὲ μηδενὸς τῶν κατὰ γνώμην ἐφάψασθαί ποτε ἀδικημάτων, ὅπερ οἰκεῖον σοφοῦ· τρίτον μὴ πάνυ πολλοῖς τῶν ἀκουσίων περιπεσεῖν, ὅπερ ἴδιον παιδαγωγουμένων εὐγενῶς· τὸ δὲ μὴ ἐπὶ μήκιστον ἐνδιατρῖψαι τοῖς ἁμαρτήμασιν τελευταῖον τετάχθω. 20—132,1 DC fol. 46v DK fol. 116r ἐκ τοῦ περὶ γεωργίας: σπάνιον εἴ τῳ — ὑπερπτῆναι.

181 ὑπερπτῆναι. ταῦτα μὲν οὖν ἀρχῆς τε πέρι καὶ τέλους εἴρηται διὰ Νῶε τὸν δίκαιον, ὃς τὰ πρῶτα καὶ στοιχειώδη τῆς γεωργικῆς κτησάμενος τέχνης ἄχρι τῶν περάτων αὐτῆς ἐλθεῖν ἠσθένησε· λέγεται γὰρ ὅτι „ἤρξατο γῆς εἶναι γεωργός“, οὐ τῶν ὄρων τῶν ἄκρας ἐπιστήμης ἐλάβετο. τὰ δὲ περὶ τῆς φυτουργίας εἰρημένα αὐτοῦ λέγωμεν αὖθις.

1 ὑπερβῆναι coni. Mang. καὶ περὶ τέλους L 3 ἠσθένησεν G γὰρ] δὲ A 4 ὄρων Richter (ex Gelenii versione): ὁρῶν MGH, ὁρῶν A τῶν scripsi: τὰς codd. 5 αὐτῷ coni. Mang. λέγωμεν Turn.: λέγομεν GH, λέγων MA

ΠΕΡΙ ΦΥΤΟΥΡΓΙΑΣ ΝΩΕ

ΤΟ ΔΕΥΤΕΡΟΝ

1 p. 329 M. (1.) | Ἐν μὲν τῷ προτέρῳ βιβλίῳ τὰ περὶ γεωργικῆς τέχνης γενικῆς, 1
ὅσα καιρὸς ἦν, εἴπομεν, ἐν δὲ τούτῳ περὶ τῆς κατ' εἶδος ἀμπελουργικῆς,
ὡς ἂν οἷόν τε ᾖ, ἀποδώσομεν. τὸν γὰρ δίκαιον οὐ γεωργὸν μόνον,
ἀλλὰ καὶ ἰδίως ἀμπελουργὸν εἰσάγει φάσκων· „ἤρξατο Νῶε ἄνθρωπος
εἶναι γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα“ (Gen. 9, 20). προσήκει 2
δὲ τὸν μέλλοντα περὶ τῶν κατὰ μέρος φυτουργιῶν τε καὶ γεωργιῶν
διεξιέναι κατανοῆσαι πρῶτον τὰ τελειότατα τοῦ παντὸς φυτὰ καὶ τὸν
μέγαν φυτουργὸν καὶ ἐπιστάτην αὐτῶν. ὁ μὲν τοίνυν τῶν φυτουργῶν
μέγιστος καὶ τὴν τέχνην τελειότατος ὁ τῶν ὅλων ἡγεμών ἐστι, φυτὸν
δὲ αὖ περιέχον ἐν ἑαυτῷ τὰ ἐν μέρει φυτὰ ἅμα παμμυρία καθάπερ
κληματίδας ἐκ μιᾶς ἀναβλαστάνοντα ῥίζης ὅδε ὁ κόσμος. ἐπειδὴ γὰρ 3
τὴν οὐσίαν ἄτακτον καὶ συγκεχυμένην οὖσαν ἐξ αὐτῆς εἰς τάξιν ἐξ
ἀταξίας καὶ ἐκ συγχύσεως εἰς διάκρισιν ἄγων ὁ κοσμοπλάστης μορφοῦν
p. 330 M. ἤρξατο, γῆν μὲν καὶ ὕδωρ ἐπὶ τὸ μέσον ἐρρίζου, τὰ | δὲ ἀέρος καὶ
πυρὸς δένδρα πρὸς τὴν μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν, τὸν

περὶ φυτουργίας Νῶε τὸ β' M: περὶ φυτουργίας Νῶε G, Φίλωνος σοφοῦ περὶ φυτουργίας τὸ δεύτερον Νῶε λόγος ια' U, περὶ φυτουργίας τὸ δεύτερον Νῶε FH 1 πρώτω L τὰ fort. transpon. in lin. 2 ante περὶ γενικῆς MGUF: γενικῶς H 2 ante περὶ ras. in H (τὰ περὶ H^1?) 3 ἀποδώσωμεν G 4 φάσκων om. M 6 φυτουργιῶν scripsi: φυτῶν codd., φυτειῶν coni. Mang. γεωργιῶν] ἐνεργειῶν H 8 μέγαν om. G 10 αὖ scripsi: οὐ codd. περιέχων G τὰ om. L ἅμα scripsi: ἀλλὰ codd. 11 δδ' U 12 καὶ om. r ἐξ αὐτῆς om. E αὐτῆς H^2: αὐτῆς ceteri 13 μορφὴν U, κοσμεῖν E 14 καὶ om. F ἐρίζου M δ' E

11—136,15 ἐπειδὴ—χρεῖοι exstant in Epitome Περὶ κόσμου Mang. II p. 603,6—604,38.

δὲ αἰθέριον ἐν κύκλῳ τόπον ὠχυροῦτο τῶν ἐντὸς ὅρον τε καὶ φυλακτήριον αὐτὸν τιθείς, ἀφ' οὗ καὶ οὐρανὸς ὠνομάσθαι δοκεῖ· ⟨καὶ⟩ ὀχεῖσθαι μὲν γῆν ὕδατι ξηρὰν οὖσαν, ἣν δέος ἦν ὕδατι διαλύεσθαι, πυρὶ δὲ ἀέρα θερμῷ φύσει τὸν ἐξ ἑαυτοῦ ψυχρότατον, θαῦμα ἔκτοπον, ὁ θαυματο-
4 ποιὸς εἰργάζετο. πῶς γὰρ οὐ τεράστιον ὑπὸ μὲν τοῦ λυομένου συνέχεσθα τὸ λύον, πρὸς γῆς ὕδωρ, ἐπὶ δὲ τῷ ψυχροτάτῳ τὸ θερμότατον ἄσβεστον ἱδρῦσθαι, πῦρ ἐπὶ ἀέρι; καὶ ταῦτα μὲν τὰ τέλεια τοῦ παντὸς ἦν μοσχεύματα, τὸ δὲ παμμέγεθες καὶ παμφορώτατον ἔρνος ὁ κόσμος οὗτος, οὗ παραφυάδες οἱ εἰρημένοι βλαστοί.

5 (2.) Ὅπου ποτ' οὖν ἄρα τὰς ῥίζας καθῆκε καὶ τίς ἐστιν αὐτῷ βάσις, ἐφ' ἧς ὥσπερ ἀνδριὰς ἐρήρεισται, σκεπτέον. σῶμα μὲν οὖν οὐδὲν ἀπολειφθὲν εἰκὸς ἔξω πλανᾶσθαι πᾶσαν τὴν δι' ὅλων ὕλην
6 ἐργασαμένου καὶ διακοσμήσαντος θεοῦ· τελειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων τῷ μεγίστῳ δημιουργῷ διαπλάσασθαι, τελειότατον δὲ οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν· ὥστε ἐκ γῆς ἁπάσης καὶ παντὸς ὕδατος καὶ ἀέρος καὶ πυρός, μηδενὸς ἔξω μηδὲ τοῦ
7 βραχυτάτου καταλειφθέντος, συνέστη ὅδε ὁ κόσμος. ἀνάγκη τοίνυν ἐκτὸς ἢ κενὸν ἢ μηδὲν εἶναι. εἰ μὲν δὴ κενόν, πῶς τὸ πλῆρες καὶ ναστὸν καὶ τῶν ὄντων βαρύτατον οὐ βρίθει ταλαντεῦον στερεοῦ μηδενὸς ἐπερείδοντος; ἐξ οὗ φάσματι ἂν ἐοικέναι δόξαι, ζητούσης ἀεὶ τῆς διανοίας βάσιν σωματικήν, ⟨ἣν⟩ πᾶν ἔχειν εἰκός, ἐάν τι κινούμενον τυγχάνῃ, τὸν δὲ δὴ κόσμον καὶ διαφερόντως, ὅτι τὸ μέγιστον σωμάτων ἐστὶ καὶ πλῆθος ἄλλων σωμάτων ὡς οἰκεῖα ἐγκεκόλπισται μέρη.

---

1 ὀχυροῦτο M 2 αὐτῶ U ὁ οὐρανὸς UF καὶ addidi 2—7 ὀχεῖσθαι — ἀέρι om. E 3 δέος Mang.: δέον MGFH, δὲ U alterum ὕδατι] ἔλατι M, ὑγρότητι conicio 4. 5 θαυμαστοποιὸς H 6 τῶν ψυχροτάτων H 7 ἱδρῦσθαι scripsi: ἱδρύσασθαι codd. 8 οὗ MFHE: οὐ U, om. G 10 οὖν secludit Cohn καθῆκεν U 11 ἐρήρισται MG οὖν GH²: om. MUFH¹E 12 πᾶσαν om. E 13 διακοσμήσαντος] οἰκονομήσαντος L 15 δ' D 15. 16 ὥστε εἰ τῆς ἁπάσης ὕλης μηδὲν ἔξω μηδὲ τῆς βραχυτάτης καταλειφθείσης E 15 ἐκ] εἰ GFE 15. 16 ἐκ γῆς ἁπάσης] spat. 8—9 litt. M 16 μηδὲ om. G 17 ὅδ' U τοίνυν] λοιπὸν b 18 bis καινὸν G πῶς] πρὸς G τὸ πλῆρες H: τὸν πλήρης M, τὸν πλήρη GUFE 19 τῶν corr. in τὸν G οὐ βρίθει] ὑβρίσθη U, εὑρέθη E ταλαντεύων M 19. 20 ὑπερείδοντος conicio 20 ἔξω; δ φάσματι conicio φασματίαν F 21 ἦν add. in appendice Turn. πᾶν] ποίαν H τι Turn.: τε codd., γε E (probat Cohn) 22 δὲ] τε G 23 ἄλλων om. M ἐγκαλλώπισται MG, ἐγκεκολωπίσθαι F

τὰς δυσωπίας οὖν εἴ τις ἀποδιδράσκειν βούλοιτο τὰς ἐν τοῖς διαπορηθεῖσι, 8
λεγέτω μετὰ παρρησίας, ὅτι οὐδὲν τῶν ἐν ὕλαις κραταιὸν οὕτως, ὡς τὸν
κόσμον ἀχθοφορεῖν ἰσχῦσαι, λόγος δὲ ὁ ἀίδιος θεοῦ τοῦ αἰωνίου τὸ ὀχυ-
p. 331 M. ρώτατον καὶ | βεβαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν. οὗτος ἀπὸ τῶν μέσων 9
ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα ταθεὶς δολιχεύει τὸν τῆς
φύσεως δρόμον ἀήττητον συνάγων τὰ μέρη πάντα καὶ σφίγγων· δεσμὸν
γὰρ αὐτὸν ἄρρηκτον τοῦ παντὸς ὁ γεννήσας ἐποίει πατήρ. εἰκότως 10
οὖν οὐδὲ γῆ πᾶσα διαλυθήσεται πρὸς παντὸς ὕδατος, ὅπερ αὐτῆς οἱ
κόλποι κεχωρήκασιν, οὐδ' ὑπὸ ἀέρος σβεσθήσεται πῦρ, οὐδ' ἔμπαλιν
ὑπὸ πυρὸς ἀὴρ ἀναφλεχθήσεται, τοῦ θείου λόγου μεθόριον τάττοντος
αὐτὸν καθάπερ φωνήεντα στοιχείων ἀφώνων, ἵνα τὸ ὅλον ὥσπερ ἐπὶ
τῆς ἐγγραμμάτου φωνῆς συνηχήσῃ, τὰς τῶν ἐναντίων ἀπειλὰς πειθοῖ
τῇ συναγωγῷ μεσιτεύοντός τε καὶ διαιτῶντος.

(3.) Οὕτως μὲν δὴ τὸ παμφορώτατον φυτὸν ἐρριζοῦτο καὶ ῥιζωθὲν 11
ἐκρατεῖτο· τῶν δὲ ἐν μέρει καὶ βραχυτέρων φυτῶν τὰ μὲν μεταβατικῶς
κινητά, τὰ δὲ ἄνευ μεταβάσεως ὡς ἂν ἑστῶτα κατὰ τὸν αὐτὸν τόπον
ἐδημιουργεῖτο. τὰ μὲν οὖν μεταβατικῇ κινήσει χρώμενα, ἃ δή φαμεν 12
ἡμεῖς ζῷα εἶναι, ταῖς τοῦ παντὸς ὁλοσχερεστέραις προσεγένετο μοίραις, γῇ
μὲν τὰ χερσαῖα, πλωτὰ δὲ ὕδατι, τὰ δὲ πτηνὰ ἀέρι καὶ τὰ πυρίγονα
πυρί, ὧν τὴν γένεσιν ἀριδηλοτέραν κατὰ Μακεδονίαν λόγος ἔχει προφαίνε-

---

1 δυσωπείας F, δυστροπίας Eus (sed δυσωπίας cod. I) 2 τῶν ἐνύλων Eus codd. plerique ἐν om. Uar 3 ἀχθηφορεῖν E λόγος Eus: νόμος codd. E 3. 4 ὀχυρότατον G 4 ἐστί M 5 ἐπὶ] ἐστὶ F τὸν] τὸ F 5. 6 τὸν φύσεως Eus 6 ἀήττητον δρόμον Eus ἀήττητος conicio συσφίγγων Eus codd. nonnulli πάντα τὰ μέρη E συνάγων] συνέχων coni. Mang. 7 αὐτῶν U, om. E ἄρρητον Eus codd. nonnulli 8. 9 ter οὔτε conicio 8 πρὸς] καὶ G παντὸς om. E 9 οὐδὲ MGF ὑπ' E, ἀπὸ M 10 λόγου Eus: νόμου codd. 11 αὐτὸν Eus H^2: αὐτὸν ceteri καθάπερ om. Eus 11—13 καθάπερ — διαιτῶντες om. E 11 φωνάεντα G, φωνῆεν Eus, φωνῆέν τι conicio στοιχεῖα U 12 ἐγγράμμου Eus φωνῆς Mang.: μούσης codd., μουσικῆς Eus 13 συναγωγῷ scripsi: συνόδῳ codd. Eus 14 οὕτως MGF: οὕτω UH, οὔπω E ἐριζοῦτο U, ἐκραταιοῦτο coni. Mang. 16 ἀνεστῶτα G^1, ἑνεστῶτα M 18 προσενέμετο conicio 19 τῷ ὕδατι UE πτηνὰ δὲ E καὶ τὰ GUFH: τὰ δὲ M 19—136, 1 καὶ τὰ — προφαίνεσθαι om. E 20 κατὰ Μακεδονίαν om. M

1—13 Euseb. Pr. ev. VII 13 καὶ ἐν τῷ δευτέρῳ δὲ πάλιν ὁ αὐτὸς τάδε γράφει πρὸς λέξιν: Τὰς δυστροπίας — διαιτῶντος.

σθαι, καὶ οἱ ἀστέρες οὐρανῷ — ζῷα γὰρ καὶ τούτους νοερὰ δι' ὅλων φασὶν οἱ φιλοσοφήσαντες —, ⟨ὧν⟩ οἱ μὲν πλάνητες ἐξ ἑαυτῶν, οἱ δ' ἀπλανεῖς τῇ τοῦ παντὸς συμπεριαγόμενοι φορᾷ τόπους ἐναλλάττειν δοκοῦσι.
13 τὰ δὲ ἀφαντάστῳ φύσει διοικούμενα, ἅπερ ἰδίως λέγεται φυτά, μεταβατικῆς κινήσεως ἀμέτοχα. (4.) διττὰ δὲ ἔν τε γῇ καὶ ἀέρι γένη ὁ
14 ποιῶν ἐποίει. ἀέρι μὲν τὰ πτηνὰ καὶ αἰσθητὰ καὶ δυνάμεις ἄλλας αἰσθήσει οὐδαμῇ οὐδαμῶς καταλαμβανομένας — ψυχῶν ὁ θίασος οὗτος ἀσωμάτων ἐστὶ διακεκοσμημένων οὐ ταῖς αὐταῖς ἐν τάξεσι· τὰς μὲν γὰρ εἰσκρίνεσθαι λόγος ἔχει σώμασι θνητοῖς καὶ κατά τινας ὡρισμένας περιόδους ἀπαλλάττεσθαι πάλιν, τὰς δὲ θειοτέρας κατασκευῆς λαχούσας ἅπαντος ἀλογεῖν τοῦ γῆς χωρίου, ἀνωτάτω δ' εἶναι πρὸς αὐτῷ τῷ | αἰθέρι τὰς καθαρωτάτας, ἃς οἱ μὲν παρ' Ἕλλησι φιλοσοφήσαντες p. 332 M.
ἥρωας καλοῦσι, Μωυσῆς δὲ ὀνόματι εὐθυβόλῳ χρώμενος ἀγγέλους προσαγορεύει, πρεσβευομένας καὶ διαγγελλούσας τά τε παρὰ τοῦ ἡγεμόνος τοῖς ὑπηκόοις ἀγαθὰ καὶ τῷ βασιλεῖ ὧν εἰσιν οἱ ὑπήκοοι χρεῖοι —,
γῇ δὲ ζῷά τε χερσαῖα καὶ φυτά, δύο πάλιν, προσένειμε, τὴν αὐτὴν
15 μητέρα τε βουληθεὶς εἶναι καὶ τροφόν· καθάπερ γὰρ γυναικὶ καὶ παντὶ τῷ θήλει πηγαὶ πρὸς τῷ μέλλειν ἀποκυΐσκειν ἀναχέονται γάλακτος, ἵνα τοῖς γεννωμένοις ἄρδωσι τὰς ἀναγκαίας καὶ ἁρμοττούσας τροφάς, τὸν αὐτὸν τρόπον καὶ τῇ χερσαίων ζῴων μητρὶ γῇ πάσας φυτῶν προσένειμεν ἰδέας, ἵνα συγγενέσι καὶ μὴ ὀθνείοις τροφαῖς τὰ γεννώμενα χρή-

---

1 καὶ οἱ ἀστέρες Mang.: τοὺς ἀστέρας ἐν codd., τοὺς ἀστέρας δὲ ἐν E, καὶ τῶν ἀστέρων ἐν Turn. 1—5 ζῷα — ἀμέτοχα om. E 1 γὰρ] δὲ M τούτους] ταῦτα G 2 ὧν addidi πλανῆται U ἑαυτῶν ⟨κινούμενοι⟩ conicio 5 δὲ E: om. codd. γῇ καὶ ὕδατι καὶ E 6 μὲν] μὲν ⟨γὰρ⟩ conicio καὶ post πτηνὰ om. Turn. καὶ αἰσθητὰ om. E 8 οὐ ταῖς Turn.: οὔσαις codd. E τάξεσιν U 11 τῆς γῆς E πρὸς] καὶ M 13 καλεῖν M post καλοῦσι add. καὶ δαίμονας E εὐθυβόλῳ χρώμενος ὀνόματι E 14 διαγγελούσας MGU παρὰ] περὶ M 15 ὧν] ὦ L οἱ ὑπήκοοι Ma: ὑπήκοοι ceteri 16 τε] τε καὶ M δύο ⟨γένη⟩ conicio 17 μητέρα τε scripsi: τε μητέρα codd. γὰρ GH: καὶ MUF 18 πρὸς] ἀπὸ M πρὸ τοῦ μέλλειν conicio τῷ codd.: τὸ Turn. ἀναχέονται scripsi: ἀποχέονται codd. 20 καὶ post χερσαίων add. M 21 ὀθνείαις GF

---

14. 15 cf. ad p. 45,2 16—137,1 sic partim amplificavit partim contraxit E II p. 605, 26 Mang.: ὕδατι δὲ ζῷα πλωτὰ καὶ ζῳόφυτα, τῇ γῇ δ' αὖ ζῷά τε χερσαῖα καὶ φυτά, καὶ τὰ μὲν φυτὰ κατωκάρα, pergit usque ad p. 137,17 γεγονότων (II 606,9 M)

σηται. καὶ μὴν τὰ μὲν φυτὰ κατωκάρα ἀπειργάζετο τὰς κεφαλὰς αὐτῶν 16
ἐν τοῖς βαθυγειοτάτοις γῆς μέρεσι πήξας, ζῴων δὲ τῶν ἀλόγων τὰς
κεφαλὰς ἀνελκύσας ἀπὸ γῆς ἐπὶ προμήκους αὐχένος ἄκρας ἡρμόζετο τῷ
αὐχένι ὥσπερ ἐπίβασιν τοὺς ἐμπροσθίους πόδας θείς. ἐξαιρέτου δὲ τῆς 17
κατασκευῆς ἔλαχεν ἄνθρωπος· τῶν μὲν γὰρ ἄλλων τὰς ὄψεις περιήγαγε
κάτω κάμψας, διὸ νένευκε πρὸς χέρσον, ἀνθρώπου δὲ ἔμπαλιν ἀνώρθωσεν,
ἵνα τὸν οὐρανὸν καταθεᾶται, φυτὸν οὐκ ἐπίγειον ἀλλ' οὐράνιον, ὡς ὁ
παλαιὸς λόγος, ὑπάρχων. (5.) ἀλλ' οἱ μὲν ἄλλοι τῆς αἰθερίου 18
φύσεως τὸν ἡμέτερον νοῦν μοῖραν εἰπόντες εἶναι συγγένειαν ἀνθρώπῳ
πρὸς αἰθέρα συνῆψαν. ὁ δὲ μέγας Μωυσῆς οὐδενὶ τῶν γεγονότων τῆς
λογικῆς ψυχῆς τὸ εἶδος ὡμοίωσεν, ἀλλ' εἶπεν αὐτὴν τοῦ θείου καὶ
ἀοράτου πνεύματος ἐκείνου δόκιμον εἶναι νόμισμα σημειωθὲν καὶ τυπω-
θὲν σφραγῖδι θεοῦ, ἧς ὁ χαρακτήρ ἐστιν ὁ ἀίδιος λόγος· „ἐνέπνευσε“ 19
γάρ φησιν „ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς“ (Gen. 2, 7),
ὥστε ἀνάγκη πρὸς τὸν ἐκπέμποντα τὸν δεχόμενον ἀπεικονίσθαι· διὸ καὶ
λέγεται κατ' εἰκόνα θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι (Gen. 1, 27), οὐ
μὴν κατ' εἰκόνα τινὸς τῶν γεγονότων. ἀκόλουθον οὖν ἦν τῆς ἀνθρώ- 20
που ψυχῆς κατὰ τὸν ἀρχέτυπον τοῦ αἰτίου λόγον ἀπεικονισθείσης

---

1 κατωκάρα] κατω, tum spat. 4 litt. M ἀπειργάζετο R: ἀνειργάζετο codd., εἰργάσατο E 1. 2 αὐτῶν τοῖς βαθέσι τοῖς τῆς γῆς E γῆς om. L 3 αὐχένας M 6 κύψας E δ' U 7 οὐρανὸν] ἄνω M ὁ om. E 8 ὑπάρχων om. E 9 τοῦ ἀνθρώπου Eus 10 ἀνῆψαν H δὲ δὴ E Μωσῆς Eus 11 ὡμοίωσεν Eus: ὁμοίως ὠνόμασεν codd. E 12 ἀκηράτου coni. Mang. πνεύματος Eus: θεοῦ codd. E, om. v ἐκείνου MG¹UFH (postea del. H) Eus: εἰκόνα G² Turn., ἐκείνου εἰκόνα E 12. 13 δόκιμον — χαρακτὴρ om. F 12 νόμισμα Eus: νομίσας codd. E σημειωθὲν Eus: ἧς εἴωθε GUE, εἴωθε M, οὐσιωθεῖσαν H 12. 13 τυπωθὲν MGUE Eus: τυπωθεῖσαν H 13 σφραγῖδι UFH² Eus: σφραγῖδα MG(H¹)E alterum ὁ GUF Eus E: om. MH 14 φησὶν om. M post ζωῆς add. καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν Eus 15 ἐμπνέοντα coni. Mang. ἀπεικονίζεσθαι Eus codd. nonnulli E, ἀπεικάζεσθαι Eus codd. OG alii διὰ (pro διὸ spatium in U) καὶ τὸν ἄνθρωπον κατ' εἰκόνα φασὶ θεοῦ γεγενῆσθαι UE 16 γενέσθαι Eus, γενέσθαι τὸν ἄνθρωπον Eus codd. OG alii 17 τῶν γεγονότων τινὸς Eus codd. OG alii ἦν Eus: om. codd. 18 λόγου M(G¹)

---

1 R fol. 91r τοῦ αὐτοῦ: καὶ μὴν τὰ μὲν φυτὰ κατωκάρα ἀπειργάζετο: τὸ λεγόμενον παρὰ τοῖς ἰδιώταις κατακέφαλα. 8—138,2 Euseb. Pr. Ev. VII 18 καὶ ταῦτα δὲ πάλιν ὁ Ἑβραῖος ἑρμηνεύει Φίλων ταῖς ἐκτεθείσαις αὐτοῦ φωναῖς ἔτι καὶ τάδε ἐπιλέγων: Ἀλλ' οἱ μὲν — ἀνατεῖναι.

καὶ τὸ σῶμα ἀνεγερθὲν πρὸς τὴν καθαρωτάτην τοῦ παντὸς μοῖραν, οὐρανόν, τὰς ὄψεις ἀνατεῖναι, ἵνα τῷ φανερῷ τὸ ἀφανὲς ἐκδήλως καταλαμβάνηται. ἐπειδὴ τοίνυν τὴν πρὸς τὸ ὂν διανοίας ὁλκὴν ἀμήχανον ἦν ἰδεῖν ὅτι μὴ τοὺς ἀχθέντας πρὸς αὐτοῦ μόνους — ὃ γὰρ πέπονθεν ἕκαστος, αὐτὸς ἐξαιρέτως οἶδεν —, εἴδωλον ἐναργὲς | ἀειδοῦς ὄμματος τὰ τοῦ σώματος p. 333 M. ποιεῖ δυνάμενα πρὸς αἰθέρα ἀπονεύειν. ὁπότε γὰρ οἱ ἐκ φθαρτῆς 6 παγέντες ὕλης ὀφθαλμοὶ τοσοῦτον ἐπέβησαν, ὡς ἀπὸ τοῦ τῆς γῆς χωρίου πρὸς τὸν μακρὰν οὕτως ἀφεστῶτα ἀνατρέχειν οὐρανὸν καὶ ψαύειν τῶν περάτων αὐτοῦ, πόσον τινὰ χρὴ νομίσαι τὸν πάντῃ δρόμον τῶν ψυχῆς ὀμμάτων; ἅπερ ὑπὸ πολλοῦ τοῦ τὸ ὂν κατιδεῖν τηλαυγῶς ἱμέρου πτερω- 10 θέντα οὐ μόνον πρὸς τὸν ἔσχατον αἰθέρα τείνεται, παραμειψάμενα δὲ καὶ παντὸς τοῦ κόσμου τοὺς ὅρους ἐπείγεται πρὸς τὸν ἀγένητον. (6.) διὰ τοῦτο ἐν τοῖς χρησμοῖς οἱ σοφίας καὶ ἐπιστήμης ἄπληστοι διατελοῦντες ἀνακεκλῆσθαι λέγονται· πρὸς γὰρ τὸ θεῖον ἄνω καλεῖσθαι θέμις τοὺς ὑπ' αὐτοῦ καταπνευσθέντας. δεινὸν γάρ, εἰ τυφῶσι μὲν καὶ ἁρπυίαις 15 αὐτόπρεμνα δένδρα πρὸς ἀέρα ἀνασπᾶται καὶ μυριάγωγα σκάφη βρίθοντα φόρτῳ καθάπερ τινὰ τῶν κουφοτάτων ἐκ μέσων τῶν πελαγῶν ἀναρπάζεται καὶ λίμναι καὶ ποταμοὶ μετάρσιοι φέρονται, τοὺς γῆς κόλπους ἐκλιπόντος τοῦ ῥεύματος, ὅπερ ἀνιμήσαντο αἱ τῶν ἀνέμων κραταιόταται καὶ πολυπλοκώταται δῖναι, τῇ δὲ τοῦ θείου πνεύματος καὶ πάντα δυνα- 20 τοῦ καὶ τὰ κάτω νικῶντος φύσει κοῦφον ὁ νοῦς ὢν οὐκ ἐπελαφρίζεται καὶ πρὸς μήκιστον ὕψος ἐξαίρεται, καὶ μάλιστα ὁ τοῦ φιλοσοφήσαντος ἀνόθως. οὗτος γὰρ κάτω μὲν οὐ βρίθει πρὸς τὰ σώματος καὶ γῆς φίλα

---

1 πρὸς] καὶ M τὸν οὐρανὸν Eus codd. nonnulli 2 ἀνερεῖσαι Eus codd. OG alii, ἀνέτεινεν E ἐκδήλως MUE: εὐδήλως GFH, ἀδήλως L καταλαμβάνεται G^1U 4 αὐτὸν UE 5 εἶδεν L ἐναργὲς εἴδωλον M 6 ποιεῖ om. L ἀπορεύειν M, ἀνανεύειν conicio 7 ὕλης παγέντες H 8 οὕτως] ὄντως LE 9 πάντῃ om. E τῆς ψυχῆς UE ψυχῶν H 10 τὸ ἓν U 11 πρὸς] ἀπὸ M τείνεται, ἀλλὰ κάτω που λιπὼν παντὸς E παραπεμψάμενα GH 12 ἀγένητον GFb: ἀγέννητον MUHar 14 πρὸς] ἀπὸ M τὸ corr. ex τὸν M 15 δεινὸν γὰρ εἰ H: τούτοις γὰρ M, τούτους γὰρ GUF, ἄτοπον γὰρ εἰ conicio ἁρπυίαις GH: ἁρπυίαι ὡς M, ἁρπυίαις ὡς UF 16 πρὸς] ἀπὸ M ἀέρ M 16 ἀνασπᾶται H: ἀνασπᾶσθαι MGUF 19 ἐκλείποντος GU, ἐκλείποντος κόλπους transpos. U 19. 20 κραταιότατοι καὶ πολυπλοκώτατοι M 20 τῇ] τῆς U 21 τὰ H^2: om. ceteri κάτω νικῶντος H: κατωκηκότος MGUF νικᾶν conicio κοῦφον codd.: κοῦφος Turn. ὢν H: ὂν MGUF 22 ἐξαίρεται ὕψος F 23 οὐ om. G

1—12 habet E p. 607,33—608,2 M: τῷ τοι καὶ τὸ σῶμα — ἀγένητον.

ταλαντεύων, ὧν διάζευξιν καὶ ἀλλοτρίωσιν ἀεὶ διεπόνησεν, ἄνω δὲ φέρεται τῶν μεταρσίων καὶ ἱεροπρεπεστάτων καὶ εὐδαιμόνων φύσεων ἀκορέστως ἐρασθείς. τοιγαροῦν Μωυσῆς ὁ ταμίας καὶ φύλαξ τῶν τοῦ ὄντος 26
ὀργίων ἀνακεκλήσεται· λέγεται γὰρ ἐν Λευιτικῇ βίβλῳ „ἀνεκάλεσε Μωυσῆν“ (Lev. 1, 1). ἀνακεκλήσεται δὲ καὶ ὁ τῶν δευτερείων ἀξιωθεὶς Βεσελεήλ· καὶ γὰρ τοῦτον ἀναλεῖ ὁ θεὸς πρὸς τὴν τῶν ἱερῶν κατασκευήν τε καὶ ἐπιμέλειαν ἔργων (Exod. 31,2 sqq.). ἀλλ' ὁ μὲν τὰ 27
δευτερεῖα τῆς ἀνακλήσεως, Μωυσῆς δὲ ὁ πάνσοφος οἴσεται τὰ πρωτεῖα· ἐκεῖνος μὲν γὰρ τὰς σκιὰς πλάττει καθάπερ οἱ ζωγραφοῦντες οἷς οὐ θέμις οὐδὲν ἔμψυχον δημιουργῆσαι — Βεσελεὴλ γὰρ ἐν σκιαῖς ποιῶν ἑρμηνεύεται —, Μωυσῆς δὲ οὐ σκιὰς ἀλλὰ τὰς ἀρχετύπους φύσεις αὐτὰς τῶν πραγμάτων ἔλαχεν ἀνατυποῦν. ἄλλως τε καὶ τὸ αἴτιον οἷς μὲν τηλαυγέστερον καὶ ἀριδηλότερον ὡς ἂν ἐν ἡλίῳ καθαρῷ, οἷς δὲ ἀμυδρότερον ὡς ἂν ἐν σκιᾷ τὰ οἰκεῖα εἴωθεν ἐπιδείκνυσθαι.

p. 334 M. (7.) | Διεξεληλυθότες οὖν περὶ τῶν ὁλοσχερεστέρων ἐν κόσμῳ 28
φυτῶν ἴδωμεν ὃν τρόπον καὶ τὰ ἐν τῷ ἀνθρώπῳ, τῷ βραχεῖ κόσμῳ, δένδρα ὁ πάνσοφος ἐδημιούργει θεός. αὐτίκα τοίνυν ὥσπερ βαθύγειον χωρίον σῶμα τὸ ἡμέτερον λαβὼν δεξαμενὰς αὐτῷ τὰς αἰσθήσεις ἀπειργάζετο· κἄπειθ' οἷα φυτὸν ἥμερον καὶ ὠφελιμώτατον ἑκάστην αὐτῶν 29
ἐνετίθει, ἀκοὴν μὲν εἰς οὖς, ὄψιν δ' εἰς ὄμματα καὶ εἰς μυκτῆρας ὄσφρησιν καὶ τὰς ἄλλας εἰς τὰ οἰκεῖα καὶ συγγενῆ χωρία. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνὴρ ἐν ὕμνοις λέγων ὧδε· „ὁ φυτεύων οὖς οὐκ ἀκούει; ὁ πλάσσων ὀφθαλμοὺς οὐκ ἐπιβλέψει“ (Psalm. 93, 9); καὶ 30
τὰς διηκούσας μέντοι μέχρι σκελῶν τε καὶ χειρῶν καὶ τῶν ἄλλων τοῦ σώματος μερῶν, ὅσα ἐντός τε καὶ ἐκτός, δυνάμεις ἁπάσας εὐγενῆ μοσχεύματα εἶναι συμβέβηκε. τὰ δὲ ἀμείνω καὶ τελειότερα τῷ μεσαι- 31
τάτῳ καὶ καρποφορεῖν δυναμένῳ διαφερόντως ἡγεμονικῷ προσερρίζου· ταῦτα δέ εἰσι νόησις, κατάληψις, εὐστοχία, μελέται, μνῆμαι, ἕξεις, δια-

---

5 ἀνακεκλήσεται MG²H²: ἀνακλήσεται G¹H¹UF 10 οὐδὲ U σκηναῖς UHL¹ 11 δὲ om. M 16 τῷ βραχεῖ κόσμῳ τῷ ἀνθρώπῳ M 18. 19 ἀπειργάζετο E: ὑπειργάζετο codd. 20 τὸ οὖς H 23 ὀφθαλμὸν br ἐπιβλέπει E
24 διοικούσας UE μέχρι σκελῶν M post ἄλλων add. τῶν MGUH
25 ἐκτός τε καὶ ἐντὸς G 26 συμβέβηκεν M 27 ἡγεμονικῷ H: ἡγεμόνι MGUFE προσερίζου UE 28 μελέται MGUFE: μελέτη H
28. 140,1 ἕξεις, διαθέσεις E: ἕξις, διάθεσις codd.

15—140,11 habet E p. 608,3—36 M: διεξελθόντες οὖν περὶ — δυσθεράπευτος ἡ ἀλήθεια.

θέσεις, τεχνῶν ἰδέαι πολύτροποι, βεβαιότης ἐπιστημῶν, τῶν ἀρετῆς ἁπάσης θεωρημάτων ἄληστος ἀνάληψις. τούτων οὐδὲν οὐδεὶς θνητὸς ἱκανὸς φυτουργῆσαι, πάντων δὲ ἀθρόων εἷς ὁ ἀγέννητος τεχνίτης, οὐ πεποιηκὼς μόνον, ἀλλὰ καὶ ποιῶν ἀεὶ καθ' ἕκαστον τῶν γεννωμένων τὰ φυτὰ ταῦτα.

32 (8.) Τοῖς εἰρημένοις ἐστὶν ἀκόλουθος καὶ ἡ τοῦ παραδείσου φυτουργία· λέγεται γάρ· „ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν“ (Gen. 2,8). τὸ μὲν οὖν ἀμπέλους καὶ ἐλαιῶν ἢ μηλεῶν ἢ ῥοιῶν ἢ τῶν παραπλησίων
33 δένδρα οἴεσθαι * * * πολλὴ καὶ δυσθεράπευτος εὐήθεια. τίνος γὰρ ἕνεκα, εἴποι τις ἄν; ἵνα ἐνδιαιτήσεις εὐαγώγους ἔχῃ; ὁ γὰρ κόσμος ἅπας αὐταρκέστατον ἐνδιαίτημα ἂν νομισθείη θεῷ τῷ πανηγεμόνι; ἢ οὐχὶ μυρίων καὶ ἄλλων δόξαι ἂν ὑστερίζειν, ὡς πρὸς ὑποδοχὴν τοῦ μεγάλου βασιλέως ἀξιόχρεων ὑπολῃφθῆναι; χωρὶς τοῦ μηδὲ εὐαγὲς εἶναι οἴεσθαι τὸ αἴτιον ἐν τῷ αἰτιατῷ περιέχεσθαι [τῷ] μηδὲ τὰ δένδρα
34 τοὺς ἐτησίους δήπου φέρειν καρπούς. πρὸς τὴν τίνος οὖν ἀπόλαυσίν τε καὶ χρῆσιν καρποφορήσει ὁ παράδεισος; ἀνθρώπου μὲν οὐδενός· οὐδεὶς γὰρ εἰσάγεται τὸ παράπαν τὸν παράδεισον οἰκῶν, ἐπεὶ καὶ τὸν πρῶτον διαπλασθέντα ἐκ γῆς μεταναστῆναί φησιν ἐνθένδε, ὄνομα Ἀδάμ.
35 καὶ μὴν ὅ γε θεὸς ὥσπερ τῶν ἄλλων καὶ τροφῆς ἀνεπιδεής ἐστιν· ἀνάγκη γὰρ τὸν τροφῇ χρώμενον δεῖσθαι μὲν τὸ πρῶτον, ἔπειτα δὲ ὄργανα εὐτρεπίσθαι, δι' ὧν καὶ τὴν εἰσιοῦσαν παραδέξεται καὶ τὴν ἐκμασηθεῖσαν θόραζε ἀποπέμψει. | ταῦτα δὲ μακαριότητος καὶ εὐδαι- p. 335 M.
μονίας τῆς περὶ τὸ αἴτιον ἁπάδει, τῶν ἀνθρωπόμορφον, ἔτι δὲ καὶ ἀνθρωποπαθὲς αὐτὸ εἰσαγόντων ἐπ' εὐσεβείας καὶ ὁσιότητος καθαιρέσει,
36 μεγάλων ἀρετῶν, ἐκθεσμότατα ὄντα εὑρήματα. (9.) ἰτέον οὖν ἐπ' ἀλληγορίαν τὴν ὁρατικοῖς φίλην ἀνδράσι· καὶ γὰρ οἱ χρησμοὶ τὰς εἰς

---

2 θνητὸς om. UE 3 post ἱκανὸς add. ἐντὸς E ἀθρόον E ἀγέννητος UH τεχνήτης M 4 ἀεὶ om. H 6 ἀκόλουθος corr. ex ἀκόλουθον M 7 ἐν Ἐδὲμ παράδεισον M ἐν Ἐδὲμ om. F 8 ἔπλασεν] ἐποίησεν U 10 ὑπὸ θεοῦ πεφυτεῦσθαι suppleo ἡ εὐήθεια GII², ἡ ἀλήθεια E 11 εὐαγωγοῦ G ὁ γὰρ UF (interrogationis signum post πανηγεμόνι posui): οὐ γὰρ GUH 12 ἂν om. H 13 δόξαιεν ὑστερίζειν F 14 ἀξιόχρεω MFH¹ χωρὶς scripsi: χωρίον codd. τοῦ MGUF: τῶ H 15 ἐν τῶ αἰτιατῶ M: ἐν τῶ GUFH, ἔν τῳ Turn. τῷ seclusi 18. 19 τὸ πρῶτον MGF: πρῶτον UH 22 εὐτρεπίσθαι MU: ηὐτρεπίσθαι GFH παραδέξηται G 24 ἐπάδει M τῶν] τὸν G 25 αὐτὸν M 26 εὑρέματα H ἰτέον UII (ras. ante τ in H): εἴτε MGF 27 φίλοις M

αὐτὴν ἡμῖν ἀφορμὰς ἐναργέστατα προτείνουσι· λέγουσι γὰρ ἐν τῷ παραδείσῳ φυτὰ εἶναι μηδὲν ἐοικότα τοῖς παρ' ἡμῖν, ἀλλὰ ζωῆς, ἀθανασίας, εἰδήσεως, καταλήψεως, συνέσεως, καλοῦ καὶ πονηροῦ φαντασίας. ταῦτα δὲ χέρσου μὲν οὐκ ἂν εἴη, λογικῆς δὲ ψυχῆς ἀναγκαίως φυτά, 37
⟨ἧς⟩ ἡ μὲν πρὸς ἀρετὴν ὁδὸς αὕτη ζωὴν καὶ ἀθανασίαν ἔχουσα τὸ τέλος, ἡ δὲ πρὸς κακίαν φυγήν τε τούτων καὶ θάνατον. τὸν οὖν φιλόδωρον θεὸν ὑποληπτέον ἐν τῇ ψυχῇ καθάπερ παράδεισον ἀρετῶν καὶ τῶν κατ' αὐτὰς πράξεων ἐμφυτεύειν πρὸς τελείαν εὐδαιμονίαν αὐτὴν ἄγοντα. διὰ 38
τοῦτο καὶ τόπον οἰκειότατον προσένειμε τῷ παραδείσῳ καλούμενον Ἐδέμ — ἑρμηνεύεται δὲ τρυφή —, σύμβολον ψυχῆς τῆς ἄρτια βλεπούσης, ἀρεταῖς ἐγχορευούσης καὶ ὑπὸ πλήθους καὶ μεγέθους χαρᾶς ἀνασκιρτώσης, ἀπόλαυσμα ἓν ἀντὶ μυρίων τῶν παρὰ ἀνθρώποις ἡδίστων προτεθειμένης τὴν τοῦ μόνου θεραπείαν σοφοῦ. τούτου τοῦ γανώματος 39
ἀκράτου τις σπάσας, ὁ τοῦ Μωυσέως δὴ θιασώτης, ὃς οὐχὶ τῶν ἡμελημένων ἦν, ἐν ὑμνῳδίαις ἀνεφθέγξατο πρὸς τὸν ἴδιον νοῦν φάσκων „κατατρύφησον τοῦ κυρίου“ (Psalm. 36,4), παρακεκινημένος πρὸς τὸν οὐράνιον καὶ θεῖον ἔρωτα τῇ φωνῇ, τὰς μὲν ⟨ἐν⟩ τοῖς λεγομένοις καὶ φαινομένοις ἀνθρωπίνοις ἀγαθοῖς χλιδὰς καὶ θρύψεις ἀλήκτους δυσχεράνας, ὅλον δὲ τὸν νοῦν ὑπὸ θείας κατοχῆς συναρπασθεὶς οἵστρῳ καὶ ἐνευφραινόμενος μόνῳ θεῷ. (10.) καὶ τὸ πρὸς ἀνατολαῖς μέντοι τὸν 40
παράδεισον εἶναι (Gen. 2, 8) δεῖγμα τοῦ λεχθέντος ἐστί· σκοταῖον μὲν γὰρ καὶ δυόμενον καὶ νυκτιφόρον ἀφροσύνη, λαμπρότατον δὲ καὶ περιαυγέστατον καὶ ἀνατέλλον ὡς ἀληθῶς φρόνησις. καὶ καθάπερ ἀνίσχων ἥλιος ὅλον τὸν οὐρανοῦ κύκλον φέγγους ἀναπληροῖ, τὸν αὐτὸν τρόπον αἱ ἀρετῆς ἀκτῖνες ἀναλάμψασαι τὸ διανοίας χωρίον ὅλον μεστὸν αὐγῆς καθαρᾶς ἀπεργάζονται. τὰ μὲν οὖν ἀνθρώπου κτήματα φρουροὺς ἔχει 41
καὶ φύλακας ἀγριωτάτους θῆρας εἰς τὴν τῶν ἐπιόντων καὶ κατατρεχόν-

---

1 αὐτὴν] αὐτὸν L 3 εἰδήσει G συνέσεως H: συνθέσεως MGUF 5 ἧς addidi αὕτη MF: αὐτῇ G, αὐτὴ U, αὐτῆς H 7 καὶ om. M 10 ἄρτι F 11. 12 ἀνασκιρτούσης M 12 ἥδιστον conicio 14 Μωυσέως U: Μωυσέος MGFH, Μωσέως Turn. δὴ U: δὲ MGH, δὲ οὗτος F 16 παρακεκινημένος H: παρακεκινημένως MGUF 17 θεῖον καὶ οὐράνιον F ἐν add. Mang. 18 ἀνθρωπίνης ἀγαθῆς MG ἀλήκτους scripsi: ἀλύκτους U, ἀλέκτως GF, καὶ ἀλέκτως M, om. H 18. 19 δυσχεράνας H²: δυσχεράναντος ceteri 19 θείας FH: θείου MGU κατοκωχῆς coni. Cohn συναρπασθεὶς H²: συναρπασθέντα ceteri οἵστρων conicio 20 ἐνευφραινόμενος H: ἐνευφραινομένου MGUF μόνου μόνω M 21 σκοπταῖον G 22 νυκτηφόρον H 22. 23 πυριαυγέστατον H 23 ἀνατέλλουσα M 24 ἥλιος GH: ὅλος MUF οὐρανὸν M κύκλον om. M 25 διανοίαις FL² ὅλον χωρίον H

των ἄμυναν, τὰ δὲ τοῦ θεοῦ κτήματα λογικὰς φύσεις· „ἔθετο“ γάρ φησιν „ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν“, ὃ ἐπὶ λογικῶν μόνων τῶν
42 ἀρετῶν ἐστιν. αἱ οὖν ἀσκήσεις τε καὶ χρήσεις ἐξαίρετον γέρας παρὰ τὰς τῶν ἄλλων ψυχὰς τουτὶ παρὰ τοῦ θεοῦ ἔλαβον· διὸ καὶ ἐμφαντικώτατα εἴρηται, ὅτι τὸν ἐν ἡμῖν πρὸς ἀλήθειαν ἄνθρωπον, | τουτέστι τὸν p. 336 M.
νοῦν, ἔθηκεν ἐν ἱερωτάτοις καλοκἀγαθίας βλαστήμασι καὶ φυτοῖς, ἐπεὶ 6
[δὲ] τῶν διανοίας ἀμετόχων ἱκανὸν οὐδὲν ἀρετὰς γεωργῆσαι, ὧν τὸ
43 παράπαν λαμβάνειν οὐ πέφυκε κατάληψιν. (11.) οὐκ ἔστι δ' οὖν ἀπορητέον, τί δήποτε εἰς μὲν τὴν κιβωτόν, ἣν ἐν τῷ μεγίστῳ κατα- 10
κλυσμῷ κατασκευασθῆναι συνέβη, πᾶσαι τῶν θηρίων αἱ ἰδέαι εἰσάγονται, εἰς δὲ τὸν παράδεισον οὐδεμία· ἡ μὲν γὰρ κιβωτὸς σύμβολον ἦν σώματος, ὅπερ ἐξ ἀνάγκης χεχώρηκε τὰς παθῶν καὶ κακιῶν ἀτιθάσους καὶ ἐξηγριωμένας κῆρας, ὁ δὲ παράδεισος ἀρετῶν· ἀρεταὶ δὲ οὐδὲν ἀνήμερον
44 ἢ συνόλως ἄλογον παραδέχονται. παρατετηρημένως δὲ οὐ τὸν κατὰ τὴν εἰκόνα τυπωθέντα ἄνθρωπον, ἀλλὰ τὸν πεπλασμένον εἰσαχθῆναί 15
φησιν εἰς τὸν παράδεισον· ὁ μὲν γὰρ τῷ κατὰ τὴν εἰκόνα θεοῦ χαραχθεὶς πνεύματι οὐδὲν διαφέρει τοῦ τὴν ἀθάνατον ζωὴν καρποφοροῦντος, ὡς ἔμοιγε φαίνεται, δένδρου — ἄμφω γὰρ ἄφθαρτα καὶ μοίρας τῆς μεσαιτάτης καὶ ἡγεμονικωτάτης ἠξίωται· λέγεται γὰρ ὅτι τὸ ξύλον τῆς ζωῆς ἐστιν ἐν μέσῳ τοῦ παραδείσου (Gen. 2, 9) —, ὁ δὲ τοῦ πολυμιγοῦς 20
καὶ γεωδεστέρου σώματος, ἁπλάστου καὶ ἁπλῆς φύσεως ἀμέτοχος, ἧς ὁ ἀσκητὴς ἐπίσταται τὸν οἶκον καὶ τὰς αὐλὰς [τοῦ κυρίου] οἰκεῖν μόνος — Ἰακὼβ γὰρ „ἄπλαστος οἰκῶν οἰκίαν“ εἰσάγεται (Gen. 25, 27) —, πολυτρόπῳ δὲ καὶ ἐκ παντοίων συνηρημένῃ καὶ πεπλασμένῃ διαθέσει
45 χρώμενος. τιθέναι οὖν ἐν τῷ παραδείσῳ, τῷ παντὶ κόσμῳ, ῥιζωθέντα 25
εἰκὸς ἦν τὸν μέσον νοῦν, ὁλκοῖς πρὸς τἀναντία κεχρημένον δυνάμεσιν

---

2. 3 ὃ ἐστιν, ἐπὶ τῶν λογικῶν μόνον ἀρετῶν coni. Mang., ὃ ἐπὶ λογικῶν μόνων [τῶν ἀρετῶν] ἔστιν ⟨ἀκούειν⟩ Cohn 3 αἱ γοῦν ἀρετῆς δεκτικαὶ φύσεις conicio 4 ἄλλων] ἀλόγων coni. Mang. 5 τὸν μὲν ἐν G 6 ἱερωτάτω M ἐπεὶ Cohn: ἐπὶ codd. 7 δὲ secl. Cohn ἀμετόχων Turn.: μετοχῶν MG, μετόχων UFH οὐδὲ M ἀρετὰς γεωργῆσαι scripsi: ἀρετῆς (ἄρα τις HL¹) ἐγεώργησεν codd., ἱκανὸς ἄρα οὐδείς τι γεωργῆσαι Mang. 9 εἰς μὲν τὴν H: ὡς μεγίστην MGUF 12 κεχώρηκεν M ἀτιθάσους G: ἀτιθάσσους MUFH 13 οὐδὲ M 14 περιδέχονται M δ' G τὸν om. F¹ 15 πεπλανημένον L 16 φασιν M τῷ MUH¹: om. GH², secl. Cohn 17 πνεύματι H: σώματι MGUF, secl. Cohn οὐδὲ U 18 φαίνεσθαι U 20 δὲ ⟨πλαστὸς⟩ coni. Cohn 21 ἀμέτοχος om. G ἧς] ἣν F, ἣν L² 22 οἰκεῖον MGF τοῦ κυρίου seclusi 24 ὁ ante πολυτρόπῳ add. H² δὲ codd.: τε Turn., δὲ vid. del. aut lin. 21 scrib. σώματος ⟨πλαστὸς⟩ πεπλανημένη U 25 τεθῆναι conicio παντὸς κόσμου μέσῳ conicio 62 μέσον] μὲν σὸν G¹F ὁλκοῖς scripsi: ὁλκαῖς codd. πρὸς] καὶ M

ἐπὶ τὴν διάκρισίν τε αὐτῶν ἀνακληθέντα, ἵνα πρὸς αἵρεσιν καὶ φυγὴν ὁρμήσας, εἰ μὲν τὰ ἀμείνω δεξιώσαιτο, ἀθανασίας καὶ εὐκλείας ἀπόναιτο, εἰ δ' αὖ τὰ χείρω, ψεκτὸν θάνατον εὕρηται. (12.) τοιαῦτα 46 μὲν δὴ δένδρα ὁ μόνος σοφὸς ἐν ψυχαῖς λογικαῖς ἐρρίζου. Μωυσῆς δὲ οἰκτιζόμενος τοὺς μετανάστας ἐκ τοῦ τῶν ἀρετῶν παραδείσου γεγονότας καὶ τὸ αὐτεξούσιον τοῦ θεοῦ κράτος αὐτοῦ καὶ τὰς ὅλεως καὶ ἡμέρους δυνάμεις εὔχεται, ὅθεν ὁ γήινος νοῦς Ἀδὰμ πεφυγάδευται, κεῖθι τοὺς ὁρατικοὺς ἐμφυτευθῆναι· λέγει γάρ· „εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς 47 ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου ὃ κατειργάσω, κύριε, ἁγίασμα, κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου· κύριος βασιλεύων τὸν αἰῶνα καὶ
p. 337 M. ἐπ' αἰῶνα καὶ ἔτι“ (Exod. 15,17. 18). | οὐκοῦν σαφέστατα εἰ καί τις 48 ἄλλος ἔμαθεν, ὅτι τὰ σπέρματα καὶ τὰς ῥίζας ἁπάντων καθεὶς ὁ θεὸς αἴτιός ἐστι τοῦ τὸ μέγιστον ἀναβλαστῆσαι φυτόν, τόνδε τὸν κόσμον, ὃν καὶ νῦν ἔοικεν αἰνίττεσθαι δι' αὐτοῦ τοῦ λεχθέντος ᾄσματος „ὄρος“ αὐτὸν „κληρονομίας“ εἰπών· ἐπειδὴ τοῦ πεποιηκότος οἰκειότατον τὸ γενόμενον κτῆμα καὶ κλῆρος. εὔχεται οὖν ἡμᾶς ἐν τούτῳ φυτευθῆναι, 49 οὐχ ἵνα ἄλογοι καὶ ἀφηνιασταὶ γενώμεθα τὰς φύσεις, ἀλλ' ἵνα ἑπόμενοι τῇ τοῦ τελειοτάτου διοικήσει τὴν κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν αὐτοῦ διέξοδον ἀπομιμούμενοι σώφρονι καὶ ἀπταίστῳ βίῳ χρώμεθα· τὸ γὰρ ἀκολουθίᾳ φύσεως ἰσχῦσαι ζῆν εὐδαιμονίας τέλος εἶπον οἱ πρῶτοι. καὶ μὴν τά γε αὖθις λεγόμενα συνᾴδει τῷ προτεθέντι, τὸ τὸν 50 κόσμον εὐτρεπῆ καὶ ἕτοιμον αἰσθητὸν οἶκον εἶναι θεοῦ, τὸ κατειργάσθαι καὶ μὴ ἀγένητον εἶναι, ὡς ᾠήθησάν τινες, τὸ „ἁγίασμα“, οἷον ἁγίων ἀπαύγασμα, μίμημα ἀρχετύπου, ἐπεὶ τὰ αἰσθήσει καλὰ τῶν νοήσει

---

1 ἀνακληθέντα scripsi: μετακλιθῆναι MH, μετακληθῆναι GF, μεταβληθῆναι U πρὸς] καὶ M 2. 3 ἀπώνετο M, ἀπόνηται conicio 3 αὖ τὰ M: αὐτὰ UFH, αὐτὰ τὰ GL 4 ἐρίζου MU 6 καὶ] κατὰ L¹ τοῦ MGUF: τὸ H αὐτοῦ post ἡμέρους transponit Cohn prius καὶ H: om. MGUF 8 καταφύτευσον G: καταφυτεύσεις ceteri 9 εἰς ὄρους L κληρονομίας scripsi (cf. lin. 15): κληροδοσίας codd. 9 εἰς ἕτιμον (ἕτοιμον) κατοικητήριόν σου ὃ in ras. G: ἕδρασμα εἰς καθέδραν σου ceteri κυρίου MUFH 10 ὃ ἡτοίμασαν αἱ in ras. G: ἥδρασαν ceteri βασιλεύων GH²: βασιλεύει MUFH¹ τὸν] τῶν H² 10. 11 αἰώνων καὶ ἐπ' H in mg. καὶ ἐπ' αἰῶνα H: om. MGUF 11 καὶ ἔτι] ἔτι UF¹ 12 ὅτι καὶ τὰ M 13 τοῦ τὸ GH: τοῦτο MUF, καὶ τοῦ τὸ Mang. „ex Ms. Med.“ (!) 16 γινόμενον M 18 τὰ om. M 19 σωφρονικῶ καὶ F 21 τὸ scripsi: τῶ codd. 22 εὐτρεπῆ M: εὐπρεπῆ GUFH τὸ] τῶ U 23 ἀγέννητον UH post τὸ add. δὲ H² ⟨ὠνομάσθαι⟩ οἷον conicio 24 ἀρχετύπου H²: ἀρχέτυπον ceteri ἐπεὶ H: ἐπὶ MGUF τῶν codd.: καὶ v νοήσει H: οἰήσει MGUF

καλῶν εἰκόνες, τὸ ἡτοιμάσθαι ὑπὸ χειρῶν θεοῦ, τῶν κοσμοποιῶν αὐτοῦ
51 δυνάμεων. ἀλλ' ὅπως μηδεὶς ὑπολάβοι τὸν ποιητὴν χρεῖον εἶναί τινος
τῶν γεγονότων, τὸ ἀναγκαιότατον ἐπιφωνήσει· „βασιλεύων τὸν αἰῶνα
καὶ ἐπ' αἰῶνα καὶ ἔτι“· βασιλέα δὲ οὐδενὸς δεῖσθαι, τὰ δὲ ὑπήκοα
52 βασιλέως θέμις πάντα. τινὲς δὲ ἔφασαν κλῆρον εἶναι καὶ λέγεσθαι
θεοῦ τὸ ἀγαθόν, οὗ τὴν χρῆσιν καὶ ἀπόλαυσιν εὔχεσθαι νυνὶ Μωυσῆν
προσγενέσθαι· εἰσαγαγών, γάρ φησιν, ἡμᾶς οἷα παῖδας ἄρτι μανθάνειν
ἀρχομένους διὰ τῶν σοφίας δογμάτων καὶ θεωρημάτων καὶ μὴ ἀστοι-
53 χειώτους ἐάσας ἐν ὑψηλῷ καὶ οὐρανίῳ λόγῳ καταφύτευσον. κλῆρος γὰρ
οὗτος ἑτοιμότατος καὶ προχειρότατος οἶκος, ἐπιτηδειότατον ἐνδιαίτημα,
ὃ „κατειργάσω ἅγιον“· ἀγαθῶν γὰρ καὶ ἁγίων, ὦ δέσποτα, ποιητὴς ὢν
τυγχάνεις, ὡς ἔμπαλιν κακῶν καὶ βεβήλων γένεσις ἡ φθαρτή. βασίλευε
δὴ τὸν ἄπειρον αἰῶνα ψυχῆς τῆς ἱκέτιδος μηδὲ ἀκαρὲς ἐῶν αὐτὴν
ἀνηγεμόνευτον· ἡ γὰρ ἀδιάστατος παρὰ σοὶ δουλεία τῆς μεγίστης ἀρχῆς,
54 οὐκ ἐλευθερίας μόνον ἀμείνων. (13.) πολλοῖς δὲ ἂν τάχα που ζήτησιν
παράσχοι, τίνα ἔχει λόγον τὸ „εἰς ὄρος κληρονομίας σου“· κληροδοτεῖν
μὲν θεὸν ἀναγκαῖον, κληρονομεῖν δὲ ἴσως οὐκ εὔλογον πάντων αὐτοῦ
55 κτημάτων ὄντων. ἀλλὰ μήποτε τοῦτο λέγεται ἐπὶ τῶν κατὰ τὸν ἐξαί-
ρετον οἰκειώσεως λόγον δεσποζομένων πρὸς αὐτοῦ, καθάπερ οἱ βασιλεῖς
ἁπάντων μὲν ἄρχουσι τῶν ὑπηκόων, διαφερόντως δὲ τῶν οἰκετῶν, οἷς
πρὸς | τὴν τοῦ σώματος ἐπιμέλειαν καὶ τὴν ἄλλην δίαιταν ὑπηρέταις p. 338 M.
56 εἰώθασι χρῆσθαι. οἱ δὲ αὐτοὶ καὶ τῶν κατὰ τὴν χώραν ἁπάντων ὄντες
κτημάτων δεσπόται καὶ ὅσων ἐπικρατεῖν οἱ ἰδιῶται δοκοῦσι, μόνα ταῦτα
ἔχειν νομίζονται, ἅπερ ἐπιτρόποις καὶ ἐπιμεληταῖς ἐγχειρίσαιεν, ἀφ' ὧν
καὶ τὰς ἐτησίους προσόδους ἐκλέγουσιν· εἰς ἃ πολλάκις ἀνέσεως καὶ

---

1 τὸ δὲ ἡτοιμάσθαι H 2 ὑπολάβοι MGFHbr: ὑπολάβῃ Ua v 3 τὸ] τὸν MUF γεγονότων ἀναγκαίως ἐπεβόησε Μωυσῆς λέγων· κύριος βασιλεύων E τὸν αἰῶνα MGUF: τῶν αἰώνων HE 4 καὶ ante ἔτι om. UF βασιλέα scripsi: βασι M, βασιλεῖ GUF, βασιλεὺς H δεῖσθαι MGUF: δεῖται H δὲ] δὲ δὴ v 5 κλῆρος M λέγεται U 6 καὶ ἔλαυσιν M 9 λόγῳ] λόφῳ coni. Mang. καταφύτευσον M: κατεφύτευσε FL^2, καταφύτευε $G^2H^2L^1$, κατεφύτευε G^1UH^1 14 ἀνηγεμόνευτον om. G παρά σου F 15 δὲ om. F 16 ἔχει G^2H: ἔχοι MG^1UFL κληροδοσίας MGF 17 μὲν ⟨γὰρ⟩ conicio 18 ὄντων G 20 οἷς GFH: οἳ MU 21 ἐπιμέλειαν om. F 22 καίτοι τῶν coni. Mang. 24 νομίζονται H: νομίζοντες MGUF ἐγχειρίσαιεν H: ἐγχειρήσαιεν M, ἐγχειρῆσαι G, ἐγχειρίσαι UF 25 ἐκλόγους εἰς M

2—4 ἀλλ' ὅπως — ἔτι habet E, II p. 608,36—40 M.

εὐθυμίας ἕνεκα προσέρχονται τὸ βαρύτατον τῶν ἐν πολιτείᾳ καὶ βασιλείᾳ φροντίδων ἄχθος ἀποτιθέμενοι· καὶ καλεῖται μέντοι ταῦτα τὰ κτήματα αὐτοῖς βασιλικά. καὶ μὴν ἄργυρός τε καὶ χρυσὸς καὶ ὅσα ἄλλα κειμήλια 57
παρὰ τοῖς ἀρχομένοις θησαυροφυλακεῖται τῶν ἡγουμένων μᾶλλον ἢ τῶν
5 ἐχόντων ἐστίν, ἀλλ' ὅμως ἴδιοι τῶν βασιλέων θησαυροὶ λέγονται, ἐν οἷς οἱ ταχθέντες τῶν φόρων ἐκλογισταὶ ⟨τὰς⟩ ἀπὸ τῆς χώρας προσόδους κατατίθενται. μηδὲν οὖν θαυμάσῃς, εἰ καὶ τοῦ πανηγεμόνος θεοῦ τὸ ἐφ' 58
ἅπασι κράτος εἰληχότος ἐξαίρετος κλῆρος εἶναι λέγεται ψυχῶν σοφῶν ὁ θίασος, ὁ ὀξυωπέστατα ὁρῶν, ἀμέμπτῳ καὶ ἀκραιφνεῖ κεχρημένος τῷ
10 διανοίας ὄμματι, μύσαντι μὲν οὐδέποτε, ἀεὶ δὲ ἀναπεπταμένῳ καὶ εὐθυτενῶς βλέποντι. (14.) οὐ διὰ τοῦτο μέντοι καὶ ἐν ᾠδῇ τῇ μείζονι 59
λέγεται· „ἐπερώτησον τὸν πατέρα .σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι· ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ·
15 καὶ ἐγένετο μερὶς κυρίου λαὸς αὐτοῦ Ἰσραήλ“ (Deut. 32,7—9); ἰδοὺ 60
γὰρ πάλιν μερίδα καὶ κλῆρον εἴρηκε θεοῦ τὸν ὁρατικὸν αὐτοῦ καὶ γνήσιον θεραπευτὴν τρόπον, τοὺς δὲ γῆς παῖδας, οὓς Ἀδὰμ ὠνόμασεν υἱούς, ἐσπάρθαι καὶ ἀνασκεδασθῆναι καὶ ἐπισυναχθῆναι, στῖφος δὲ γενέσθαι ἡγεμόνι χρήσασθαι ὀρθῷ λόγῳ μὴ δυναμένους. τῷ γὰρ ὄντι
20 ἁρμονίας μὲν καὶ ἑνώσεως αἴτιον ἀρετή, διαλύσεως δὲ καὶ διαρτήσεως ἡ ἐναντία διάθεσις. δεῖγμα μέντοι τῶν εἰρημένων ἐστὶ τὸ γινόμενον 61
ἀνὰ πᾶν ἔτος ἡμέρᾳ τῇ λεγομένῃ τοῦ ἱλασμοῦ· τότε γὰρ διείρηται „δύο τράγους διακληροῦν, τὸν μὲν τῷ κυρίῳ, τὸν δὲ τῷ ἀποπομπαίῳ“
p. 339 M. (Lev. 16,8), | διττὸν λόγον, ὃν μὲν θεῷ, ὃν δὲ γενέσει· ὁ ἀποσεμνύνων
25 μὲν οὖν τὸ αἴτιον [τιμὴν] αὐτῷ προσκληρώσεται, ὁ δὲ γένεσιν φυγαδευ-

---

1 προέρχονται coni. Mang. 6 τὰς addidi 8 εἰληφότος MF 9 ὁ scripsi: ὃς MGUF, ὡς H 10 δ' M 11 ἰθυτενῶς U οὐ διὰ MUF: καὶ διὰ GH 12. 13 τοῖς πρεσβυτέροις MU 13 ὅτι MF διεμέριζεν MGF: διεμέρισεν UH, διεμέλησεν L ἔθνη om. M 15 μερὶς ὁ λαὸς M, μερὶς καὶ λαὸς F αὐτοῦ ⟨Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ⟩ suppleo 18 διεσπάρθαι coni. Mang. ἀνασυναχθῆναι καὶ ἐπισκεδασθῆναι U μὴ post alterum καὶ add. Mang. ἐπισυνεχθῆναι M, ἐπισυγχυθῆναι coni. Cohn, μηκέτι συναχθῆναι conicio δὲ MGUF: τε H 19 γενέσθαι scripsi: ἐγγενέσθαι codd. δυνάμενον conicio 20 διαρτήσεως F: διαρτύσεως ML², διαρτίσεως U, διαστάσεως GHL¹ 22 διείρηται G¹FH: εἴρηται M, διήρηται U, δὴ εἴρηται G² 24 διττὸν] διὰ τὸν G ὁ om. UF ἀποσεμνύνων μὲν scripsi: ἀποσεμνυνόμενον MGUF, ἀποσεμνύνων H 25 τὸ] τὸν F τιμὴν seclusi αὐτῷ H² ἀποκληρώσεται M, προσκληρωθήσεται conicio γένεσιν Mang.: γενέσει codd.; fort. scribendum: ὁ ἀπονέμων μὲν οὖν τῷ αἰτίῳ τιμὴν . . . ., ὁ δὲ γενέσει.

θήσεται, τῶν μὲν ἱερωτάτων ἐλαυνόμενος χωρίων, εἰς δὲ ἄβατα καὶ
62 βέβηλα καὶ βάραθρα ἐμπίπτων. (15.) τοσαύτῃ μέντοι τῇ ⟨τοῦ⟩ θεοφιλοῦς περιουσίᾳ χρῆται Μωυσῆς, ὥστε αὐτῷ τούτῳ μάλιστα πεπιστευκὼς θερμοτέροις καὶ μείζοσιν ἢ κατὰ τὰς ἑτέρων ἡμῶν ἀκοὰς λόγοις τε καὶ δόγμασιν εἴωθε χρῆσθαι· οὐ γὰρ μόνον ἀξιοῖ κληρονομεῖν θεόν, ἀλλὰ
63 καὶ αὐτόν, τὸ παραδοξότατον, κλῆρον ἑτέρων εἶναι. φυλὴν γὰρ ὅλην πρόσφυγα καὶ ἱκέτιν αὐτοῦ λῆξιν μὲν τῆς χώρας, καθάπερ τὰς ἄλλας ἔνδεκα, οὐκ ἠξίωσε νείμασθαι, γέρας δὲ ἐξαίρετον λαβεῖν ἱερωσύνην, οὐκ ἐπίγειον, ἀλλ' ὀλύμπιον κτῆμα· „οὐ γὰρ ἔσται“ φησί „τῇ φυλῇ Λευὶ μερὶς οὐδὲ κλῆρος ἐν υἱοῖς Ἰσραήλ, ὅτι κύριος αὐτὸς κλῆρος αὐτῶν“ (Deut. 10, 9). καὶ ἐκ προσώπου μέντοι τοῦ θεοῦ διὰ τῶν χρησμῶν ᾄδεται τὸν τρόπον τοῦτον· „ἐγὼ μερίς σου καὶ κληροδοσία“ (Num. 18,
64 20)· τῷ γὰρ ὄντι ὁ τελείως ἐκκεκαθαρμένος νοῦς καὶ πάντα τὰ γενέσεως ἀπογινώσκων ἓν μόνον οἶδε καὶ γνωρίζει τὸ ἀγένητον, ᾧ προσελήλυθεν, ὑφ' οὗ καὶ προσείληπται. τίνι γὰρ ἔξεστιν εἰπεῖν „αὐτός μοι μόνος ἐστὶν ὁ θεός“ ἢ τῷ μηδὲν τῶν μετ' αὐτὸν ἀσπαζομένῳ; οὗτος δ' ἐστὶν ὁ Λευίτης τρόπος· ἑρμηνεύεται γὰρ „αὐτός μοι“ διὰ τὸ ἄλλα ἄλλοις τετιμῆσθαι, μόνῳ δὲ αὐτῷ τὸ ἀνωτάτω καὶ πάντων ἄριστον
65 αἴτιον. (16.) ἤδη τινὰ τῶν παλαιῶν φασι καθάπερ ἐκπρεπεστάτης γυναικὸς τῷ σοφίας ἐπιμανέντα κάλλει πολυτελεστάτης πομπῆς θεασάμενον παρασκευὴν ἄφθονον, ἀπιδόντα πρός τινας τῶν συνήθων εἰπεῖν „ἴδετε, ὦ ἑταῖροι, ὅσων χρείαν οὐκ ἔχω“, καίτοι γε ἔξω τῶν ἀναγκαίων

---

2 βαραθρώδη coni. Mang. τοῦ addidi 3 ὥστε] spatium in M 4 ἑτέρων] ἀσθενεστέρων coni. Mang. 6 τὸ scripsi: τὸν MGUFH¹, om. H² φυλακὴν M, φῦλην G ὅλην H: ἄλλην MGUF 7 οἰκέτιν L τὰς ἄλλας Turn.: ταῖς ἄλλαις H², ἄλλας ceteri 9 ἔσται UH: ἔστι F, ἕξει G, ὡς M Λευὶ φυλῇ H 10 μερὶς UH: μέρος MGF οὐδὲ F: οὔτε ceteri αὐτὸς UH: αὐτῶν MGF αὐτῷ conicio 11 τοῦ om. G 11. 12 διὰ τῶν χρησμῶν ᾄδεται U: ᾄδεται διὰ τῶν χρησμῶν (τὸν χρησμὸν M) MGFH 12 κληρονομία coni. Mang. 13 κεκαθαρμένος H τὰ FH: om. MGU 13. 14 γενέσθαι M 14 ἀπογιγνώσκων G γνωρίζει] γινώσκει M ἀγέννητον UH 15 τίνι] ὦ M 16 θεὸς ⟨κλῆρος⟩ conicio αὐτῶν M οὗτος MGUF: αὐτὸς U 17 δὲ MGH 18 τὸ H: τῷ MGUF πάντα M 18. 19 ἄριστον αἴτιον H: ἀρίστῳ αἰτίῳ MGUF 19 πάλαι MF φησι MGF εὐπρεπεστάτης conicio 20 τῷ et κάλλει Turn.: τοῦ et κάλλους codd. ἐπιμανέντος F 21 παρασκευῆς U ἀποδιδόντα MG¹U τινας H: τινὰ ceteri συνήθως U 22 ἴδεται M ἑτέροι M γε om. F

---

19 cf. testimonia ad p. 87, 14 allata.

οὐδὲν ἁπλῶς περιβεβλημένον, ὡς μηδὲ ὑποφυσηθέντα πλούτου μεγέθει,
ὃ μυρίοις συνέβη, δόξαι τῷ λόγῳ καταλαζονεύεσθαι τοῦ θεοῦ. ὁ νομο- 66
θέτης ἐκδιδάσκει φρονεῖν δεῖν τοὺς μηδὲν χρῆμα τῶν ἐν γενέσει γνωρί-
ζοντας, ἀπογινώσκοντας δὲ ὅσα γενητὰ διὰ τὴν πρὸς τὸν ἀγένητον
οἰκειότητα. ὃν μόνον πλοῦτον καὶ εὐδαιμονίας ὅρον τελεωτάτης ἐνόμισαν.
μηκέτι νῦν οἱ τὰς βασιλείας καὶ ἡγεμονίας ἀναψάμενοι μεγαλαυχείτωσαν, 67
οἱ μὲν ὅτι μίαν πόλιν ἢ χώραν ἢ ἔθνος ἓν ὑπηγάγοντο, οἱ δὲ ὅτι πάντα
μὲν γῆς κλίματα μέχρι τῶν περάτων αὐτῆς, πάντα δὲ Ἑλληνικὰ καὶ
βαρβαρικὰ ἔθνη, πάντας δὲ ποταμοὺς καὶ τὰ ἄπειρα πλήθει καὶ μεγέθει
πελάγη προσεκτήσαντο. καὶ γὰρ εἰ μετὰ τούτων τῆς μεταρσίου φύσεως, 68
ὃ μηδὲ εἰπεῖν εὐαγές, ἣν μόνην ἐκ πάντων ἀδούλωτον καὶ ἐλεύθερον ὁ
ποιητὴς εἰργάσατο, ἐπεκράτησαν, ἰδιῶται νομισθεῖεν ἂν κατὰ σύγκρισιν
p. 340 M. | μεγάλων βασιλέων, οἳ τὸν θεὸν κλῆρον ἔλαχον· ὅσῳ γὰρ ὁ κτησάμενος
τὸ κτῆμα τοῦ κτήματος ἀμείνων καὶ τὸ πεποιηκὸς τοῦ γεγονότος,
τοσούτῳ βασιλικώτεροι ἐκεῖνοι. (17.) τοὺς μὲν οὖν πάντα τοῦ σπου- 69
δαίου φάσκοντας εἶναι παραδοξολογεῖν ᾠήθησάν τινες ἀφορῶντες εἰς τὴν
ἐκτὸς ἔνδειάν τε καὶ περιουσίαν καὶ μηδένα τῶν ἀχρημάτων ἢ ἀκτη-
μόνων πλούσιον νομίζοντες. Μωυσῆς δὲ οὕτως περίβλεπτον καὶ περι-
μάχητον ἡγεῖται σοφίαν, ὥστε οὐ μόνον τὸν σύμπαντα κόσμον ἀξιό-
χρεω κλῆρον αὐτῆς ἀλλὰ καὶ τὸν τῶν ὅλων ἡγεμόνα νομίζειν. τὰ δὲ 70
δόγματα οὐκ ἐπαμφοτεριζόντων ταῦτ' ἐστίν, ἀλλὰ βεβαίᾳ πίστει κατε-
σχημένων· ἐπεὶ καὶ νῦν εἰσί τινες τῶν ἐπιμορφαζόντων εὐσέβειαν, οἳ τὸ
πρόχειρον τοῦ λόγου παρασυκοφαντοῦσι φάσκοντες οὔθ' ὅσιον οὔτ'
ἀσφαλὲς εἶναι λέγειν ἀνθρώπου θεὸν κλῆρον. οὐ γὰρ ἀπὸ γνησίου τοῦ 71
πάθους, ἀλλ' ὑποβολιμαίου καὶ νόθου, πρὸς τὴν θεωρίαν τῶν πραγμάτων,

---

2 alterum ὃ] ὁ MH, ὅπερ ὁ coni. Cohn 3 δεῖν H: δεῖ GUF, χρὴ M χρῆμα τῶν scripsi: χρημάτων codd. 3. 4 γνωρίζοντας scripsi: πορίζοντας codd. 4 ἀπογινώσκοντα M γεννητὰ UH τὸν] τὸ conicio ἀγέννητον GUH 5 τελειοτάτης UH 6 μηκέτ' οὖν coni. Cohn ἡγεμόνας M μεγαλαυχήτωσαν H 8 γῆς om. M 9 πλήθει Turn.: πλήθη codd. μεγέθει U: μεγέθη ceteri 10 καὶ πελάγη M εἰ UH: ὁ MGF 11 ὃ μηδὲ H: ὃ μηδὲν U, οἱ μηδὲν MG, ἢ μηδὲν F ἣν H: ἢ, tum spatium 2 litt. M, ἢ GUF μόνον M ἐξ ἁπάντων F 12 ἐπεκράτης (sic) G 15 βασιλικώτεροι GH: βασιλικώτερον MUF ἐκεῖνοι H: ἐκείνου MGUF 16 φάσκοντος G¹ ἀφορῶντες εἰς om. M εἰς om. F 16. 17 τὴν ⟨τῶν⟩ ἐκτὸς conicio 17 ἄδειαν G 18 πλουσίων G δέ γε M οὕτω H 18. 19 καὶ περιμάχητον om. G 19. 20 ἀξιόχρεων G² 20 αὐτοῖς G² 20. 21 τὸ δὲ δόγμα et τοῦτ' conicio 21 δεδογμένα M ἐπαμφοτεριζόντων Turn.: ἐπ' ἀμφοτέρων codd. ταῦτ' Turn.: ταυτὸν codd. ἀλλὰ] ἀλλὰ τῶν H 22 εὐσεβεία HL¹ 23 οὔτ' M: οὔθ' H, οὔτε GUF 24 εἶναι om. H

εἴποιμ' ἂν αὐτοῖς, ἥκετε· ἐν ἴσῳ γὰρ ᾠήθητε τὰ ἀμπέλων ἢ ἐλαιῶν ἢ τῶν ὁμοιοτρόπων κτήματα τῶν ἐχόντων καὶ σοφῶν τὸν θεὸν κλῆρον λέγεσθαι, καὶ οὐκ ἐνενοήσατε ὅτι καὶ ζωγράφοις ζωγραφία καὶ συνόλως τέχνη τῷ τεχνίτῃ λέγεται κλῆρος, οὐχ ὡς γήινον κτῆμα, ἀλλ' ὡς ὀλύμ-
72 πιον ἀγώνισμα. δεσπόζεται γὰρ τῶν τοιούτων οὐδέν, ἀλλ' ὠφελεῖ τοὺς ἔχοντας· ὥστε καὶ τὸ ὂν κλῆρον μὴ ὡς κτῆμα τούτοις ἐμφερὲς ἀκούετε τοῖς λεχθεῖσιν, ᾧ συκοφάνται, ἀλλ' ὡς ὠφελιμώτατον καὶ μεγίστων τοῖς θεραπεύειν ἀξιοῦσιν ἀγαθῶν αἴτιον.

73 (18.) Εἰρηκότες οὖν περὶ τοῦ πρώτου φυτουργοῦ καὶ φυτοῦ τὰ ἁρμόζοντα μέτιμεν ἑξῆς ἐπὶ τὰς τῶν μαθημάτων ἅμα καὶ μιμημάτων ἐπιμελείας. εὐθέως τοίνυν ὁ σοφὸς Ἀβραὰμ λέγεται „φυτεῦσαι ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου καὶ ἐπικαλέσαι τὸ ὄνομα κυρίου θεὸς
74 αἰώνιος“ (Gen. 21, 33)· καὶ οὐ δεδήλωται τῶν φυτῶν ἡ ἰδιότης, ἀλλ' αὐτὸ μόνον τοῦ χωρίου τὸ μέγεθος. φασὶ δὲ οἷς ἔθος ἐρευνᾶν τὰ τοιαῦτα, πάντα θεοῦ ὅσα ἐν κτήμασιν ἠκριβῶσθαι διαφερόντως, καὶ τὸ δένδρον καὶ τὸ χωρίον καὶ τὸν τοῦ δένδρου καρπόν· τὸ μὲν οὖν δένδρον αὐτὴν εἶναι τὴν ἄρουραν, ἀλλ' οὐχ ὁμοίαν τοῖς βλαστάνουσιν ἀπὸ γῆς, ἀλλὰ κατὰ τὴν τοῦ θεοφιλοῦς ῥιζωθεῖσαν, τὸ δὲ χωρίον τὸ φρέαρ τοῦ ὅρκου, τὸν δὲ καρπὸν τὴν τοῦ κυρίου ὀνόματος μετά-
75 ληψιν εἰς θεὸν αἰώνιον. τὸν δὲ περὶ ἑκάστου τῶν προταθέντων εἰκότα λόγον ἀναγκαῖον προσαποδοῦναι· ἡ μὲν τοίνυν ἄρουρα μήκει πηχῶν | οὖσα ἑκατὸν καὶ πλάτει τῶν ἴσων κατὰ τὴν τοῦ τετραγώνου φύσιν πολυ- p. 341 M.
76 πλασιασθέντων εἰς μυρίων ἀριθμὸν ἐπιπέδων συντίθεται πηχῶν. ἔστι δὲ ὅρος οὗτος τῶν ἀπὸ μονάδος παραυξηθέντων ὁ μέγιστος καὶ τελειότατος, ὥστε ἀρχὴν μὲν ἀριθμῶν εἶναι μονάδα, τέλος δὲ ἐν τοῖς κατὰ τὴν πρώτην σύνθεσιν μυριάδα. παρὸ καί τινες οὐκ ἀπὸ σκοποῦ βαλβῖδι μὲν μονάδα, καμπτῆρι δὲ εἴκασαν μυριάδα, τοὺς δὲ μεθορίους πάντας

---

1 ἥκετε H: ἱκέται MGUF ᾠήθη M 2 κτήματα τῶν scripsi: κτημάτων MF, κτήματα GUH σοφὸν M 3 ἐνοήσατε M 4 τεχνήτῃ M 5 ὄφε M 6 κλῆρον μὴ H: κληρονομεῖν M, κληρονομεῖ GUF τούτοις ἐμφερὲς H^2: τοῖς ἐμφερεστέροις ceteri ἀκούετε UH: ἀκούεται GF, ἀκούετο M 7 μεγίστων Mang.: μέγιστον codd. 8 ante ἀξιοῦσιν ras. 2 litt. H ἀγαθὸν U 11 Ἄβραὰμ FH 13 θεὸς αἰώνιος Mang.: θεοῦ αἰωνίου codd. ἰδιώτης M 15 θεοῦ ὅσα ἐν κτήμασιν corrupta 18 ῥιζωθεῖσιν coni. Mang. 19 κύριος conicio 20 προταθέντων codd.: προτεθέντων v 21 πως ἀποδοῦναι GF, ἀποδοῦναι M μήκει MGF: μήκους UH 22 πλάτει Mang.: πλάτους codd. 26 παρ' ὃ GU

ἀριθμοὺς τοῖς δρόμον ἀγωνιζομένοις· ἀρχόμενοι γὰρ ὥσπερ ἀπὸ βαλβῖδος φέρεσθαι μονάδος παρὰ μυριάδα τὸ τέλος ἵστανται. μετιόντες οὖν 77
ἀπὸ τούτων τινὲς ὡσανεὶ συμβόλων ἔφασαν τὸν θεὸν ἀρχὴν καὶ πέρας εἶναι τῶν ἁπάντων, δόγμα κατασκευαστικὸν εὐσεβείας· τοῦτο τὸ δόγμα φυτευθὲν ἐν ψυχῇ κάλλιστον καὶ τροφιμώτατον καρπόν, ὁσιότητα, τίκτει.
τόπος ⟨δ'⟩ ἐστὶν οἰκειότατος τῷ φυτῷ τὸ φρέαρ, ὃ κέκληται ὅρκος, ἐν 78
ᾧ κατέχει λόγος μὴ ἀνευρεθῆναι ὕδωρ· „παραγενόμενοι“ γάρ φησιν „οἱ παῖδες Ἰσαὰκ ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ ὤρυξαν, καὶ εἶπον· οὐχ εὕρομεν ὕδωρ, καὶ ἐκάλεσεν αὐτὸ ὅρκος“ (Gen. 26, 32. 33).
τοῦτο δὲ ἦν ἔχει δύναμιν θεασώμεθα· (19.) οἱ τὴν τῶν ὄντων φύσιν 79
διερευνῶντες καὶ τὰς περὶ ἑκάστων ζητήσεις μὴ ὀλιγώρως ποιούμενοι παραπλήσια ποιοῦσι τοῖς τὰ φρέατα ὀρύττουσι· καὶ γὰρ ἐκεῖνοι τὰς ἐν ἀφανεῖ πηγὰς ἀναζητοῦσι. καὶ κοινὸς μὲν πόθος ἅπασίν ἐστι ποτὸν ἀνευρεῖν, ἀλλὰ τοῖς μὲν δι' οὗ σῶμα, τοῖς δὲ δι' οὗ ψυχὴ πέφυκε τρέφεσθαι. ὥσπερ οὖν ἔνιοι τῶν ἀνατεμνόντων τὰ φρέατα τὸ ζητού- 80
μενον ὕδωρ πολλάκις οὐχ εὗρον, οὕτως οἱ προσωτέρω χωροῦντες τῶν ἐπιστημῶν καὶ ἐπὶ πλέον ἐμβαθύνοντες αὐταῖς ἀδυνατοῦσι τοῦ τέλους ἐπιψαῦσαι. τοὺς γοῦν πολυμαθεῖς φασιν ἀμαθίαν δεινὴν ἑαυτῶν κατηγορεῖν, μόνον γὰρ ὅσον τοῦ ἀληθοῦς ὑστερίζουσιν ᾔσθοντο.
καί τινα τῶν παλαιῶν λόγος ἔχει θαυμαζόμενον ἐπὶ σοφίᾳ εἰκότως φάναι θαυμάζεσθαι· μόνον γὰρ εἰδέναι ὅτι οὐδὲν οἶδεν. ἑλοῦ δ' εἰ 81
θέλεις ἦν ἂν διανοηθῇς μικρὰν ἢ μείζονα τέχνην καὶ τὸν κατὰ ταύτην γενόμενον ἄριστόν τε καὶ δοκιμώτατον, εἶτα κατανόησον εἰ τὰ ἐπαγγέλματα τῆς τέχνης ἰσάζει τοῖς ἔργοις τοῦ τεχνίτου· σκοπῶν γὰρ εὑρήσεις ταῦτα ἐκείνων οὐ βραχέσιν ἀλλὰ μεγάλοις διαστήμασιν ἀποδέοντα, σχεδὸν ἀδυνάτου καθεστῶτος πρὸς ἡντινοῦν τελειωθῆναι τέχνην πηγῆς τρόπον ἀεὶ καινουμένην καὶ θεωρημάτων παντοίων ἰδέας ἀνομβροῦσαν.
διὰ τοῦθ' ὅρκος ὠνομάσθη προσφυέστατα τὸ πίστεως βεβαιοτάτης σύμ- 82

---

2 ἵσταται G 3 ὡς ἂν εἰ G συμβόλων HL¹: σύμβολον MGUFL² πέρας] τέλος M 5 κάλιστον M post τίκτει add. ἢ G², ὁ U 6 δ' add. Mang. καλεῖται G 9 εἶπαν MH εὕρωμεν G αὐτῷ G 11 περὶ] παρ' M ὀλιγόρως M 12 ὀρύττουσιν M 12. 13 ἐναφανεῖς G 13 ἅπασιν] ἀμφοτέροις conicio ἐστιν H 14 ψυχὴ] ἀρχὴ UF 16 οὐχ εὗρον G²H: ἀνεῦρον MUF(G¹) 17 ἐμβαθύνοντες MUF: ἐμβαθοῦντες G, ἐμβατεύοντες H 18 φησιν MF 22 μείζω M 25 ἀποδέοντας M, ἀποδέονται F 26 ἡντιναοῦν M 27 καινουμένην Mang.: κινουμένην codd. 28 βεβαιοτάτης MGUF: βεβαιότατον H

---

20 Platonis Apol. p. 21 D.

βολον μαρτυρίαν θεοῦ περιεχούσης. | ὡς γὰρ ὁ ὁμνὺς τῶν ἀμφισβητου- p. 342 M.
μένων καλεῖ θεὸν μάρτυρα, ἐπ' οὐδενὶ οὕτως ἔστιν εὐορκῆσαι ὡς ἐπὶ
83 τῷ μηδεμιᾶς ἐπιστήμης εὑρίσκεσθαι παρὰ τῷ τεχνίτῃ τέλος. ὁ δὲ
αὐτὸς λόγος καὶ ἐπὶ τὰς ἄλλας ὅσαι περὶ ἡμᾶς δυνάμεις ὀλίγου δεῖν
κεχώρηκεν· ὥσπερ γὰρ ἐν τῷ λεχθέντι φρέατι ὕδωρ φασὶ μὴ εὑρεθῆναι,
οὕτως οὐδὲ ἐν ὀφθαλμοῖς τὸ ὁρατὸν οὐδ' ἐν ὠσὶ τὸ ἀκούειν οὐδ' ἐν
μυκτῆρσι τὸ ὀσφραίνεσθαι οὐδὲ συνόλως ἐν αἰσθήσεως ὀργάνοις τὸ αἰσθά-
84 νεσθαι, κατὰ τὸ παραπλήσιον δὲ οὐδ' ἐν νῷ τὸ καταλαμβάνειν. πῶς
γὰρ ἂν παρορᾶν ἢ παρακούειν ἢ παρανοεῖν συνέβαινεν, εἴπερ ἐν τούτοις
πάγιαι ἦσαν αἱ ἀντιλήψεις ἑκάστου, ἀλλὰ μὴ ἐπ' αὐτῶν θεοῦ σπείροντος
85 τὸ βέβαιον ἐπεφύκεσαν; (20.) ἱκανῶς οὖν καὶ περὶ τοῦ χωρίου διειλε-
γμένοι, ἐν ᾧ τὸ δένδρον ἀνθεῖ, καὶ περὶ τοῦ καρποῦ τελευταῖον ἐξεργα-
σώμεθα. τίς οὖν ὁ καρπὸς αὐτοῦ, αὐτὸς ὑφηγήσεται· „ἐπεκάλεσε" γὰρ
86 „τὸ ὄνομα κυρίου θεὸς αἰώνιος" (Gen. 21, 33). αἱ τοίνυν λεχθεῖσαι
προσρήσεις τὰς περὶ τὸ ὂν ἐμφαίνουσι δυνάμεις· ἡ μὲν γὰρ κύριος
καθ' ἣν ἄρχει, ἡ δὲ θεὸς καθ' ἣν εὐεργετεῖ· οὗ χάριν καὶ τῇ κατὰ
τὸν ἱερώτατον Μωυσῆν κοσμοποιίᾳ πάσῃ τὸ τοῦ θεοῦ ὄνομα ἀναλαμ-
βάνεται· ἥρμοττε γὰρ τὴν δύναμιν, καθ' ἣν ὁ ποιῶν εἰς γένεσιν ἄγων
87 ἐτίθετο καὶ διεκοσμεῖτο, διὰ ταύτης καὶ [κατα]κληθῆναι. καθὸ μὲν
οὖν ἄρχων ἐστίν, ἄμφω δύναται, καὶ εὖ καὶ κακῶς ποιεῖν, συμμετα-
βαλλόμενος πρὸς τὴν τοῦ δράσαντος ἀπόδοσιν· καθὸ δὲ εὐεργέτης, θά-
88 τερον μόνον βούλεται, τὸ εὐεργετεῖν. μέγιστον δ' ἂν ψυχῆς γένοιτο
ἀγαθὸν μηκέτι ἐνδοιάζειν περὶ τῆς πρὸς ἑκάτερα τοῦ βασιλέως ἰσχύος,
ἀλλ' ἀνενδοιάστως τὸν μὲν ἕνεκα τοῦ κράτους τῆς ἀρχῆς αὐτοῦ φόβον
ἐπικρεμάμενον καταλύειν, τὴν δὲ ἐκ τοῦ προαιρετικῶς εἶναι φιλόδωρον
89 ἀγαθῶν κτήσεως καὶ χρήσεως ἐλπίδα βεβαιοτάτην ζωπυρεῖν. τὸ δὴ
„θεὸς αἰώνιος" ἴσον ἐστὶ τῷ ὁ χαριζόμενος οὐ ποτὲ μὲν ποτὲ δὲ οὔ,
ἀεὶ δὲ καὶ συνεχῶς, ὁ ἀδιαστάτως εὐεργετῶν, ὁ τὴν τῶν δωρεῶν ἐπάλ-

---

2 θεὸν καλεῖ U εὐορκίσαι F, εὐορκὴς M 3 alterum τῷ FH: om. MGU 6 οὕτως] οὗ M οὐδὲν ἐν F ὁρατικὸν vel ὁρᾶν coni. Mang. οὐδ' ἐν H^2: οὐδὲ ἐν M, οὐδὲ ceteri οὐδ' ἐν H^2: οὐδὲ ceteri 8 οὐδ' ἐν Turn.: οὐδὲ codd. 10 μὴ] μὴν M σπείροντος] δὲ εἴροντος F 11 τὸ om. H 13 γὰρ] γάρ φησι conicio 14 κυρίου scripsi (cf. p. 148,13): κύριος ὁ codd. 16 καὶ] κἀν conicio 18. 19 ὁ ποιῶν ⟨τὰ πάντα⟩ .... ἐτίθει τε καὶ διεκόσμει conicio 19 ταύτης H: τοῦτο MGUF κατα secl. Cohn, ἐπικληθῆναι coniciebam 20. 21 συμμεταβαλλόμενος FH: συμμεταβαλλομένου MGU 21 δρασθέντος coni. Mang. 22 δὲ post τὸ add. F ψυχῇ H^2 23 ἐνδυάζειν G^1F ἑκάτερα FH: ἑκατέραν MGU 24 ἀνενδυάστως F 25 ἐπικρατούμενον U προαιρετικὸς M 27 τῷ] τὸ G ὁ' M 28. 151,1 ἀπάλληλον G^1UF

ληλον φορὰν ἀπαύστως συνείρων, ὁ τὰς χάριτας ἐχομένας ἀλλήλων
ἀνακυκλῶν δυνάμεσιν ἑνωτικαῖς καθαρμοσάμενος, ὁ μηδένα καιρὸν τοῦ
ποιεῖν εὖ παραλείπων, ὁ κύριος ὤν, ὡς καὶ βλάπτειν δύνασθαι. (21.)
τοῦτο καὶ ὁ ἀσκητὴς Ἰακὼβ ἠτήσατο ἐπὶ τέλει τῶν ἱεροπρεπεστάτων 90
εὐχῶν· εἶπε γάρ που· „καὶ ἔσται κύριος ἐμοὶ εἰς θεόν“ (Gen. 28, 21),
p. 343 M. ἴσον τῷ οὐκέτι μοι τὸ δεσποτικὸν ἐπιδείξεται τῆς αὐτοκράτορος | ἀρχῆς,
ἀλλὰ τὸ εὐεργετικὸν τῆς ἴλεω περὶ πάντα καὶ σωτηρίου δυνάμεως, τὸν
μὲν οἷα ἐπὶ δεσπότῃ φόβον ἀναιρῶν, τὴν δὲ ὡς ἐπ' εὐεργέτῃ φιλίαν
καὶ εὔνοιαν τῇ ψυχῇ παρέχων. τίς ἂν οὖν τοῦθ' ὑπολάβοι ψυχή, ὅτι 91
ὁ δεσπότης καὶ ἡγεμὼν τῶν ὅλων οὐδὲν τῆς ἑαυτοῦ φύσεως μεταβάλλων,
μένων δὲ ἐν ὁμοίῳ, ἀγαθός ἐστι συνεχῶς καὶ φιλόδωρος ἀνελλιπῶς;
ὅθεν ὄντως ἀγαθῶν ἀφθόνων καὶ ἀεννάων αἴτιος τελειότατος τοῖς εὐδαι-
μονοῦσι. βασιλεῖ δὲ πεπιστευκέναι μὴ τῷ μεγέθει τῆς ἀρχῆς ἐπαιρο- 92
μένῳ πρὸς βλάβας τῶν ὑπηκόων, ἀλλὰ φιλανθρωπίᾳ τὸ ἑνδεὲς ἑκάστῳ
ἐπανορθοῦσθαι προαιρουμένῳ, μέγιστόν ἐστι πρὸς εὐθυμίαν καὶ ἀσφάλειαν
ἔρκος.

(22.) Ἃ τοίνυν ὑπεσχόμεθα, ἤδη σχεδὸν ἀποδέδεικται, [τὸ] φυτὸν 93
μὲν τὸ ἀρχήν τε καὶ τέλος λαμβάνεσθαι τῶν ἁπάντων εἶναι θεόν, χωρίον
δὲ τὸ ἀκόλουθον τὸ ἐν μηδενὶ τῶν ἐν γενέσει τέλειον εὑρίσκεσθαι, ἐπ'
αὐτῷ δ' ἔσθ' ὅτε χάρισι τοῦ αἰτίου προφαίνεσθαι, καρπὸς δὲ τὸ τὰς
τοῦ θεοῦ διαιωνίζειν χάριτας καὶ ὀμβρούσας ἀπαύστως μηδέποτε λήγειν.
οὕτως μὲν δὴ καὶ ὁ σοφὸς ἑπόμενος τῇ τοῦ πρώτου καὶ μεγίστου φυ- 94
τουργοῦ τέχνῃ τὴν γεωργικὴν ἐπιδείκνυται. βούλεται δὲ ὁ ἱερὸς λόγος
καὶ τοῖς μήπω τελειωθεῖσιν ἡμῖν, ἔτι δὲ ἐν μέσοις ἀριθμοῖς τῶν λεγο-
μένων καθηκόντων ἐξεταζομένοις, διαπονηθῆναι τὰ γεωργικά· φησὶ γάρ· 95
„ὅταν εἰσέλθητε πρὸς τὴν γῆν, ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν, καὶ

---

2 ἀναβεκλῶν (sic) F καὶ post ἀνακυκλῶν add. UH² καθαρμοζόμενος Mang.
ὁ] ὁ δὴ L 3 παραλειπὼν G, παραλιπὼν U 4 ᾔνιξατο coni. Mang.
6 τὸ] τῶ M 7 τὸ om. L περὶ] παρὰ M 8 ἐπ' H²: om. ceteri
9 ψυχῇ H: κοινῇ MGUF παρέχον G οὖν om. H 10 ὁ G²H²: om.
MG¹UH¹ οὐδὲ U αὐτοῦ H¹, αὑτοῦ H² 12 ὄντων L, ⟨τῶν⟩ ὄν-
τως coni. Mang. αἴτιον τελειότατον conicio τελειότητος H 12. 13 εὐδαι-
μονοῦσιν M 13 τῶν M 14 ἑνδεὲς scripsi: ἀνενδεὲς codd. ἑκάστων conicio
15 ἐστὶν ἀπὸ εὐθυμίαν M εὐθυμίαν] post εὐ ras. in H (εὐδαιμονίαν H¹?)
17 δὴ G ἀποδέδοται coni. Mang. τὸ seclusi 18 τε καὶ τέλος ὑπολαμβά-
νεσθαι (λαμβάνεσθαι scripsi) Mang.: τινα κάλλιστον λαμβάνεσθαι codd. 19 τῶν]
τὸν M τελείου U 20 αὐτῶν H δ' ἔσθ' H: δ' ἐστὶν MGF, δέ ἐστιν U
21 λέγειν G¹ 22 οὕτω H prius καὶ om. M 24 δὲ] δὲ καὶ M
26 πρὸς] εἰς H ὑμῶν F: om ceteri

καταφυτεύσητε πᾶν ξύλον βρώσεως, περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ· ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀπερικάθαρτος, οὐ βρωθήσεται· τῷ δὲ ἔτει τῷ τετάρτῳ ἔσται πᾶς καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυρίῳ· τῷ δὲ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν, πρόσθεμα ὑμῖν τὰ γεννήματα
96 αὐτοῦ. ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν“ (Lev. 19, 23—25). οὐκοῦν τῶν ξύλων τὰ ἐδώδιμα, πρὶν εἰς τὴν ὑπὸ θεοῦ δοθεῖσαν χώραν μεταναστῆναι, φυτεύειν ἀδύνατον· „ὅταν γὰρ εἰσέλθητε πρὸς τὴν γῆν, φυτεύσετε πᾶν ξύλον βρώσιμον“ φησίν, ὥστε ἔξω διατρίβοντες οὐκ ἂν δυναίμεθα τὰ τοιαῦτα τῶν δένδρων γεωργεῖν· καὶ μήποτ' εἰκότως·
97 ἕως μὲν γὰρ εἰς τὴν σοφίας ὁδὸν οὐ προσελήλυθεν ὁ νοῦς, τετραμμένος δὲ πόρρω πλανᾶται, τῶν τῆς ἀγρίας ὕλης ἐπιμελεῖται φυτῶν, ἅπερ ἤτοι
98 ἄγονα ὄντα ἐστείρωται ἢ γεννῶντα ἐδωδίμων ἐστὶν ἄφορα. ὅταν δὲ εἰς τὴν φρονήσεως ἐμβὰς ὁδὸν συνεισέρχηται | τοῖς δόγμασι καὶ συντρέχῃ p. 344 M. πᾶσιν, ἄρξεται τὴν ἡμερον καὶ καρπῶν ἡμέρων οἰστικὴν ἀντὶ τῆς ἀγρίας ἐκείνης γεωργεῖν, ἀπάθειαν ἀντὶ παθῶν καὶ ἀντὶ ἀγνοίας ἐπιστήμην καὶ
99 ἀντὶ κακῶν ἀγαθά. ἐπεὶ οὖν ὁ ἄρτι εἰσαγόμενος μακρὰν τοῦ τέλους ἀφέστηκεν, εἰκότως φυτεύσαντι αὐτῷ προστέτακται περιελεῖν τὴν ἀκαθαρσίαν τοῦ φυτευθέντος. τί δὲ τοῦτ' ἐστί, συνεπισκεψώμεθα. (23.)
100 τὰ μέσα τῶν καθηκόντων ἡμέρων φυτῶν ἔχειν μοι δοκεῖ λόγον· ἑκάτερα γὰρ ὠφελιμωτάτους φέρει καρπούς, τὰ μὲν σώμασι, τὰ δὲ ψυχαῖς. πολλὰ δὲ ἐν τοῖς μέσοις συναναβλαστάνοντα καὶ ἐπιφυόμενα τῶν βλαβερῶν ἀναγκαίως ἂν τέμνοιτο τοῦ μὴ ζημιοῦσθαι τὰ ἀμείνω χάριν.
101 ἢ οὐκ ἂν εἴποιμεν φυτὸν ἥμερον ψυχῆς παρακαταθήκης ἀπόδοσιν; ἀλλὰ τοῦτό γε τὸ φυτὸν καθάρσεως δεῖται καὶ περιττοτέρας ἐπιμελείας. τίς

---

1 περικαθαριεῖτε H: περικαθάρητε MGUF (ι s. s. G²), καὶ περικαθάρητε coni. Cohn
2 ὁ καρπὸς Mang.: τὸν καρπὸν codd. ἀπερικάθαρτος scripsi: ἀκάθαρτος codd. βρωθήσετε M 3 αἰνετὸς ex LXX Mang.: ἓν ἔτος codd. 4 γενήματα G 5 ὁ om. H 7 καὶ post γῆν add. v 7. 8 φυτεύσεται M, φυτεύσητε H, καὶ φυτεύσητε conicio 9 δυνάμεθα ML 10 προελήλυθεν coni. Mang. 11 τῶν Turn.: καὶ τῶν GUFH, καὶ τὸν M 12 ὅταν δὲ om. H 13 ὁδὸν ἂν εἰσέρχηται H δόγμασιν U συντρέχῃ U: συντρέχειν ceteri 14 ἄρξεται scripsi: ἄρξηται MGFH, αὔξητε U καρπῶν H²: εὔκαρπον ceteri 15 γεωργεῖ H ἀπάθειαν H: εὐπαθείας MGUF, εὐπάθειαν L² 16 ἀγαθά M: τε ἀγαθά GUF, τὰ ἀγαθά H, τε τὰ ἀγαθά L ἐπεὶ οὖν Turn.: οἰκείων GHUF, οἰκεῖον M ὁ ἄρτι scripsi: ἀρετῆς codd., ἀρετῆς ὁ v 17 φυτεύσοντι conicio οὖν post φυτεύσαντι add. G² 18 post τοῦτ' ras. in H ἐστὶ συνεπισκεψώμεθα GUFH: ἐστιν ἐπισκεψώμεθα M 19 post φυτῶν add. ὃν MGU, ἓν F, τὸν αὐτὸν H, ἡμέροις φυτοῖς τὸν αὐτὸν coni. Mang. ἔχει M 20 φέρει] φύσει M σώματι M δὲ U: δ' ἐν MGFH 22 ἂν τέμνοιτο ed. stereot. Tauchnit. (ἀνατέμνοιτο Mang.): ἂν γένοιτο codd. τὰ] τὴν G²

οὖν ἡ κάθαρσις ἥδε; παρὰ νήφοντος λαβὼν παρακαταθήκην μήτε μεθύοντι μήτ' ἀσώτῳ μήτε μεμνηνότι ἀποδῷς — ὁ γὰρ λαβὼν ὄνησιν ἐκ τοῦ κομίσασθαι οὐχ ἕξει καιρὸν ὠφεληθῆναι —, μηδὲ χρεώσταις ἢ δούλοις ἀποδῷς δανειστῶν καὶ δεσποτῶν ἐφεδρευόντων — προδοσία γὰρ τοῦτ' ἐστίν, οὐκ ἀπόδοσις —, μηδὲ τὴν ἐν ὀλίγοις πίστιν φύλαττε ⟨ἐπὶ⟩ θήρᾳ τῆς ἐν πλείοσι πίστεως· δελεάτά γε οἱ μὲν ἁλιευόμενοι 102 μικρὰ καθιέντες ἐπὶ τῷ τοὺς μείζους ἀγκιστρεύεσθαι τῶν ἰχθύων οὐ σφόδρα ἂν ὑπαίτιοι τῆς κατ' ἀγορὰν εὐετηρίας προνοεῖσθαι φάσκοντες καὶ ὡς ἂν ἄφθονον τοῖς ἀνθρώποις τὴν καθ' ἑκάστην ἡμέραν ποιήσωνται δίαιταν· δέλεαρ δὴ μηδεὶς ὀλιγοχρημάτου παρακαταθήκης ἀπό- 103 δοσιν ἐπ' ἄγρᾳ μείζονος προφερέτω, χερσὶ μὲν τὰ ἑνὸς καὶ ὀλίγα προτείνων, διανοίᾳ δὲ τὰ πάντων καὶ ἀμύθητα νοσφιζόμενος. ἐὰν οὖν ὡς δένδρου τῆς παρακαταθήκης περιέλῃς τὰ ἀκάθαρτα, τὰς ἀπὸ τῶν ἐφεδρευόντων βλάβας, τὰς ἀκαιρίας, τὰς ἐνέδρας, τὰ ὁμοιότροπα πάντα, ἡμερώσεις τὸ μέλλον ἀγριαίνεσθαι. (24.) κἂν τῷ φιλίας μέντοι φυτῷ 104 ταῦτα δὴ τὰ παραβλαστάνοντα τεμεῖν καὶ ἀποκόψαι φυλακῆς ἕνεκα τοῦ βελτίονος ἀναγκαῖον. τὰ δὲ παραβλαστάνοντα ταῦτ' ἐστίν· ἑταιρῶν πρὸς ἐραστὰς γοητεῖαι, πρὸς τοὺς κολακευομένους οἰκοσίτων ἀπάται. τὰς γὰρ 105 μισθαρνούσας ἐπὶ τῇ ὥρᾳ τοῦ σώματος ἰδεῖν ἔστι περιεχομένας τῶν ἐραστῶν ὡς δὴ σφόδρα φιλούσας — φιλοῦσι δὲ οὐκ ἐκείνους, ἀλλ' ἑαυτὰς καὶ τοῖς καθ' ἑκάστην ἡμέραν λήμμασιν ἐπικεχήνασι —, τούς
p. 345 M. τε κόλακας ἄλεκτον μὲν ἔστιν ὅτε μῖσος πρὸς τοὺς | θεραπευομένους φυλάττοντας, ὀψοφαγίαν δὲ καὶ λαιμαργίαν ἀγαπῶντας, ὑφ' ὧν ἀναπείθονται τοὺς χορηγοὺς τῶν ἀμέτρων ἐπιθυμιῶν περιέπειν. τὸ 106 δὲ τῆς ἀκιβδηλεύτου φιλίας δένδρον ἀποσεισάμενον καὶ μεθέμενον ταῦτα καρπὸν τοῖς χρησομένοις ὠφελιμώτατον οἴσει, τὸ ἀδέκαστον.

---

2. 3 ὁ γὰρ ⟨ἐν ἄλλῳ χρόνῳ⟩ λαβὼν ⟨ἂν⟩ ὄνησιν ἐκ τοῦ κομίσασθαι οὐχ ἕξει ⟨νυνί⟩ . . . . conicio, καιρὸν ὠφεληθῆναι secl. Mang. 2 οἴησιν U 3 καιρὸν H²: καλὸν ceteri 4 ἀποδῶς H: ἀποδιδοὺς MGUF 6 ἐπὶ θήρᾳ Mang.: θήρας codd. πλείονι H γε Turn.: τε codd., γὰρ conicio 8 σφόδρ' U ἀνυπαίτιοι MF, ἂν ⟨εἶεν⟩ ὑπαίτιοι conicio 9 ἄφθονον τοῖς scripsi: ἀφθόνοις MGUF, ἄφθονον H 9. 10 ποιήσουσι conicio ἂν deleto, ποιήσαντες coni. Cohn 11 ἐπ' ἄγρα H: ἐπ' ἄγρας U, ἀπ' ἄγρας MGF προφέρεται M, προσφερέτω F 12 οὖν om. H¹ 15. 16 κἀν τῷ (corr. vid. ex τὸ)—παραβλαστάνοντα H: καὶ τὸ φιλίας μέντοι φυτὸν τοῦτο δὲ τὸν παραβλαστάνον MGUF 16 προβλαστάνοντα L 18 πρὸς] καὶ M 20 οὐκἀκείνους (sic) G 25 φιλίας Mang.: σοφίας codd. 26 χρησαμένοις MGF

εὔνοια γάρ ἐστι βούλησις τοῦ τῷ πλησίον εἶναι τὰ ἀγαθὰ αὐτοῦ χάριν ἐκείνου. αἱ δέ γε χαμαιτύπαι καὶ οἱ κόλακες αὐτῶν ἕνεκα σπουδάζουσιν, αἱ μὲν τοῖς ἐρασταῖς, οἱ δὲ τοῖς κολακευομένοις τὰ ἀγαθὰ προσάγειν. τὰς οὖν εἰρωνείας καὶ γοητείας καθάπερ ἐπιφυομένας κῆρας τῷ φιλίας φυτῷ
107 περικοπτέον. (25.) ἱερουργίαι γε μὴν καὶ ἡ περὶ τὰς θυσίας ἁγιστεία βλάστημα κάλλιστον, ἀλλὰ παραναπέφυκεν αὐτῷ κακόν, δεισιδειμονία, ἣν πρὶν χλοῆσαι λυσιτελὲς ἐκτεμεῖν. ἔνιοι γὰρ ᾠήθησαν τὸ βουθυτεῖν εὐσέβειαν εἶναι, καὶ ἐξ ὧν ἂν κλέψωσιν ἢ ἀρνήσωνται ἢ χρεωκοπήσωσιν ἢ ἁρπάσωσιν ἢ λεηλατήσωσι μοίρας ἀπονέμουσι τοῖς βωμοῖς, οἱ δυσκάθαρτοι, τὸ μὴ δοῦναι δίκην ἐφ' οἷς ἐξήμαρτον ὤνιον εἶναι νομί-
108 ζοντες. ἀλλὰ γάρ, εἴποιμ' ἂν αὐτοῖς, ἀδέκαστόν ἐστιν, ὦ οὗτοι, τὸ θεοῦ δικαστήριον, ὡς τοὺς μὲν γνώμῃ κεχρημένους ὑπαιτίῳ, κἂν καθ' ἅπασαν ἡμέραν ἑκατὸν βόας ἀνάγωσιν, ἀποστρέφεσθαι, τοὺς δ' ἀνυπαιτίους, κἂν μηδὲν θύωσι τὸ παράπαν, ἀποδέχεσθαι. βωμοῖς γὰρ ἀπύροις, περὶ οὓς ἀρεταὶ χορεύουσι, γέγηθεν ὁ θεός, ἀλλ' οὐ πυρὶ πολλῷ φλέγουσιν, ὅπερ αἱ τῶν ἀνιέρων ἄθυτοι θυσίαι συνανέφλεξαν ὑπομιμνήσκουσαι τὰς ἑκάστων ἀγνοίας τε καὶ διαμαρτίας· καὶ γὰρ εἰπέ που Μωυσῆς θυσίαν „ἀναμιμνήσκουσαν ἁμαρτίαν“ (Num. 5, 15).
109 πάντ' οὖν τὰ τοιαῦτα μεγάλης γιγνόμενα ζημίας αἴτια χρὴ περιαιρεῖν καὶ ἀποκόπτειν ἑπομένους τῷ χρησμῷ, ἐν ᾧ διείρηται περιαιρεῖν τὴν
110 ἀκαθαρσίαν ξύλου τοῦ φυτευθέντος ἐδωδίμου. (26.) ἀλλ' ἡμεῖς μὲν οὐδὲ διδασκόμενοι πρὸς εὐμάθειαν ἐπιδίδομεν· ἔνιοι δὲ αὐτοδιδάκτῳ

---

1 εὔνοια] ἐν οἷς FL², ἔννοια Turn. τοῦ τῷ πλησίον εἶναι Turn.: τούτων πλησίον γὰρ (γὰρ om. F) εἶναι codd. αὐτοῦ Mang. ex Clem.: αὐτὰ codd. 2 γε] γαι M χαμαιτύπαι scripsi: χαμαιτύποι MGFH, μαχαιτύποι U αὐτῶν H²: αὐτῶν UH¹, αὐτῶν ὧν MGF 3 οἱ μὲν M προσάγειν H: προσενάγειν MU, πρὸς ἓν ἄγειν GF, προσάπτειν conicio 4 οὖν H: om. MGUF εἰρωνείας F φιλοσοφίας G 5 γε H: om. MGUF ἁγιστεία Mang.: πίστις codd. 6 παραπέφυκεν M 8. 9 ἢ ἀρνήσωνται — λεηλατήσωσι om. U 8 ἀρνήσονται G 8. 9 χρεοκοπήσουσιν G 9 λεηλατήσωσιν M 10 τὸ] τῷ H 12 κἂν καθ' scripsi: κἂν MGHFN, καθ' U 13 ἁπάσης ἡμέρας N 13 ἐπιστρέφεσθαι M 15 οὐ] εἰ N 15. 16 πολλῷ πυρὶ H 16 φλέγοντι G² συγκατέφλεξαν M, συνέφλεξαν FN 17 ὑπομιμνήσκουσι N 18 που] μου F, om. N 19 περιαίρειν U 20 διήρηται G² 22 ἐπιδίδομεν GH²: ἐπιδίδωμεν M, ἀποδίδομεν UFH¹

---

1 Clem. Paedag. I § 97 p. 156 P: εὔνοια δὲ οὐδὲν ἀλλ' ἢ βούλησίς ἐστιν ἀγαθοῦ τοῦ (τῷ Hoeschel) πλησίον αὐτοῦ χάριν ἐκείνου. Strom. II § 28 p. 444: εὔνοια δέ ἐστι βούλησις ἀγαθῶν ἑτέρῳ ἕνεκεν αὐτοῦ ἐκείνου. Et Philo et Clemens a Stoicis pendere videntur 11—18 N fol. 188r ἀλλὰ γὰρ — ἁμαρτίαν.

τῇ φύσει χρησάμενοι τἀγαθὸν ἐξέδυσαν τῶν ἐνειλημμένων βλαβῶν, καθάπερ ὁ ἀσκητὴς ἐπίκλην Ἰακώβ· οὗτος γὰρ „ῥάβδους ἐλέπισε λεπίσματα λευκὰ περισύρων τὸ χλωρόν“ (Gen. 30,37), ἵνα τῆς ἐν μέσοις ποικιλίας σκοταίοις καὶ ζοφεροῖς πανταχοῦ ἀναιρεθείσης τὸ μὴ τέχνῃ ποικιλλόμενον, φύσει δὲ γεννώμενον ἀδελφὸν αὐτῆς λευκὸν εἶδος ἀναδειχθῇ.
p. 346 M. παρὸ καὶ ἐν τῷ περὶ τῆς λέπρας | τεθέντι νόμῳ διείρηται τὸν μηκέτι 111
διηνθισμένον ποικιλίᾳ χρωμάτων ὅλον δὲ λευκωθέντα δι' ὅλων ἀπὸ κεφαλῆς ⟨ἄκρας⟩ ἕως ποδῶν ἐσχάτων καθαρὸν εἶναι (Lev. 13, 12.13), ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν τὸ ποικίλον καὶ πανοῦργον καὶ ἀντιρρέπον καὶ ἐπαμφοτερίζον τῆς διανοίας μεθέμενοι πάθος τὸ ἀποίκιλον καὶ ἀνενδοίαστον ἀληθείας ἁπλοῦν χρῶμα δεξώμεθα. τὸ μὲν 112
οὖν τὸ ξύλον φάσκειν περικαθαίρεσθαι λόγον ἔχει βεβαιούμενον ἀληθείᾳ, τὸ δὲ τὸν καρπὸν οὐ πάνυ τῷ ἐναργεῖ πεπίστωται· σῦκα γὰρ ἢ σταφυλὴν ἢ συνόλως καρπὸν οὐδεὶς γεωργῶν περικαθαίρει. (27.) καὶ 113
μήν φησί γε· „ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀπερικάθαρτος, οὐ βρωθήσεται“, ὡς εἰωθότος δήπου περικαθαίρεσθαι ἀεί. λεκτέον οὖν, ὅτι καὶ τοῦθ' ἕν ἐστι τῶν ἐν ὑπονοίαις ἀποδιδομένων, τοῦ ῥητοῦ μὴ σφόδρα

---

1 τὸ ἀγαθὸν M, τὸν ἀγαθὸν F ἐξέδησαν M 2 ἐπίκλησιν conicio ῥάβδου G ἐξελέπισε H 3 λευκὰ] λεπτὰ H^2 τὸ] τὸν M τῆς UFH: τοῖς MG μέσοις H: μέσοισι ceteri 4 ποικιλίαις G σκοταίοις GF: σκοτέοις M, σκοταίας UH ζοφεροῖς M: ζοφεραῖς GF, ζοφερᾶς UH ἀναιρεθείσης FH: ἀναιρεθίσῃ U, ἀνερεθίσῃ MG ἀναιρεθείσης πανταχοῦ conicio 4. 5 ποικιλλόμενον Mang.: ποικιλλομένῃ codd. 5 γενόμενον L, ἡνωμένον coniciebam ⟨καὶ⟩ ἀδελφὸν conicio 6 παρ' ὃ U τιθέντι GU, τεχθέντι F, ταχθέντι L^2 διήρηται MG τὸν H: τὸ MGUF 7 διηθισμένον G χρημάτων M 8 ἄκρας ex Clem. addidi ἐσχάτων ex Clem. scripsi: ἄκρων codd. καθαρῶν M 10 ἀντιρέπον M 11 ἀνενδύαστον F δεξιώμεθα conicio, cf. Clem. 12 τὸ ξύλον F: ξύλον ceteri 12. 13 ἀλήθειαν MG 13 πεπίστωται Mang.: πεπίστευται codd. 14 ἢ post σταφυλὴν om. G 15 αὐτῆς M ἀπερικάθαρτος Mang.: ἀκάθαρτος codd. 16 δήποτε M 17 τοῦτ' ἔνεστι MG, τοῦτ' ἐστι F ἐν H: μὲν MGUF ὑπονοίας U

4—11 Clem. Paedag. III § 53 p. 285 P δίδωσιν οὖν ἡμῖν ὁ παιδαγωγὸς ἐσθῆτι χρῆσθαι τῇ λιτῇ, χρόᾳ δὲ τῇ λευκῇ, ὡς προειρήκαμεν, ἵνα μὴ τέχνῃ ποικιλλομένῃ, φύσει δὲ γεννωμένῃ οἰκειούμενοι πᾶν ὅσον ἀπατηλὸν καὶ τῆς ἀληθείας καταψευδόμενον παρωσάμενοι τὸ μονότροπον καὶ μονοπρόσωπον τῆς ἀληθείας ἀσπασώμεθα .... 54 παρ' ὃ καὶ ὁ ἐν τῷ νόμῳ περὶ τῆς λέπρας διὰ Μωυσέως τεθεὶς νόμος τὸ ποικίλον καὶ πολύστικτον ὡς οὐχ ὅσιον ἀπωθεῖται ... τὸν γοῦν μηκέτι διηνθισμένον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκωθέντα δι' ὅλων ἀπὸ κεφαλῆς ἄκρας ἄχρι ποδῶν ἐσχάτων καθαρὸν εἶναι ἐθέλει, ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν τὸ ποικίλον καὶ πανοῦργον τῆς διανοίας μεθέμενοι πάθος τὸ ἀποίκιλτον καὶ ἀνενδοίαστον τῆς ἀληθείας ἁπλοῦν ἀγαπήσωμεν χρῶμα.

συνάδοντος. ἡ δὲ λέξις ἐστὶν ἀμφίβολος· δηλοῖ γὰρ ἓν μέν τι τοιοῦτον „ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται“, εἶτα ἰδίᾳ τὸ „ἀπερικάθαρτος οὐ βρωθήσεται“, ἕτερον δὲ „ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀπερικά-
114 θαρτος“, ἔπειθ' οὕτως „⟨οὐ⟩ βρωθήσεται.“ κατὰ μὲν οὖν τὸ πρότερον σημαινόμενον ταῦτα ἄν τις ἐκδέξαιτο· τῶν τριῶν ἐτῶν ἀντὶ τοῦ τριμε- 5
ροῦς χρόνου παραλαμβανομένων, ὃς εἰς τὸν παρεληλυθότα καὶ ἐνεστῶτα καὶ μέλλοντα τέμνεσθαι πέφυκεν, ὁ τῆς παιδείας καρπὸς ἔσται καὶ ὑποστήσεται καὶ μενεῖ σῷος κατὰ πάντα τὰ χρόνου τμήματα, ἴσον τῷ δι' αἰῶνος φθορὰν μὴ δεχόμενος· ἄφθαρτος γὰρ ἡ τοῦ ἀγαθοῦ φύσις. „ἀπερικάθαρτος δὲ καρπὸς οὐ βρωθήσεται“, παρόσον οἱ μὲν 10
κεκαθαρμένοι καὶ ὑγιαίνοντες ἀστεῖοι λόγοι ψυχὴν τρέφουσι καὶ νοῦν αὔξουσιν, οὐ τρόφιμοι δέ εἰσιν οἱ ἐναντίοι νόσον καὶ φθορὰν ἐπιπέμ-
115 ποντες αὐτῇ. κατὰ δὲ τὸ ἕτερον σημαινόμενον ὥσπερ ἀναπόδεικτος λέγεται διχῶς, ὅ τε δυσκόλως ἀργαλεότητος ἕνεκα ἐπιδεικνύμενος καὶ ὁ ἐνθένδε γνώριμος ἐξ αὐτοῦ, τὸ σαφὲς οὐκ ἐκ τῆς ἑτέρου μαρτυρίας, 15
ἀλλ' ἐκ τῆς ἐμφαινομένης ἐναργείας αὐτῷ πιστούμενος, ᾧ πρὸς τοὺς συλλογιστικοὺς εἴωθεν ἡ διαλεκτικὴ λόγους χρῆσθαι, οὕτως ἀπερικάθαρτος καρπὸς ὅ τε δεόμενος καθάρσεως καὶ μὴ κεκαθαρμένος, καὶ ὁ
116 τηλαυγέστατος. τοιοῦτός ἐστιν ὁ παιδείας καρπὸς τρία ἔτη, τουτέστι τὸν τριμερῆ χρόνον, τὸν σύμπαντα αἰῶνα, καθαρώτατος καὶ διαυγέστα- 20
τος, ὑπ' οὐδενὸς βλαβεροῦ συσκιαζόμενος, λουτρῶν καὶ περιρραντηρίων ἢ συνόλως ἑτέρου τινὸς τῶν εἰς κάθαρσιν τεινόντων οὐδαμῇ οὐδαμῶς
117 χρεῖος ὤν. (28.) „τῷ | δὲ ἔτει“ φησί „τῷ τετάρτῳ ἔσται πᾶς ὁ p. 347 M.
καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυρίῳ“. τὸν τέσσαρα ἀριθμὸν πολλα-
χοῦ μὲν τῆς νομοθεσίας, μάλιστα δὲ ἐν τῷ καταλόγῳ τῆς τοῦ παντὸς 25
118 γενέσεως, ἀποσεμνύνειν ἔοικεν ὁ προφητικὸς λόγος· τὸ γὰρ αἰσθητὸν

---

1 ἓν] ἐν M 2 ἔτη om. U 2. 3 εἶτα — ἔσται om. F 2 ἰδίῳ M
2—4 οὐ — ἀπερικάθαρτος om. G 2 οὐ] κἄπειθ' οὕτω L 4 κἄπειθ' „οὐ βρωθήσεται“ Mang. οὕτως οὐ scripsi: οὕτω codd. 5 ταύτῃ conicio ἐκδέξαιτο Turn.: ἐκδέξηται τὸ MGUF, ἐκδέξεται H 6 ὃς] ὃ MF 7 οὖν post παιδείας add. H² 8 μένει MGF τὰ om. U κτήματα MGF 9 τῷ] τὸ M μὴ] μὲν M 10 παρόσον M: παρ' ὅσον ceteri 11 νοῦν] γῆν F 12. 13 ἐπιπέμποντες scripsi: ἐπιλάμποντες codd. 14 ⟨λόγος⟩ λέγεται coni. Cohn 15 αὐτοῦ Turn.: αὐτοῦ codd. 16 φαινομένης U ἐνεργείας GUF αὐτὸ M ᾧ scripsi: καὶ codd., ᾧ καὶ coni. Cohn 16. 17 ἀπὸ τοὺς συλλογικοὺς M 17 λόγους F: λόγοις ceteri 18 καθάρσεως H: καθαιρέσεως MGUF καὶ ὁ H: om. MGUF 19 τῆς παιδείας H τοῦτ' ἔστι M 22 τεινόντως M οὐδαμῇ οὐδαμῶς MGF: οὐδαμῇ U, οὐδαμῶς H 24 αἰνετὸς Mang.: ἓν ἔτος codd.

καὶ τίμιον φῶς, τὸ καὶ ἑαυτοῦ καὶ τῶν ἄλλων σαφέστατον γνώρισμα, καὶ τοὺς τοκέας αὐτοῦ ἥλιον καὶ σελήνην καὶ τὸν ἱερώτατον χορὸν τῶν ἀστέρων, οἳ νύκτα τε καὶ ἡμέραν, ἔτι τε μῆνας καὶ ἐνιαυτοὺς ἀνατολαῖς καὶ δύσεσιν ἐπεράτωσαν ἀριθμοῦ τε φύσιν ἀνέδειξαν, οἷς τὸ μέγιστον ψυχῆς ἀγαθὸν ἀνάκειται, ἡμέρᾳ τετάρτῃ φησὶ δημιουργηθῆναι (Gen. 1, 14). διαφερόντως δὲ καὶ νῦν αὐτὸν ἐκτετίμηκεν, οὐκ ἐν ἑτέρῳ 119
χρόνῳ τὸν τῶν δένδρων καρπὸν ἀναθεὶς τῷ θεῷ ἢ ἐνιαυτῷ τῆς φυτείας τετάρτῳ. λόγον γὰρ καὶ φυσικώτατον καὶ ἠθικώτατον ἔχει· τάς τε 120
γοῦν τοῦ παντὸς ῥίζας, ἐξ ὧν ὁ κόσμος, τέτταρας εἶναι συμβέβηκε, γῆν, ὕδωρ, ἀέρα, πῦρ, καὶ τὰς ἐτησίους ὥρας ἰσαρίθμους, χειμῶνα καὶ θέρος καὶ τὰς μεθορίους, ἔαρ τε καὶ μετόπωρον. πρεσβύτατός τε αὖ τετρα- 121
γώνων ὁ ἀριθμὸς ὢν ἐν ὀρθαῖς γωνίαις, ὡς τὸ κατὰ γεωμετρίαν δηλοῖ σχῆμα, ἐξετάζεται· αἱ δ' εἰσὶν ὀρθότητος λόγου σαφῆ δείγματα, πηγὴ δὲ ἀέναος ἀρετῶν ὁ ὀρθὸς λόγος. ἀνάγκη μέντοι τὰς τοῦ τετραγώνου 122
πλευρὰς ἴσας εἶναι· δικαιοσύνην δὲ ἰσότης τὴν ἔξαρχον καὶ ἡγεμονίδα τῶν ἀρετῶν ἔτεκεν· ὥστε ἰσότητος καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς χωρὶς τῶν ἄλλων ἐπιδείκνυται τὸν ἀριθμὸν εἶναι σύμβολον. καλεῖται 123
δ' ἡ τετρὰς καὶ „πᾶς", ὅτι τοὺς ἄχρι δεκάδος καὶ αὐτὴν δεκάδα περιέχει δυνάμει. (29.) ὅτι μὲν οὖν τοὺς πρὸ αὐτῆς, παντί τῳ δῆλον· ὅτι δὲ καὶ τοὺς μετ' αὐτήν, ἐξ ἐπιλογισμοῦ ῥᾴδιον ἰδεῖν [ἐν ἀριθμῷ μὲν ἓξ]· ἕν, δύο, τρία, τέτταρα συντιθέντες ὃ ἠποροῦμεν εὑρήσομεν. ἐκ μὲν 124
γὰρ ἑνὸς καὶ τεττάρων πεντὰς ἔσται, ἐκ δὲ δυεῖν καὶ τεττάρων ἑξάς, ἑβδομὰς δὲ ἐκ τριῶν καὶ τεττάρων· καὶ κατὰ τὴν διπλῆν σύνθεσιν ἐξ

---

1 ante φῶς ras. in H 3 ἀστέρων scripsi: ἄστρων codd. ἔτι δὲ conicio μῆνας H: μῆνα MGUF ἐνιαυτὸν F post ἐνιαυτοὺς add. καὶ v 4 ἐπαρέτωσαν UF ἀριθμῶν coni. Mang. 5 τῆς ψυχῆς F ἀγαθὸν Turn.: ἀπάτη codd., ἀγαθὸν ⟨φιλοσοφία⟩ conicio 6 αὐτὸν MFH: αὐτὴν GU 7 ἐνιαυτῶν U 8 λόγῳ G¹FL² καὶ γὰρ H τε] γε M 9 τοῦ] τῆς M ἐξ H²: om. MGUFH¹ συμβέβηκεν M γῆν] γῆν τε GU 10 καὶ πῦρ G ὥρας H²: om. MGUFH¹ 11 μεθωρίους G πρεσβύτατος] πρῶτος coni. Mang. 12 ὁ om. H 13 δ' M 14 ἀέναος G: ἀένναος ceteri ὁ om. F 15 δικαιοσύνην H: δικαιοσύνη MGUF ἰσότης H: ἰσότητος MGUF 17 τῶν Turn.: ὧν MUFH, ὧν G ⟨τοῦτον⟩ τὸν coni. Mang. 18 δ' ἡ F, δὴ M: δὲ GUH τοὺς MGUF: τὰ H 19 τοὺς GUF: τὰς HL¹, τὴν L², τὰ Mang. τοὺς πρὸ αὐτῆς] spat. 6 litt. M αὐτῆς Turn. μονάδα post αὐτῆς add. GUF τω MGUF: τε H, γε v 19. 20 δὲ καὶ τοὺς H: δὲ καὶ τοῦ MF, δέκα τοῦ G, δ' ἑκατοῦ U 20 ῥαδίως H ἐν — ἓξ secl. Cohn ἀριθμῷ μὲν ἓξ MGUF: ἀριθμῷ HL¹, ἀριθμῷ ἓξ L², ἀριθμῶν συνθέσει coniciebam 21 συντεθέντες H post ἠποροῦμεν add. καὶ F 22 πεντὰς — τεττάρων om. MF δυεῖν U: δυοῖν GH 23 διπλῆν MGUF: τριπλῆν H

ἑνὸς καὶ τριῶν καὶ τεττάρων ὀγδοάς, καὶ πάλιν ἐκ δυεῖν καὶ τριῶν καὶ τεττάρων ὁ ἐννέα ἀριθμός, δεκὰς δὲ ἐκ πάντων· ἓν γὰρ καὶ δύο καὶ
125 τρία καὶ τέτταρα δέκα γεννᾷ. διὰ τοῦτο καὶ Μωυσῆς εἶπεν, ὅτι „ἔτει τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος“· ἄρτιον γὰρ καὶ ὁλόκληρον καὶ πλήρη, ὡς καὶ σύμπαντα, ὡς τύπῳ φάναι, λόγον ἔχει, διὰ τὸ δεκάδα, ἣν τετρὰς ἐγέννησε, πρῶτον καμπτῆρα τῶν ἀπὸ μονάδος συντιθεμένων ἀριθμῶν ἑστάναι· | δεκὰς δὲ καὶ τετρὰς „πᾶς“ ἐν ἀριθ- p. 348 M.
μοῖς εἶναι λέγεται, ἀλλὰ δεκὰς μὲν ἀποτελέσματι, τετρὰς δὲ δυνάμει.
126 (30.) τόν τε παιδείας καρπὸν οὐ μόνον ἅγιον, ἀλλὰ καὶ αἰνετὸν εἶναί φησι προσηκόντως· ἑκάστη μέν γε τῶν ἀρετῶν ἐστι χρῆμα ἅγιον, εὐχαριστία δὲ ὑπερβαλλόντως· θεῷ δὲ οὐκ ἔνεστι γνησίως εὐχαριστῆσαι δι' ὧν νομίζουσιν οἱ πολλοὶ κατασκευῶν ἀναθημάτων θυσιῶν — οὐδὲ γὰρ σύμπας ὁ κόσμος ἱερὸν ἀξιόχρεων ἂν γένοιτο πρὸς τὴν τούτου τιμήν —, ἀλλὰ δι' ἐπαίνων καὶ ὕμνων, οὐχ οὓς ἡ γεγωνὸς ἄσεται φωνή, ἀλλὰ οὓς ὁ ἀειδὴς καὶ καθαρώτατος νοῦς ἐπηχήσει καὶ ἀναμέλψει.
127 παλαιὸς γοῦν ἄδεται λόγος ὑπὸ μὲν σοφῶν εὑρεθείς, μνήμῃ δέ, οἷα φιλεῖ, κατὰ διαδοχὰς παραδοθεὶς τοῖς μετέπειτα, οὐδὲ τὰς ἀεὶ παιδείας λίχνους ἡμετέρας παρῆλθεν ἀκοάς. ἔστι δὲ τοιόσδε· ἡνίκα, φασί, τὸν σύμπαντα κόσμον ὁ ποιητὴς ἐτελεσφόρησεν, ἑνὸς τῶν ὑποφητῶν ἐπύθετο, εἴ τι ποθεῖ μὴ γενόμενον τῶν ὅσα κατὰ γῆς καὶ καθ' ὕδατος ἢ ὅσα κατὰ τὴν μετάρσιον ἀέρος ἢ τὴν ἐσχάτην τοῦ παντὸς φύσιν οὐρανοῦ
128 γέγονεν. ὁ δὲ ἀπεκρίνατο τέλεια μὲν καὶ πλήρη πάντα διὰ πάντων εἶναι, ἓν δὲ μόνον ζητεῖν, τὸν ἐπαινέτην αὐτῶν λόγον, ὃς τὰς ἐν πᾶσι καὶ τοῖς βραχυτάτοις καὶ ἀφανεστάτοις δοκοῦσιν ὑπερβολὰς οὐκ ἐπαινέσει μᾶλλον ἢ ἐξαγγελεῖ· τὰς γὰρ διηγήσεις τῶν τοῦ θεοῦ ἔργων αὐταρκέστατον ἐκείνων ἔπαινον εἶναι, προσθήκης οὐδεμιᾶς ἔξωθεν εἰς

---

1 δυεῖν GUF: δυοῖν MH 2 γ′ M δ′ M 4 καὶ post ἅγιος add. U
5 πλήρη ⟨τοῦτον τὸν ἀριθμὸν εἶναι⟩, ὃς καὶ συμπάντων . . . . ὅρον ἔχει conicio (cf. De opif. § 47) 7 ἀριθμῶ M 7. 8 ἐν ἀριθμοῖς scripsi: μὲν ἀριθμὸς codd.
8 ἀλλὰ δεκὰς μὲν H: om. MGUF δυνάμει UH: δύναμιν MGF 10 γε] γὰρ conicio ἅγιον] αἰνετόν Mang. 11 ἔνεστι MGUFN: ἔστι H ἐγχαριστῆσαι M
12 ἀναθυμάτων H 14 γεγονὸς G 17 μετέπειτα UH: ἔπειτα MGFN
17. 18 ⟨ὃς⟩ οὐδὲ vel παρελθὼν conicio ἀεὶ παιδείας λίχνους MGUF: εἰς ἀεὶ παιδείας λίχνους N, ἀεὶ λίχνους παιδείας H 19 ἑνὸς] ἐντὸς H 20 μὴ γενόμενον ποθεῖ U
20 τῶν] τὸν M 23 ὃς] ὡς U 24 τοῖς om. L 25 μᾶλλον] μόνον H 26 ἐπαίτιον N εἶναι HG²: ἵνα MG¹UFN

9—159,17 N fol. 188r: τόν τε παιδείας — γεγονότων.

κόσμον δεομένων, ἀλλὰ τὸ ἀψευδὲς τῆς ἀληθείας τελειότατον ἐχόντων ἐγκώμιον. ἀκούσαντα δὲ τὸν πατέρα τοῦ παντὸς τὸ λεχθὲν ἐπαινέσαι, 129 καὶ οὐκ εἰς μακρὰν τὸ πάμμουσον καὶ ὑμνῳδὸν ἀναφανῆναι γένος ἐκ μιᾶς δὴ τῶν περὶ αὐτὸν δυνάμεων παρθένου Μνήμης, ἣν Μνημοσύνην παρατρέποντες οἱ πολλοὶ τοὔνομα καλοῦσιν. (31.) ὁ μὲν οὖν τῶν πα- 130 λαιῶν μῦθος ὧδε ἔχει. ἑπόμενοι δὲ ἡμεῖς αὐτῷ λέγομεν, ὅτι οἰκειότατόν ἐστιν ἔργον θεῷ μὲν εὐεργετεῖν, γενέσει δὲ εὐχαριστεῖν μηδὲν ἔξω τούτου πλέον τῶν εἰς ἀμοιβὴν ἀντιπαρασχεῖν δυναμένη· ὃ γὰρ ἂν θελήσῃ τῶν ἄλλων ἀντιχαρίσασθαι, τοῦθ' εὑρήσεται τοῦ πάντα πεποιηκότος ἀλλ' οὐ τῆς νομιζούσης φύσεως κτῆμα ἴδιον. μαθόντες οὖν, ὡς 131 ἓν ἔργον ἡμῖν ἐπιβάλλει μόνον ἐν τοῖς πρὸς τιμὴν θεοῦ, τὸ εὐχάριστον, τοῦτο ἀεὶ καὶ πανταχοῦ μελετῶμεν διὰ φωνῆς καὶ διὰ γραμμάτων ἀστείων καὶ μηδέποτε ἐπιλείπωμεν μήτε λόγους ἐγκωμιαστικοὺς μήτε ποιήματα συντιθέντες, ἵνα καὶ ἐμμελῶς καὶ χωρὶς μέλους καὶ καθ' ἑκάτέραν φωνῆς ἰδέαν, ᾗ τὸ λέγειν καὶ τὸ ᾄδειν ἀποκεκλήρωται, ὅ τε
p. 349 M. κοσμοποιὸς καὶ ὁ κόσμος γεραίρηται, „ὁ μέν", ὡς ἔφη τις, | „ἄριστος τῶν αἰτίων, ὁ δὲ τελειότατος τῶν γεγονότων". (32.) ἐπειδὰν οὖν ἔτει καὶ 132 ἀριθμῷ τετάρτῳ πᾶς ὁ ψυχῆς ἀφιερωθῇ καρπός, τῷ πέμπτῳ τὴν ἀπόλαυσιν καὶ χρῆσιν ἡμεῖς αὐτοὶ σχήσομεν. φησὶ γάρ· „ἐν τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν", ἐπειδὴ τὸ γεγονὸς τοῦ πεποιηκότος ὕστερον ἐν ἅπασιν ἐξετάζεσθαι νόμος φύσεως ἀνεπίληπτος, ὥστε κἄν, εἰ τῶν δευτερείων ἀντιλαμβανοίμεθα, καὶ θαυμαστὸν ἡγεῖσθαι. καὶ διὰ 133 τοῦτο μέντοι τὸν καρπὸν τοῦ πέμπτου ἡμῖν ἀνατίθησιν, ὅτι αἰσθήσεως πεντὰς ἀριθμὸς οἰκεῖος καί, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ τρέφον τὸν νοῦν

---

1 ἀψευδέστατον FN 2 ἀκούσαντος M 3 ἀναφανεῖται L, ἀναφῆναι coni. Mang. 4 δὴ scripsi: δὲ codd. N αὐτῶν H ἣν] τὴν U 5 καλοῦσι H 5. 6 ὁ μὲν—λέγομεν om. N 7 θεῷ scripsi: θεὸν codd. N γενέσει scripsi: γένεσιν codd. N μηδὲ H 8 τούτου om. N πλεόντων M δυναμένη scripsi: δυναμένην FN, δυναμένων GHU, δυναμέν (sic!) M 9 εὑρήσεται H, εὑρήσει conicio 10 φύσεως H: om. MGUFN 11 ἓν ἔργον MG: ἐνεργὸν UFN, ἔργον ἓν ἐν H 14 ποίημα H 14. 15 ἑτέραν U 15 ᾗ MG¹ ᾗ ⟨τε⟩ τὸ λέγειν καὶ ⟨ᾗ⟩ conicio ἀεὶ δεῖν FN 16 γεραίρεται FN 17 αἰτιῶν M ἐπειδὴ M ἔτει H: ἔτι MGUF 19 αὐτοὶ σχήσομεν Cohn: αὐτοῖς χρήσομεν codd. 20 τὸν om. H 21 ἅπασιν H: ἁπάσαις MGUF 22 ἀντιλαμβανοίμεθα H: ἐπιλανθανοίμεθα MGUF καὶ vid. del. θαυμαστῶν G² 23 ε' M πέμπτου ⟨ἔτους⟩ conicio ὅταν M 24 post οἰκεῖος add. εἴδους καὶ ἐν αἰσθήσει γένους πλεῖστον μετέχομεν MGUF

---

16 cf. Platonis Timaeum p. 29 A.

ἡμῶν ἐστιν αἴσθησις, ἢ δι' ὀφθαλμῶν τὰς χρωμάτων καὶ σχημάτων ποιότητας εὐτρεπίζουσα ἢ δι' ὤτων παντοδαπὰς τὰς τῶν φωνῶν ἰδιότητας ἢ διὰ μυκτήρων ὀσμὰς ἢ χυλοὺς διὰ στόματος ἢ μαλακότητας εὐενδότους καὶ σκληρότητας ἀντιτύπους ἢ λειότητας καὶ τραχύτητας, ⟨ψυχρότητάς⟩ τε αὖ καὶ θερμότητας διὰ τῆς ἀνὰ πᾶν τὸ σῶμα σκιδνα-
134 μένης δυνάμεως ἣν ἔθος ὀνομάζειν ἁφήν. (33.) τῶν δὲ εἰρημένων παράδειγμα σαφέστατον οἱ Λείας υἱοί, τῆς ἀρετῆς, οὐχ ἅπαντες, ἀλλὰ τέταρτός τε καὶ πέμπτος. ἐπὶ μὲν γὰρ τοῦ τετάρτου φησὶ Μωυσῆς, ὅτι „ἔστη τοῦ τίκτειν“ (Gen. 29, 35), καλεῖται δὲ Ἰούδας, ὃς ἑρμηνεύεται κυρίῳ ἐξομολόγησις. τὸν δὲ πέμπτον Ἰσσάχαρ προσαγορεύει, μισθὸς δὲ μεταληφθεὶς καλεῖται. καὶ τεκοῦσα τὸν τρόπον τοῦτον ἡ ψυχὴ ὃ ἔπαθεν εὐθὺς ἐξελάλησεν· „ἐκάλεσε“ γάρ φησι „τὸ ὄνομα αὐτοῦ Ἰσσά-
135 χαρ, ὅ ἐστι μισθός“ (Gen. 30, 18). οὐκοῦν Ἰούδας ὁ εὐλογῶν τὸν θεὸν νοῦς καὶ τὰς εἰς αὐτὸν εὐχαρίστους ὑμνῳδίας ἀπαύστως μελετῶν αὐτὸς ὁ πρὸς ἀλήθειαν „ἅγιος καὶ αἰνετὸς καρπὸς“ ἦν, οὐχ ὑπὸ γῆς δένδρων, ἀλλ' ὑπὸ φύσεως λογικῆς καὶ σπουδαίας ἐνεχθείς. παρὸ καὶ ἡ τεκοῦσα αὐτὸν φύσις „στῆναι“ λέγεται „τοῦ τίκτειν“, ἐπεὶ καὶ πῇ τράπηται οὐκ εἶχεν ἔτι, πρὸς τὸν τελειότητος ὅρον ἐλθοῦσα· τῶν γὰρ ἀποκυηθέντων κατορθωμάτων ἁπάντων ἄριστον καὶ τελειότατον γέννημα
136 ὁ εἰς τὸν πατέρα τοῦ παντὸς ὕμνος. ὁ δὲ πέμπτος υἱὸς τῆς κατὰ τὸν πέμπτον ἐνιαυτὸν τῶν φυτευθέντων ἀδιαφορεῖ χρήσεως· ὅ τε γὰρ γεωπόνος μισθὸν τρόπον τινὰ λαμβάνει παρὰ τῶν δένδρων ἔτει πέμπτῳ καὶ τὸ τῆς ψυχῆς γέννημα Ἰσσάχαρ [ὃς] μισθὸς ἐκαλεῖτο, καὶ σφόδρα εἰκότως, μετὰ τὸν εὐχάριστον Ἰούδαν ἀποκυηθείς· τῷ γὰρ | εὐχαρίστῳ p. 350 M.
137 μισθὸς αὐτὸ τὸ εὐχαριστεῖν αὐταρκέστατος. οἱ μὲν οὖν τῶν δένδρων καρποὶ γεννήματα λέγονται τῶν ἐχόντων, ὁ δὲ παιδείας καὶ φρονήσεως οὐκέτι ἀνθρώπου, μόνου δέ, ὥς φησι Μωυσῆς, τοῦ πανηγεμόνος· εἰπὼν γὰρ „τὰ γεννήματα αὐτοῦ“ ἐπιφέρει· „ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν“, ἐναργέστατα παριστὰς ὅτι οὗ τὸ γέννημα καὶ ὁ τῆς ψυχῆς καρπός,

---

1 ἡ διὰ M 2 ἡ M παντοδαπὰς Turn.: πάντα ποιοῦσα H, ἅπαντα ποιοῦσα MGU, ἁπάσας ποιοῦσα F 5 ψυχρότητας add. Mang. 5. 6 σκιδνωμένης M 8 τέταρτός] διά M ε′ M ἐπὶ] ἐπὰν M 11 τρόπον] πρότερον L 12 ἐξελάκησεν U 12. 13 ἰσάχαρ M 13 ἐστιν H 15 πρὸς] spatium in M ἦν UH: ἦν MF, ὃς G² in ras. 16 post σπουδαίας add. ἐστὶν G² παρ' ὃ U καὶ] δὲ M 18 τράπηται scripsi: τραπῇ codd. τελειότητος GU: τελειότατον MFH 19 ἀρεστὸν M 20 ε′ M 21 ε′ M 22 ἔτει MH: ἔτι GUF 23 καὶ H: om. MGUF ὃς] ὁ U, ὃς secl. Cohn 24 τὸν] τὴν H 25 αὐτῶ M¹H 26 δὲ] γὰρ M 28 γενήματα G ἡμῶν M¹ οὗ MH: οὐ G¹UF, καὶ G²

εἷς ἐστιν ὁ θεός. τούτῳ καὶ παρά τινι τῶν προφητῶν χρησθὲν συνάδει 138
τόδε· „ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται. τίς σοφὸς καὶ συνήσει ταῦτα;
συνετὸς καὶ γνώσεται αὐτά“ (Hos. 14, 9. 10); οὐ γὰρ παντὸς ἀλλὰ
μόνου σοφοῦ τὸ γνῶναι, τίνος ὁ διανοίας καρπός ἐστι.

(34.) Περὶ μὲν οὖν γεωργίας τῆς πρεσβυτάτης καὶ ἱερωτάτης, ἣ 139
τὸ αἴτιον πρὸς τὸν κόσμον, τὸ παμφορώτατον φυτῶν, χρῆται, καὶ περὶ
τῆς ἑπομένης, ἣν ὁ ἀστεῖος ἐπιτηδεύει, καὶ περὶ τῆς φερομένης τετρά-
δος τῶν ἄθλων, καὶ ἃ κατὰ προστάξεις καὶ ὑφηγήσεις νόμων συνεκρο-
τεῖτο, ὡς οἷόν τε ἦν εἴπομεν. τὴν δὲ τοῦ δικαίου Νῶε ἀμπελουρ- 140
γικήν, εἶδος γεωργικῆς οὖσαν, ἐπισκεψώμεθα. λέγεται γὰρ ὅτι „ἤρξατο
Νῶε ἄνθρωπος εἶναι γεωργὸς γῆς· καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιε
τοῦ οἴνου, καὶ ἐμεθύσθη“ (Gen. 9, 20. 21). οὐκοῦν τὸ μέθης φυτὸν 141
ἐξεργάζεται τεχνικῶς καὶ ἐπιστημόνως ὁ δίκαιος τῶν ἀφρόνων ἄτεχνον
καὶ πλημμελῆ ποιουμένων αὐτοῦ τὴν ἐπιστασίαν, ὥστε ἀναγκαῖον τὰ
προσήκοντα περὶ μέθης εἰπεῖν· εὐθὺς γὰρ εἰσόμεθα καὶ τὴν δύναμιν
τοῦ παρέχοντος αὐτῇ τὰς ἀφορμὰς φυτοῦ. τὰ μὲν οὖν εἰρημένα τῷ
νομοθέτῃ περὶ μέθης εἰσόμεθα ἐπ' ἀκριβείας αὖθις, νυνὶ δὲ ἐξερευνή-
σωμεν ὅσα καὶ τοῖς ἄλλοις ἔδοξεν. (35.) ἐσπουδάσθη δὲ παρὰ πολλοῖς 142
τῶν φιλοσόφων ἡ σκέψις οὐ μετρίως. προτείνεται δὲ οὕτως, εἰ μεθυσ-
θήσεται ὁ σοφός. ἔστι τοίνυν τὸ μεθύειν διττόν, ἓν μὲν ἴσον τι τῷ
οἰνοῦσθαι, ἕτερον δὲ ἴσον τῷ ληρεῖν ἐν οἴνῳ. τῶν δὲ ἐπιχειρησάντων 143
τῇ προτάσει οἱ μὲν ἔφασαν μήτε ἀκράτῳ πλείονι χρήσεσθαι τὸν σοφὸν
μήτε ληρήσειν· τὸ μὲν γὰρ ἁμάρτημα, τὸ δὲ ἁμαρτήματος εἶναι ποιη-
τικόν, ἑκάτερον δὲ ἀλλότριον κατορθοῦντος· οἱ δὲ τὸ μὲν οἰνοῦσθαι 144

---

1 τούτῳ Turn.: τοῦτο codd. 2 τὸ δὲ codd. 3 ὁ συνετὸς M αὐτά] ταῦτα M 4 τὸ] τοῦ M διάνοιαν H ἐστιν M 5 ἢ GF, ἡ M 6 πρὸς om. M, περὶ coni. Mang. τὸ H: τὸν MGUF φυτῶν MGUF: φυτὸν H 7 ὁ om. U 8 τῶν ἄθλων] ⟨τὰ πρεσβεῖα⟩ τῶν ἀριθμῶν conicio prius καὶ fort. del. 8. 9 συνεκρατεῖτο MUF 9. 10 ἀμπελουργικήν GUFH: ἀμπελουργίαν M 11 Νῶε] νῶ M ἔπιεν M 11. 12 ἔπιεν ἐκ τοῦ G 17 σκεψόμεθα conicio 17. 18 ἐξερευνήσωμεν scripsi: ἐξερευνήσομεν H, ἐρευνήσομεν MGUF 18 δὲ] δὴ coni. Mang. 19 οὕτως GH: οὗτος MUF, ὄντως Turn. εἰ] ἢ MF 20 μὲν om. U τῷ GU: τὸ MFH 21 τῷ] τὸ M 22. 23 οἱ μὲν — ληρήσειν om. M 22 χρήσεσθαι Mang.: χρῆσθαι codd. 23 ληρήσειν G^2 (coni. Mang.): ληρήσει ceteri 24. 162,1 οἰνοῦσθαι καὶ om. text., οἰνοῦσθαι τῷ add. mg. M

---

18 sqq. cf. Usener, Epicurea p. 344; Aristotelis fragmenta coll. V. Rose, Lipsiae 1886, p. 99: de Arnim, Quellenstudien zu Philo p. 101—140.

καὶ σπουδαίῳ προσῆκον ἀπεφήναντο, τὸ δὲ λῃρεῖν ἀνοίκειον· τὴν γὰρ ἐν αὐτῷ φρόνησιν ἱκανὴν εἶναι τοῖς βλάπτειν ἐπιχειροῦσιν ἀντιστατῆσαι καὶ τὸν ἐπὶ τὴν ψυχὴν νεωτερισμὸν αὐτῶν καθελεῖν· δύναμιν δὲ περιβεβλῆσθαι φρόνησιν παθῶν σβεστήριον εἴτε ὑπὸ φλεγμαίνοντος ἔρωτος οἴστρων ἀνερριπισμένων εἴτε ὑπὸ πολλοῦ καὶ ζέοντος ἐξημμένων οἴνου, δι' ἣν ὑπεράνω στήσεται· ἐπεὶ | καὶ τῶν κατὰ ποταμοῦ βαθέος ἢ θαλάττης δυομένων οἱ μὲν ἄπειροι τοῦ ναυτίλλεσθαι διαφθείρονται, οἱ δὲ τοῦ πράγματος ἐπιστήμονες τάχιστα διασῴζονται· καὶ μὴν ὥσπερ χειμάρρους ὁ πολὺς ἄκρατος ἐπικλύζων τὴν ψυχὴν τοτὲ μὲν βρίθουσαν εἰς ἀμαθίας ἔσχατον βυθὸν κατέρριψε, τοτὲ δὲ ὑπὸ τῆς σωτηρίου παιδείας ἐπικουφιζομένην καὶ ἐπελαφριζομένην οὐδὲν ἴσχυσε βλάψαι. οἱ δὲ τὸ μέγεθος τῆς περὶ τὸ πάθος ὑπερβολῆς οὐ κατανοήσαντες, οἶμαι, τοῦ σοφοῦ μετεωροπολοῦντα αὐτὸν ὥσπερ οἱ τὰ πτηνὰ θηρῶντες ἐπὶ γῆν ἀπ' οὐρανοῦ κατεβίβασαν, ἵν' εἰς τὰς ὁμοίας κῆρας ἀγάγωσιν, οὐδ' ὁρῶντες ἀρετῆς εἰς ὕψος ἔφασαν, ὅτι χρησάμενος οἴνῳ πλείονι τοῦ μετρίου πάντως ἀκράτωρ αὐτὸς ἑαυτοῦ γενόμενος διαμαρτήσεται καὶ οὐ χεῖρας μόνον ὑπ' ἀσθενείας οἷα τῶν ἀθλητῶν οἱ νενικημένοι καθείς, ἀλλὰ καὶ αὐχένα καὶ κεφαλὴν παραβαλὼν καὶ ὀκλάσας καὶ ὅλον τὸ σῶμα κατασυρεὶς ἀναπεσεῖται. (36.) τοῦτο μέντοι προμαθὼν οὐκ ἄν ποτε ἀξιώσειεν ἐκὼν εἰς πολυοινίας ἀγῶνα ἐλθεῖν, εἰ μὴ μεγάλα εἴη τὰ διαφέροντα, σωτηρία πατρίδος ἢ τιμὴ γονέων ἢ τέκνων καὶ τῶν οἰκειοτάτων σωμάτων ἀσφάλεια ἢ συνόλως ἰδίων τε καὶ κοινῶν ἐπανόρθωσις πραγμάτων. οὐδὲ γὰρ θανάσιμον φάρμακον προσενέγκαιτο ἄν, εἰ μὴ πάνυ βιάζοιντο οἱ καιροὶ καθάπερ ἐκ πατρίδος μετανίστασθαι τοῦ βίου· φάρμακον δέ, εἰ καὶ οὐ θανάτου, μανίας γοῦν ἄκρατον εἶναι αἴτιον συμ-

p. 351 M.

---

1 ἀπεφήνατο H 3 ἐπὰν M τὴν ψυχὴν scripsi: τῇ ψυχῇ codd. 3. 4 προβεβλῆσθαι conicio 4 σβεστήριον G^2FH: σεβαστήριον MG^1U εἴτα M 5 οἴστρων scripsi: οἴστρῳ codd. ἀνερριπισμένων H: ἀνερριπισμένῳ MGUF εἴτα M ἐξημμένων H: ἐξημμένῳ MGUF 6 δι' ἧς coni. Mang. τῶν] τῷ M βαθέως M 7 δυομένῳ M ναυτίλεσθαι H 9 τὴν H: τὴν μὲν MGUF ποτὲ F μὲν om. G 10 βυθὸν] κακὸν U κατέρριψεν U 11 οἱ δὲ] οὐδὲ M 12 περὶ] ὑπὲρ coni. Arnim περιβολῆς H οἶμαι τοῦ FH: spat. 1—2 litt., tum τοῦ M, ὁμετοῦ GU 13 τὴν γῆν H 14. 15 οὐδ' ὁρῶντες scripsi: οἱ δὲ ὁρῶντες H, ἰδρῶντες U, ἰδρῶτες MGF, ἢ οὐδ' ὁρῶντες Wilamowitz, οἳ οὐδ' ὁρῶντες Arnim 15 εἰς ὕψος H: εἰσὶ τὸ MF, εἰσὶν τὸ U, εἰσὶ ιν G (ιν G^2 in ras.) 16 ἑαυτὸς GF γενάμενος G 18 περιβαλὼν M 19 κατασυρεὶς U: καταρρυεὶς F, καταρεὶς G, καρωθεὶς M, παρασυρεὶς H ἀναπεσεῖται codd.: πεσεῖται v 21 σωτήρια G in ras., spat. 5 litt. M τιμῆς GUF 23 οὐδὲ MGUF: οὐ H 25 αἴτιον ἄκρατον εἶναι conicio

βέβηκε. διὰ τί δ' οὐχὶ καὶ μανίαν λεκτέον θάνατον, ᾧ τὸ κράτιστον ἀποθνήσκει τῶν ἐν ἡμῖν, ὁ νοῦς; ἀλλά μοι δοκεῖ τις ἂν εἰκότως τὸν διακρίνοντα καὶ διαλύοντα ψυχήν τε καὶ σῶμα ὡς κουφότερον ἀντὶ βαρυτέρου τοῦ κατὰ τὴν ἔκστασιν, εἴ τις ἦν αἵρεσις, ἀνενδοιάστως ἐλέσθαι. διὰ τοῦτο μέντοι καὶ τὸν εὑρετὴν τῆς περὶ τὸν οἶνον ἐργασίας 148 μαινόλην ἐκάλεσαν οἱ πρῶτοι καὶ τὰς ἐξ αὐτοῦ κατασχέτους γενομένας βάκχας μαινάδας, ἐπεὶ μανίας καὶ παραφροσύνης αἴτιος τοῖς ἁπλήστως ἐμφορουμένοις ὁ οἶνος. (37.) τὰ μὲν οὖν ὡσανεὶ προοίμια τῆς σκέψεως 149 τοιαῦτά ἐστι, τὸν δὲ περὶ αὐτῆς λόγον ἤδη περαίνωμεν διπλοῦν ὡς εἰκὸς ὄντα, τὸν μὲν ὅτι ὁ σοφὸς μεθυσθήσεται κατασκευάζοντα, τὸν δὲ τοὐναντίον ὅτι οὐ μεθυσθήσεται βεβαιούμενον. τοῦ δὲ προτέρου τὰς 150 πίστεις ἁρμόττον λέγειν πρότερον, ποιησαμένους ἐνθένδε τὴν ἀρχήν· τῶν πραγμάτων τὰ μὲν ὁμώνυμα, τὰ δὲ συνώνυμα εἶναι συμβέβηκεν. ὁμωνυμία
p. 352 M. δὲ καὶ συνωνυμία τἀναντία ὁμολογεῖται, | ὅτι ὁμωνυμία μὲν κατὰ πολλῶν ὑποκειμένων ἓν ὄνομα, συνωνυμία δὲ καθ' ἑνὸς ὑποκειμένου ⟨πολλά⟩. ἡ 151 κυνὸς φωνὴ πάντως ὁμώνυμος ἐμφερομένων πλειόνων ἀνομοίων, ἃ δι' αὐτῆς σημαίνεται· τό τε γὰρ χερσαῖον ὑλακτικὸν ζῷον κύων καὶ θὴρ ὁ θαλάττιος καὶ ὁ οὐράνιος ἀστήρ, ὃν ὀπωρινὸν οἱ ποιηταὶ καλοῦσιν, ὅτι τῆς ὀπώρας ἄρτι ἠβώσης ἐπιτέλλει τοῦ τελεσφορηθῆναί τε χάριν αὐτὴν καὶ πεπανθῆναι, καὶ προσέτι ὁ ἀπὸ τῆς κυνικῆς αἱρέσεως ὁρμηθεὶς φιλόσοφος, Ἀρίστιππος καὶ Διογένης καὶ ἄλλων οἳ τὰ αὐτὰ ἐπιτηδεύειν ἠξίωσαν ἀπερίληπτος ἀριθμὸς ἀνθρώπων. ἄλλαι δ' εἰσὶ προσρήσεις 152 διάφοροι κατὰ σημαινομένου ἑνὸς ὡς ἰός, ὀϊστός, βέλος — τὸ γὰρ διὰ τῆς τόξου νευρᾶς ἐπὶ τὸν σκοπὸν ἀφιέμενον πάντα ταῦτα λέγεται —· καὶ πάλιν

---

1 μανίαν H: μανίας MGUF ᾧ Mang.: ὡς MH, δ' ὡς GUF, θάνατον δ' ᾧ conicio 4 εἴ τις GF: ἤτις MUH 5 τὸν εὑρετὴν MF: τὴν ἀρετὴν GUH τὸν om. M τῶν οἴνων H 6 μαινόλην GUF: μενώλην M, μαινομένην H πρῶτοι] ποιηταὶ coni. Osann ἀκατασχέτους MFH γενομένους H 8 ἐμφερομένοις U¹ ut vid. 9 περαίνωμεν M: περαίνομεν GUFH διπλόν H, διπλῶς U 10 τὸν μὲν MH: τὰ μὲν GUF ὁ om. L 13 συμβέβηκε U 14 ὅτι ὁμωνυμία Turn.: τὴν ὁμωνυμίαν codd. 15 συνωνυμίαν M πολλά add. Mang. 16 ἐκφερομένων GF 18 ὅτι MGUF: ὁ H, ὃς v 19 ἐπιτέλλει H: ἐπιτέλει UF, ἐπὶ τέλει MG 20 προσέτι] spatium, tum ἔτι M 21 Διομένης M 22 δὲ M 23 κατὰ] μετὰ F ὡς ἰός] ὁσίως G¹ ὀϊστός G²FH: ὁ εἰς τὸ MG¹U 23. 24 τῆς τοῦ τόξου GU ἀφιέμενος H

---

6 μαινόλην] cf. Osann ad Cornutum p. 357, Clementis Protrept. 12 p. 11 P, Origenem Contra Celsum III 23 p. 460; Bruchmann, Epitheta deorum p. 88.

εἰρεσία, κώπη, πλάτη, τὸ πρὸς πλοῦν ἰσοδυναμοῦν ἱστίοις· ὁπότε γὰρ μὴ δύναιτο χρῆσθαι ναῦς κατὰ νηνεμίας ἢ ἀντιπνοίας ἱστίοις, πρόσκωποι καθίσαντες οἷς ἐπιμελὲς καὶ οἷα ταρσοὺς ἑκατέρωθεν ἀποτείναντες ὑπόπτερον αὐτὴν φέρεσθαι βιάζονται, ἡ δὲ ἐξαιρομένη πρὸς ὕψος, ἐπιτρέχουσα τοῖς κύμασι μᾶλλον ἢ ἐντέμνουσα ταῦτα, τροχάζουσα ταχυναυτεῖ
153 καὶ ναυλοχωτάτοις ὑποδρόμοις ἐνορμίζεται. καὶ μὴν πάλιν σκίπων, βακτηρία, ῥάβδος ἑνὸς ὑποκειμένου διάφοροι κλήσεις, ᾧ τύπτειν καὶ ἀκραδάντως σκηρίπτεσθαι καὶ ἐπερείδεσθαι καὶ ἄλλα πλείω ποιεῖν ἔνεστι. ταῦτα δ' οὐ μακρολογοῦντες ὅλως εἴπομεν, ἀλλ' ὑπὲρ τοῦ
154 σαφέστερον γνῶναι τὸ ζητούμενον. (38.) τὸν ἄκρατον ὥσπερ οἶνον, οὕτως καὶ μέθυ οἱ παλαιοὶ ἐκάλουν· πολλαχοῦ γοῦν τῆς ποιήσεώς ἐστι τοῦτο τοὔνομα ἐμφερόμενον, ὥστ' εἰ τὰ συνωνυμοῦντα καθ' ἑνὸς ὑποκειμένου λέγεται, οἶνος καὶ μέθυ, καὶ τὰ ἀπὸ τούτων οὐδὲν ὅτι μὴ
155 φωναῖς διοίσει μόνον, τό τε οἰνοῦσθαι καὶ τὸ μεθύειν [ἕν]· ἑκάτερον δὲ πλείονος οἴνου χρῆσιν ἐμφαίνει, ἣν πολλῶν ἕνεκα αἰτιῶν οὐκ ἂν ἀποστρέφοιτο ὁ σπουδαῖος. εἰ δὲ οἰνωθήσεται, καὶ μεθυσθήσεται, χεῖρον οὐδὲν ἐκ τῆς μέθης διατεθείς, ἀλλὰ ταὐτὸν ὅπερ καὶ [ὁ] ἐκ ψιλῆς τῆς οἰνώσεως παθών.

156 Μία μὲν ἀπόδειξις περὶ τοῦ τὸν σοφὸν μεθυσθῆναι λέλεκται, δευτέρα δ' ἐστὶ τοιαύτη· σχεδὸν οἱ νῦν ἄνθρωποι τοῖς προτέροις ἔξω μέρους βραχέος οὐδὲν ὁμοιότροπον ζηλοῦν ἀξιοῦσιν, ἀλλὰ καὶ ἐν λόγοις
157 καὶ ἐν ἔργοις τὸ μὴ συνῳδὸν καὶ διαφωνοῦν ἐπιδείκνυνται· τοὺς μὲν γὰρ λόγους ὑγιαίνοντας καὶ ἐρρωμένους εἰς πάθος ἀνήκεστον καὶ φθορὰν περιήγαγον ἀντὶ σφριγώσης καὶ ἀθλητικῆς ὄντως | εὐεξίας οὐδὲν ὅτι μὴ p. 353 M.
νοσοῦν κατασκευάσαντες καὶ τὸν πλήρη καὶ ναστόν, ὡς ἔφη τις, ὑπ'

---

1 εἰρεσία GH²: ἐρεσία MG¹UF πρὸς] spatium M ἱστίοις (sic) H: ἐν ἱστίοις MGUF 2 ἱστίοις H: ἱστοῖς MGU, ἱστοῖς F πρὸς κώπη G; spat. 3 litt., tum κώπη M 3 ἑτέρωθεν L ἀποτείνοντες MG 4 πρὸς] spatium in M 5 ἐντεμοῦσα GUF αὐτὰ conicio 6 ναυλοχωτάτοις F: ναυλόχω τοῖς M, ναυλοχότως G¹, ναυλοχοτάτοις G², ναυλόχωτος U, ναυλοχώτοις H ὑποδρόμοις G²UF: ὑποδρομίοις MG¹H ἐνορμίζεται H: ἐναρμόζεται MGUF σκήπων F 7 ἑνὸς] ἐν οἷς H 9 δ' om. M 11 οὕτω H μέθην L 12 ἐμφόμενον (sic) M ὥστε M 13. 14 καὶ τὰ — μόνον om. H, add. mg. L 14 μόνα M ἓν GH (seclusi): ἐὰν M, ἐν UF δὲ H: om. MGUF 15 ἐμφαίνη M αἰτιῶν MF: αἰτίων GUH 15. 16 ἀποστραφοῖτο GUF 17 οὐδὲ U ὥπερ F ὁ seclusi 18 οἰνώσεως Mang.: γνώσεως codd. 19 μίαν M λέγεται M 20 δέ ἐστι GFH σχεδὸν οἱ bis scr. M τῆς πρότερον F 21 οὐδὲ H 24 ἀθλητικῆς] ἀθλητι, tum spat. M ὄντας M οὐδὲν ὅτι μὴ H: οὐδὲ εἴ τι MGU, οὐδὲ ὅτι FL 24. 25 οὐδὲ οὐτινοσοῦν Turn.

εὐτονίας ὄγκον εἰς παρὰ φύσιν οἰδούσης καχεξίας ἀγαγόντες καὶ κενῷ
φυσήματι μόνον ἐπαίροντες, ὃ δι' ἔνδειαν τῆς συνεχούσης δυνάμεως,
ὅταν μάλιστα περιταθῇ, ῥήγνυται. τὰς δὲ πράξεις ἐπαινέσεως καὶ σπουδῆς 158
ἀξίας καὶ αὐτάς, ὡς ἔπος εἰπεῖν, ἄρρενας ἐξεθήλυναν αἰσχρὰς ἀντὶ
καλῶν ἐργαζόμενοι, ὡς ὀλίγους εἶναι παντάπασιν ἑκατέροις, ἔργοις τε
καὶ λόγοις, ἀρχαιοτρόπου ζηλώσεως ἐρῶντας. τοιγαροῦν ἐπ' ἐκείνων 159
ποιηταὶ καὶ λογογράφοι καὶ ὅσοι περὶ τὰ ἄλλα μουσικῆς ἐσπούδαζον
ἤνθουν, οὐ τὰς ἀκοὰς διὰ τῆς ἐν ῥυθμοῖς φωνῆς ἀφηδύνοντές τε καὶ
θρύπτοντες, ἀλλὰ εἴ τι τῆς διανοίας κετεαγὸς καὶ κεκλασμένον ἐγείροντες
καὶ ὅσον ἐμμελὲς αὐτῆς ἁρμοζόμενοι φύσεως καὶ ἀρετῆς ὀργάνοις· ἐφ'
ἡμῶν δὲ ὀψαρτυταὶ καὶ σιτοπόνοι καὶ ὅσοι τῆς ἐν βαφικῇ καὶ μυρεψικῇ
τεχνῖται περιεργίας, ἀεί τι καινὸν χρῶμα ἢ σχῆμα ἢ ἀτμὸν ἢ χυλὸν
ἐπιτειχίζοντες ταῖς αἰσθήσεσιν, ὅπως τὸν ἡγεμόνα πορθήσωσι νοῦν.
(39.) τίνος δὴ χάριν τούτων ἐμνήσθην; ἵν' ἐπιδείξω, ὅτι καὶ τὸν ἄκρα- 160
τον οὐχ ὁμοίως οἱ νῦν τοῖς πάλαι προσφέρονται. νῦν μὲν γὰρ ἄχρι
τοῦ σῶμα καὶ ψυχὴν παρεθῆναι πίνουσιν ἀθρόως καὶ ἀπνευστί, χαί-
νοντες ἔτι καὶ προσεπιφέρειν τοῖς οἰνοχοουμένοις κελεύοντες, κἂν
διαμέλλωσιν ἀγανακτοῦντες, ὅτι τὸν θερμὸν λεγόμενον παρ' αὐτοῖς
πότον παραψύχουσι, καὶ τὸ παράκομμα τῶν γυμνικῶν, τὸν παροίνιον
ἀγῶνα, πρὸς τοὺς συνόντας ἐπιδείκνυνται, ἐν ᾧ μεγάλα καὶ καλὰ
ἀλλήλους ἀντιδρῶσιν, ὥτα καὶ ῥῖνας καὶ χειρῶν ἄκρους δακτύλους καὶ
ὁποῖα δ' ἂν τύχῃ μέρη τοῦ σώματος ἀπεσθίοντες. ταῦτ' ἐστὶ τῆς 161
ἡβώσης καὶ νεωτέρας καὶ ἄρτι ἀκμαζούσης ἆθλα, ὡς ἔοικεν, εὐφροσύνης,
τῆς δὲ ἀρχαίας καὶ πρεσβυτέρας τἀναντία· πάσης γὰρ καλῆς πράξεως
ἀφ' ἱερῶν τελείων οἱ πρότεροι κατήρχοντο, νομίζοντες μάλιστα οὕτως
αἴσιον ἀποβήσεσθαι τὸ τέλος αὐτοῖς, καὶ πρὶν εὔξασθαί τε καὶ θῦσαι,

---

1 ὄγκον H: οἶκον MGU, οἷον FL παράφυσιν coni. Cohn οἰδούσης καχεξίας codd.: οἰδοῦσαν καχεξίαν Mang. 2 μόνω F 3 περιταθῇ FH: περὶ πάθη MGU ἐπαινέσεως Cohn: γενέσεως codd., γνησίας Mang. 6 ἐρῶντας Turn.: ἐρῶντες codd. 7 τἄλλα M ἄλλα ⟨εἴδη⟩ conicio 9 ἀλλ' FH κατατὸς H κεκλασμένον Mang.: κεχαλασμένον codd. 10 ἐκμελὲς conicio ὀργάνοις scripsi: ὀργίοις codd. 11 ὑμῶν U 12 καὶ post τεχνῖται add. M περιεργείας H 13 ἐπιτυχίζοντες M, ἐπιτειχίζονται G πορθήσωμεν H 14 δὴ] δὲ H τὸν scripsi: τὸ codd. 15 προσφέρονται H: προφέρονται MGUFL 16 τοῦ] τὸ F 16. 17 χαίνοντες MGF: χαίροντες UH 17 προσφέρειν H 18 διαμελῶσιν G τὸν] τὸ H 19 πότον scripsi: ποτὸν codd. περιψύχουσι H γυμνι, tum spat. M, μυρικῶν H 21 ὦτα, ῥῖνας H ἄκρες F 22 τύχῃ H: τύχοι MGUF 24 καὶ ante τῆς add. U 25 πρῶτοι U

καὶ εἰ σφόδρα τοῦ πράττειν ἐπέσπευδον οἱ καιροί, πάντως ἀνέμενον οὐκ ἀεὶ τὸ ταχὺ τοῦ βραδέος ἡγούμενοι κρεῖττον· οὐ προμηθὲς μὲν γὰρ τάχος βλαβερόν, βραδυτὴς δὲ μετ' εὐελπιστίας ὠφέλιμον. εἰδότες οὖν, ὅτι
162 καὶ ἡ τοῦ οἴνου ἀπόλαυσίς τε καὶ χρῆσις δεῖται πολλῆς ἐπιμελείας, οὔτε ἄδην | οὔτε ἀεὶ προσεφέροντο τὸν ἄκρατον, ἀλλ' ἔν τε κόσμῳ καὶ p. 354 M.
καιρῷ προσήκοντι. πρότερον γὰρ εὐξάμενοι καὶ θυσίας ἀναγαγόντες 6
καὶ ἱλασάμενοι τὸ θεῖον, σώματα καὶ ψυχὰς καθηράμενοι, τὰ μὲν λουτροῖς, τὰ δὲ νόμων καὶ παιδείας ὀρθῆς ῥεύμασι, φαιδροὶ καὶ γεγηθότες πρὸς ἀνειμένην δίαιταν ἐτρέποντο, μηδὲ οἴκαδε πολλάκις ἀφικόμενοι, ἀλλ' ἐν οἷς ἔθυσαν ἱεροῖς διατελοῦντες, ἵνα καὶ τῶν θυσιῶν μεμνημένοι 10
καὶ τὸν τόπον αἰδούμενοι ἱεροπρεπεστάτην ὡς ἀληθῶς ἄγωσιν εὐωχίαν,
163 μήτε λόγῳ μήτε ἔργῳ διαμαρτάνοντες. ἀπὸ τούτου γέ τοί φασι τὸ μεθύειν ὠνομάσθαι, ὅτι μετὰ τὸ θύειν ἔθος ἦν τοῖς πρότερον οἰνοῦσθαι. τίσι δὴ μᾶλλον οἰκεῖος ἂν εἴη τῆς τοῦ ἀκράτου χρήσεως ὁ λεχθεὶς τρόπος ἢ σοφοῖς ἀνδράσιν, οἷς καὶ τὸ πρὸ τῆς μέθης ἔργον ἁρμόττει 15
164 τὸ θύειν; σχεδὸν γὰρ οὐδὲ εἷς τῶν φαύλων πρὸς ἀλήθειαν ἱερουργεῖ, κἂν ἐνδελεχεῖς μυρίους βόας ἀνὰ πᾶσαν ἡμέραν ἀνάγῃ· τὸ γὰρ ἀναγκαιότατον ἱερεῖον αὐτῷ λελώβηται, ὁ νοῦς, λώβας δὲ οὐ θέμις βωμῶν προσάψασθαι.

165 Δεύτερος μὲν δὴ λόγος οὗτος εἴρηται, δεικνὺς ὅτι οὐκ ἀλλότριον 20
σπουδαίου τὸ μεθύειν, (40.) τρίτος δ' ἐστὶν ἀπὸ διαφερούσης τῆς πρὸς τὴν ἐτυμολογίαν πιθανότητος ἠρτημένος· τὴν γὰρ μέθην οὐ μόνον, ἐπειδὴ μετὰ θυσίας ἐπιτελεῖται, νομίζουσί τινες εἰρῆσθαι, ἀλλ' ὅτι καὶ

---

1 κἂν εἰ coni. Mang. ἔσπευδον H ἀνέμεινον H 1. 2 οὐ κακὰ τὸ H, οὐ κατὰ τὸ L 2 βραδέως G οὐ H: om. MGUF 3 εὐλογιστίας conicio 4 prius καὶ om. H 5 ἄδην scripsi: ἄρδην codd. προσέφερον τοῦτον ἄκρατον F τὸν] τοῦτον N 7 σώματά ⟨τε⟩ coni. Mang. 8 νόμων Turn.: νόμω codd. N 10 διατελοῦντες Cohn: διαπατοῦντες codd. 11 τρόπον H ἱεροπρεπέστατον M, ἱεροπρεπεστάτως N 13 ὠνόμασται G ὠνομάσθαι — θύειν om. U 14 τίσι G²H: τί MG¹UF εἴη GH²: εἶναι MG¹UF 15 νῦν post οἷς add. v τὸ H: τὸν U, τὰ MGF 16 τὸ μεθύειν G 17 κἂν] καὶ F ἀνὰ] κατὰ U ἀνάγῃ Mang.: ἀγάγῃ codd. 18 βωμῶν MGF: βωμῷ H, βωμοῦ U 19 προσψαύσασθαι H 21 τρίτος M: τρίτον GUFH πρὸς] περὶ conicio 22 ἠρτημένος scripsi: ἠρτημένον codd. 22. 23 ἐπειδὴ οὐ μόνον M 23 ἐπιτελεῖται Turn.: ἐπιτελεῖσθαι codd.

3—13 N fol. 188r εἰδότες οὖν — οἰνοῦσθαι 9. 10 R fol. 91r τοῦ αὐτοῦ: μηδὲ οἴκαδε πολλάκις ἀφικόμενοι, ἀλλ' ἐν οἷς ἔθυσαν ἱεροῖς διαπατοῦντες: ἀντὶ τοῦ εὐωχούμενοι: ἔοικεν οὖν ἐκ τούτου ἀναλόγως παρειλῆφθαι καὶ τὸ ἀποπατοῦντες ἀντὶ τοῦ χέζοντες.

μεθέσεως ψυχῆς αἰτία γίγνεται. μεθίεται δὲ ὁ μὲν τῶν ἀφρόνων λογισ- 166
μὸς εἰς πλειόνων χύσιν ἁμαρτημάτων, ὁ δὲ τῶν ἐμφρόνων εἰς ἀνέσεως
καὶ εὐθυμίας καὶ ἱλαρότητος ἀπόλαυσιν· ἡδίων γὰρ αὐτὸς ἑαυτοῦ νή-
φοντος οἰνωθεὶς ὁ σοφὸς γίγνεται, ὥστε οὐδ' ἂν ταύτῃ διαμαρτάνοιμεν
φάσκοντες ὅτι μεθυσθήσεται. πρὸς δὲ τούτοις κἀκεῖνο λεκτέον, ὅτι οὐ 167
σκυθρωπὸν καὶ αὐστηρὸν τὸ τῆς σοφίας εἶδος, ὑπὸ συννοίας καὶ κατη-
φείας ἐσταλμένον, ἀλλ' ἔμπαλιν ἱλαρὸν καὶ γαληνίζον, μεστὸν γηθοσύ-
νης καὶ χαρᾶς· ὑφ' ὧν πολλάκις προήχθη τις οὐκ ἀμούσως παῖξαί τι
καὶ χαριεντίσασθαι, παιδιὰν μέντοι τῇ σεμνότητι καὶ σπουδῇ καθάπερ
ἐν ἡρμοσμένῃ λύρᾳ φθόγγοις ἀντιφώνοις εἰς ἑνὸς μέλους κρᾶσιν συνη-
χοῦσαν. κατὰ γοῦν τὸν ἱερώτατον Μωυσῆν τέλος ἐστὶ σοφίας παιδιὰ 168
καὶ γέλως, ἀλλ' οὐχ ἃ τοῖς νηπίοις ἄνευ φρονήσεως πᾶσι μελετᾶται,
ἀλλ' ἃ τοῖς ἤδη πολιοῖς οὐ χρόνῳ μόνον ἀλλὰ καὶ βουλαῖς ἀγαθαῖς
γεγονόσιν. οὐχ ὁρᾷς ὅτι τὸν αὐτηκόου καὶ αὐτομαθοῦς καὶ αὐτουργοῦ
τῆς ἐπιστήμης ἁρυσάμενον οὐ μετέχοντα γέλωτος, ἀλλ' αὐτὸν γέλωτα
εἶναί φησιν; οὗτός ἐστιν Ἰσαάκ, ὃς ἑρμηνεύεται γέλως, ᾧ παίζειν μετὰ 169
τῆς ὑπομονῆς, ἣν Ῥεβέκκαν Ἑβραῖοι καλοῦσιν, ἁρμόττει. (41.) τὴν
p. 355 M. δὲ | θείαν παιδιὰν τῆς ψυχῆς ἰδιώτῃ μὲν οὐ θέμις ἰδεῖν, βασιλεῖ δὲ
ἔξεστιν, ᾧ πάμπολυν χρόνον παρῴκησεν, εἰ καὶ μὴ πάντ' ἐνῴκησε τὸν
αἰῶνα, σοφία. προσαγορεύεται οὗτος Ἀβιμέλεχ, ὃς διακύψας τῇ θυρίδι,
τῷ διοιχθέντι καὶ φωσφόρῳ τῆς διανοίας ὄμματι, τὸν Ἰσαὰκ εἶδε παί-
ζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ (Gen. 26, 8). τί γὰρ ἄλλο 170

---

1 μεθύσεως G γίνεται M μεθύεται H 2 χύσιν scripsi: ἴσχυσιν codd.
ἁμάρτημα M εὐφρόνων U, ἀφρόνων F 3. 4 νηφόντων U, νηφόντως F
4 γίγνεται GU: γίνεται MFH οὐδ' ἂν Cohn: οὐδὲν MGUF, οὐδ' ἐν H
5 μεθύσεσθαι M 6 αὐστηρὸν Arnim: αὐχμηρὸν codd. τῆς om. GUF
7 καὶ om. L 8 πολλάκις om. H 9 παιδειὰν G τὴν conicio 10 ἐν
ἡρμοσμένῃ FH: ἐνηρμοσμένῃ MGU μέλλους κροῦσιν M 12 γέλος F
13 ἀλλ' ἃ M: ἀλλὰ GUFH πολλοῖς U μόνῳ H 14 γεγόνασιν M
αὐτήκοον et αὐτομαθῆ M¹ 15. 16 εἶναι γέλωτα v 16 ὃς] ὃ U ᾧ scripsi:
ὃς MGUF, οὓς H, ὃν v 18 παιδειὰν M 19 ᾧ Mang.: οὗ MH, οὐ GUF
20 τῆς θυρίδος conicio (cf. Clem.) 22 αὐτοῦ v

---

16 sqq. Clem. Paedag. I § 21. 22 p. 110. 111 P. ... γέλως ἑρμηνεύεται ὁ Ἰσαάκ. τοῦτον
ἑώρακεν παίζοντα μετὰ τῆς γυναικὸς καὶ βοηθοῦ, τῆς Ῥεβέκκας, ὁ περίεργος βασιλεύς ...
Ῥεβέκκαν δὲ ἑρμηνεύουσιν ὑπομονήν .... καὶ αὕτη ἡ θεία παιδιά ..... τί γὰρ ἄλλο
εὐπρεπὲς ἔργον σοφῷ καὶ τελείῳ ἢ παίζειν καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπο-
μονῇ ..... διακύψας τῆς θυρίδος ....

ἐμπρεπὲς ἔργον σοφῷ ἢ τὸ παίζειν καὶ γανοῦσθαι καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπομονῇ; ἐξ ὧν ὅτι καὶ μεθυσθήσεται δῆλόν ἐστι τῆς
171 μέθης ἠθοποιούσης καὶ ἄνεσιν καὶ ὠφέλειαν ἐργαζομένης· ὁ γὰρ ἄκρατος τὰ τῇ φύσει προσόντα ἐπιτείνειν καὶ σφοδρύνειν ἔοικεν εἴτε καλὰ εἴτε καὶ τὰ ἐναντία, καθάπερ καὶ πολλὰ τῶν ἄλλων· ἐπεὶ καὶ χρήματα αἴτια μὲν ἀγαθῶν ⟨ἀγαθῷ⟩, κακῷ δέ, ὡς ἔφη τις, κακῶν· καὶ πάλιν δόξα τοῦ μὲν ἄφρονος τὴν κακίαν ἐπιφανεστέραν, τοῦ δὲ δικαίου τὴν ἀρετὴν εὐκλεεστέραν ἐπιφαίνει. οὕτως οὖν καὶ ὁ ἄκρατος ἀναχυθεὶς τὸν μὲν πάθεσι κεχρημένον ἐμπαθέστερον, τὸν δὲ εὐπαθείαις εὐμενέ-
172 στερον καὶ ἥλεω μᾶλλον ἀπειργάσατο. τίς γε μὴν οὐκ οἶδεν, ὅτι δυεῖν ἐναντίων ἐπειδὰν θάτερον εἶδος ἐφαρμόζῃ πλείοσι, καὶ θάτερον ἐξ ἀνάγκης συμβήσεται; οἷον λευκοῦ καὶ μέλανος ἐναντίων ὄντων, εἰ τὸ λευκὸν ἀστείοις τε καὶ φαύλοις, καὶ τὸ μέλαν ἐξ ἴσου δήπουθεν ἀμφοτέροις, οὐχὶ μόνοις προσέσται τοῖς ἑτέροις. καὶ μὴν τό γε νήφειν καὶ τὸ μεθύειν ἐναντία, μετέχουσι δὲ τοῦ νήφειν, ὡς ὁ τῶν προτέρων λόγος, ἀγαθοί τε καὶ φαῦλοι· ὥστε καὶ τὸ μεθύειν ἑκατέρῳ τῶν εἰδῶν ἐφαρμόττει. μεθυσθήσεται τοιγάρτοι καὶ ὁ ἀστεῖος μηδὲν τῆς ἀρετῆς ἀπο-
173 βαλών. (42.) εἰ δ' ὥσπερ ἐν δικαστηρίῳ μὴ μόνον ταῖς ἐντέχνοις ἀποδείξεσιν, ἀλλὰ καὶ ταῖς ἀτέχνοις λεγομέναις χρηστέον, ὧν μία ἐστὶν ἡ διὰ τῶν μαρτυριῶν, πολλοὺς καὶ εὐδοκίμους μαρτυροῦντας παρεξόμεθα παῖδας ἰατρῶν καὶ φιλοσόφων, οὐ λόγοις μόνον ἀλλὰ καὶ γράμμασι τὴν
174 μαρτυρίαν σημαινομένους. μυρίας γὰρ ἀπολελοίπασι συντάξεις ἐπιγράψαντες περὶ μέθης, ἐν αἷς περὶ ψιλῆς αὐτὸ μόνον χρήσεως οἴνου σκο-

---

1 ἐμπρεπὲς scripsi: εὐπρεπὲς Clem., ἐμπρέπει codd. ἀγανοῦσθαι G, γάννυσθαι F 2 aut κακῶν aut ἐπιμονῇ dubitanter Mang. 3 ἀφέλειαν coni. Mang. 5 τἀναντία M, ἐναντία H 6 αἴτια U: αἴσια MGFH ἀγαθῶν ἀγαθῷ scripsi: ἀγαθῶν MGFH, ἀγαθὸν U, ἀγαθῷ ἀγαθῶν v κακῷ Turn.: κακὰ codd. κακῶν GFH: κακὸν U, om. M 7 δικαίου δὲ M 8 ἐμφαίνει M, ἐπιφέρει U καὶ om. M ἀναλυθεὶς G 9 ἐμπαθέστερον scripsi: εὐπαθέστερον codd. εὐπαθείας GUF 10 ἥλεων v οἶδεν MGUF: εἶδεν H δυοῖν MH 11 ἐφαρμόζει GF, ἐφαρμόση U πλείοσιν M 12 συμβήσηται U εἰ] εἰς UH 13 τε καὶ] τ, tum spat. M ἐξίσου GUH 14 πρόσεστι U ἑταίροις F 14. 15 καὶ τὸ — νήφειν om. U 15. 16 ἐναντία — μεθύειν om. F 16 πῶς τε U ἑκατέρων UF 17 καὶ om. M 18 ταῖς] τοῖς M 19 καὶ ἀτέχνοις G ἀτέχναις H post λεγομέναις add. αἷς G 20 διὰ om. H παραδεξόμεθα H 22 ἐνσημηναμένους conicio 23 ψιλοῦ G, οὐ G³ in ras. χρήσεως οἴνου M: οἴνου GUFH, οἴνου post σκοποῦσιν transpos. H, οἴνου χρήσεως Mang.

---

5. 6 [Platonis] Eryxias p. 397 E

ποῦσιν, οὐδὲν περὶ τῶν λῃρεῖν εἰωθότων προσεξετάζοντες, ἀλλ' ὅλον τὸ παροινίας παραπέμψαντες εἶδος· ὥστε καὶ παρὰ τούτοις σαφέστατα ἀνωμολογῆσθαι, ὅτι τὸ μεθύειν ἦν τὸ οἰνοῦσθαι. οἴνου δὲ σπάσαι πλείονος οὐκ ἂν εἴη χεῖρον ἐν καιρῷ σοφόν· οὐ τοίνυν διαμαρτησόμεθα
p. 356 M. | λέγοντες ὅτι μεθυσθήσεται. ἐπεὶ δὲ οὐδεὶς καθ' αὑτὸν ἀγωνιζόμενος 175
ἀναγράφεται νικῶν, εἰ δὲ ἀγωνίζεται, σκιαμαχεῖν μᾶλλον ἂν εἰκότως δόξαι, ἀνάγκη καὶ τοὺς τὸ ἐναντίον κατασκευάζοντας λόγους εἰπεῖν, ἵνα δικαιοτάτη γενηθῇ κρίσις, μηδετέρου μέρους ἐξ ἐρήμου καταδικασθέντος. ἔστι δὲ πρῶτος καὶ δυνατώτατος οὗτος· εἰ τῷ μεθύοντι οὐκ ἄν τις 176
εὐλόγως λόγον ἀπόρρητον παρακατάθοιτο, ⟨τῷ δὲ ἀστείῳ παρακατατίθεται⟩, οὐκ ἄρα μεθύει ὁ ἀστεῖος. ἀλλ' οὖν πρὶν ἢ τοὺς ἄλλους ἑξῆς συνείρειν, ἄμεινον καθ' ἕκαστον τῶν προτεινομένων ἀντιλέγειν, ἵνα μὴ μακρηγοροῦντες ἐπὶ πλέον διοχλεῖν δοκῶμεν. φήσει δή τις ἐναντιού- 177
μενος, ὅτι κατὰ τὸν λεχθέντα λόγον ὁ σοφὸς οὔτε μελαγχολήσει ποτὲ οὔτε κοιμηθήσεται οὔτε συνόλως ἀποθανεῖται· ᾧ δὲ μὴ συμβαίνει τι τοιοῦτον, ἄψυχόν ἐστιν ἢ θεῖον, ἄνθρωπος δὲ οὐκ ἂν εἴη τὸ παράπαν. τὴν γὰρ ἀγωγὴν τοῦ λόγου μιμησάμενος ἐφαρμόσει τὸν τρόπον τοῦτον τῷ μελαγχολῶντι ἢ κοιμωμένῳ ἢ ἀποθνήσκοντι· οὐκ ἄν τις εὐλόγως λόγον ἀπόρρητον τῷ τοιούτῳ παρακατάθοιτο, τῷ δὲ σοφῷ εὐλόγως·
οὔτ' ἄρα μελαγχολᾷ οὔτε κοιμᾶται οὔτε ἀποθνήσκει ὁ σοφός.

---

1 οὐδὲ H 2 παρατρέψαντες M παρὰ om. G 3 ἀνωμολογεῖσθαι MG σπάσαι MFL²: πᾶσαι U, σπεῦσαι HL¹, σπᾶσθαι G (sed σπᾶ in ras.) 4 σοφόν FH: σοφῶν MGU οὐ] οἱ G¹ 5 αὐτὸ G¹, αὐτὸ M 6 νικῶν, οὐδέ ἀγωνίζεται ⟨τὸ παράπαν⟩, σκιομαχεῖν ⟨δὲ⟩ μᾶλλον Arnim; sed ad εἰ δὲ ἀγωνίζεται (ἀγωνίζοιτο conicio) subaudi καθ' αὑτόν σκιαμαχεῖν scripsi: σκιομαχεῖν codd. 7 τοὺς τὸ MG¹FH: τούς τὸν G², τοῦτο U λόγον G 8 γεννηθῇ F μηδετέρου U: μηδ' ἑτέρου F, μηδὲ ἑτέρου MGH 9 ἀδυνατώτατος H εἰ] ἐν M¹, ut vid. 10. 11 τῷ — παρακατατίθεται addidi (cf. Arnim p. 136) 11 ἀλλ' οὖν scripsi: ἄρ' οὖν codd., ἄρ' ⟨οὐκ⟩ οὖν coni. Cohn 13 πλέον Cohn: πλεῖον codd. δὴ] δέ M 15 συμβαίνη G 16 ἀνθρώπου L 17 γὰρ ἀγωγὴν Arnim: παραγωγὴν codd. 18 post τις add. γὰρ GUFH 20 οὔτ' ἄρα scripsi: οὐ γὰρ codd., οὐκ ἄρα Mang. subscriptio GU: φίλωνος περὶ φυτουργίας Νῶε

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΜΕΘΗΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ

1 (1.) Τὰ μὲν τοῖς ἄλλοις φιλοσόφοις εἰρημένα περὶ μέθης, ὡς οἷόν I p. 357 M.
τε ἦν, ἐν τῇ πρὸ ταύτης ὑπεμνήσαμεν βίβλῳ, νυνὶ δὲ ἐπισκεψώμεθα
2 τίνα τῷ πάντα μεγάλῳ καὶ σοφῷ νομοθέτῃ περὶ αὐτῆς δοκεῖ. πολλα-
χοῦ γὰρ τῆς νομοθεσίας οἴνου καὶ τοῦ γεννῶντος φυτοῦ τὸν οἶνον ἀμ-
πέλου διαμέμνηται· καὶ τοῖς μὲν ἐμπίνειν ἐπιτρέπει, τοῖς δ' οὐκ ἐφίησι, 5
καὶ τοῖς αὐτοῖς ἔστιν ὅτε προστάττει τἀναντία, οἴνῳ χρῆσθαί τε καὶ μή.
οὗτοι μὲν οὖν εἰσιν οἱ τὴν μεγάλην εὐχὴν εὐξάμενοι (Num. 6, 2sqq.),
οἷς δὲ ἀκράτῳ χρῆσθαι ἀπείρηται οἱ λειτουργοῦντες ἱερεῖς (Lev. 10, 9),
οἱ δὲ προσφερόμενοι τὸν οἶνον μυρίοι τῶν ἐπ' ἀρετῇ μάλιστα καὶ παρ'
3 αὐτῷ τεθαυμασμένων. πρὶν δὲ περὶ τούτων ἄρξασθαι λέγειν, τὰ συν- 10
τείνοντα πρὸς τὰς κατασκευὰς αὐτῶν ἀκριβωτέον. ἔστι δ' ὡς γ' οἶμαι
4 τάδε· (2.) σύμβολον τὸν ἄκρατον Μωυσῆς οὐχ ἑνὸς ἀλλὰ πλειόνων
εἶναι νομίζει, τοῦ ληρεῖν καὶ παραπαίειν, ἀναισθησίας παντελοῦς, ἀπλη-
στίας ἀκορέστου καὶ δυσαρέστου ἐπιθυμίας καὶ εὐφροσύνης τῆς τἄλλα
περιεχούσης καὶ πᾶσι τοῖς εἰρημένοις ἐμφαινομένης γυμνότητος, ἣ τὸν 15
Νῶε | μεθυσθέντα φησὶ χρήσασθαι. τὸν μὲν οὖν οἶνον λέγεται ταῦτα p. 358 M.
5 ἐργάζεσθαι. μυρίοι δὲ καὶ τῶν οὐ προσαψαμένων ἀκράτου νήφειν ὑπο-
λαμβάνοντες τοῖς ὁμοίοις ἁλίσκονται· καὶ ἔστιν ἰδεῖν τοὺς μὲν αὐτῶν

φίλωνος περὶ μέθης G, φίλωνος σοφοῦ ἰουδαίου περὶ μέθης λόγος ιβ′ U, περὶ μέθης τοῦ αὐτοῦ λόγος πρῶτος F, περὶ μέθης H 2 ἐπισκεψώμεθα FH: ἐπισκεψόμεθα GU 4 γενῶντος H 6 ἐστι H ὅτε — τε om., sed lin. 8 post ἀκράτῳ inserit verba ἔστιν ὅτε — καὶ μὴ H κεχρῆσθαι καὶ H, με χρῆσθαι καὶ L 7 οὗτοι] ὅτι F 8 δὲ om. H ἱερεῖς GUFL²: αὐτοῖς HL¹ 9 μάλιστα τῶν ἐπ' ἀρετῇ H 11 δὲ H γ' om. H 12 τῶνδε H, om. L σύμβουλον U 14 ἐπιθυμίας Mang.: εὐθυμίας codd. ἀφροσύνης F 15 ⟨τῆς⟩ πᾶσι conicio ἐμφερομένης conicio 17 μυρίοις U

ἀφραίνοντάς τε καὶ ληροῦντας, τοὺς δ' ἀναισθησίᾳ παντελεῖ κατεσχημένους, τοὺς δὲ μηδέποτε πληρουμένους, αἰεὶ δὲ τῶν ἀνηνύτων διψῶντας διὰ χηρείαν ἐπιστήμης, τοὺς δ' ἔμπαλιν γανουμένους καὶ εὐφραινομένους, τοὺς δὲ τῷ ὄντι γυμνουμένους. τοῦ μὲν οὖν ληρεῖν αἴτιον ἡ ἐπιζήμιος 6
ἀπαιδευσία — λέγω δ' οὐ τὴν παιδείας ἀνεπιστημοσύνην, ἀλλὰ τὴν πρὸς αὐτὴν ἀλλοτρίωσιν —, τοῦ δ' ἀναισθητεῖν ἡ ἐπίβουλος καὶ πηρὸς ἄγνοια, ἀπληστίας δὲ ἡ ἀργαλεωτάτη παθῶν ψυχῆς ἐπιθυμία, εὐφροσύνης δὲ κτῆσις ὁμοῦ καὶ χρῆσις ἀρετῆς, γυμνότητος μέντοι πολλά, ἄγνοια τῶν ἐναντίων, ἀκακία καὶ ἀφέλεια ἠθῶν, ἀλήθεια ἡ τὰ τῶν συνεσκιασμένων πραγμάτων ἀνακαλυπτήρια ἄγουσα δύναμις, τῇ μὲν ἀπαμπίσχουσα ἀρετήν, τῇ δὲ κακίαν ἐν μέρει· ἅμα μὲν γὰρ οὐχ οἷον ἀποδύσασθαι, ἀλλ' οὐδ' 7
ἐνσκευάσασθαι ταύτας δυνατόν· ἐπειδὰν δέ τις ἀπορρίψῃ τὴν ἑτέραν, ἐξ ἀνάγκης τὴν ἐναντίαν ἀναλαβὼν ἐπαμπίσχεται. ὥσπερ γὰρ ἡδονὴν καὶ 8
ἀλγηδόνα φύσει μαχομένας, ὡς ὁ παλαιὸς λόγος, εἰς μίαν κορυφὴν συνάψας ὁ θεὸς ἑκατέρας αἴσθησιν οὐκ ἐν ταὐτῷ, διαλλάττουσι δὲ χρόνοις ἐνειργάσατο κατὰ τὴν φυγὴν τῆς ἑτέρας κάθοδον τῇ ἐναντίᾳ ψηφισάμενος, οὕτως ἀπὸ μιᾶς ῥίζης τοῦ ἡγεμονικοῦ τά τε ἀρετῆς καὶ κακίας διττὰ ἀνέδραμεν ἔρνη μήτε βλαστάνοντα μήτε καρποφοροῦντα ἐν ταὐτῷ· ὁπότε μὲν γὰρ φυλλορροεῖ καὶ ἀφαυαίνεται θάτερον, ἄρχεται ἀναβλα- 9
στάνειν καὶ χλοηφορεῖν τὸ ἐναντίον, ὡς ὑπολαβεῖν, ὅτι ἑκάτερον τῇ θατέρου δυσχεραῖνον εὐπραγίᾳ στέλλεται. δι' ἣν αἰτίαν φυσικώτατα τὴν Ἰακὼβ ἔξοδον εἴσοδον Ἡσαῦ παρίστησιν· „ἐγένετο“ γάρ φησιν „ὅσον ἐξῆλθεν Ἰακώβ, ἦκεν Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ“ (Gen. 27, 30)· μέχρι 10
μὲν γὰρ ἐνσχολάζει καὶ ἐμπεριπατεῖ τῇ ψυχῇ φρόνησις, ὑπερόριος πᾶς

---

1 εὐφραίνοντας F παντελῆ F 1. 2 κατισχημένους F, κατεχομένους H 2 ἀεὶ GF 3 χρείαν G γανουμένους FH: γαννουμένους G, γεγανωμένους U ἀφραινομένους F 5. 6 ἀλλὰ – ἄγνοια om. H 7 ἀφροσύνης FL² 8 γυμνότης GH 8. 9 τῶν ⟨ἀγαθῶν καὶ τῶν⟩ ἐναντίων conicio 9 κακία L ἐσκιασμένων Turn. 10 ἀπαμπίσχουσα scripsi: ἀπανπιούσῃ F, ἅπαν πιούσῃ U, ἀπα lac. 3 litt. G, ἅπαν ποιούσῃ H, ἀπαμφιάσασα Mang. 10. 11 τῇ — μέρει add. H² 11. 12 οὐδὲν σκευάσασθαι G 12 ταύτας om. H δὲ om. G 13 ἐπαμπίσχεται scripsi: ἐπαμπίσεται GU, ἀπαμπίσεται F, ἅπαν πίεται H, ἐπαμφίσκεται Mang. 16 ψησάμενος G 18 ἐνέδραμεν L prius μήτε] μήποτε H 19 φυλοροεῖ U 21 δι' ἣν H² in ras. et δὲ add., rursus del. φυσικώτατα scripsi: φυσικωτάτην codd. 22 τὴν om. F 24 περιπατεῖ F πᾶς om. L

---

9. 10 DR fol. 72v ἐκ τοῦ περὶ μέθης β' κεφ$^{\alpha'}$ (Anton. Mel. I 21 col. 843): ἀλήθειά ἐστιν ἡ τὰ — δύναμις.

ὁ ἀφροσύνης ἑταῖρος ἐκτετόξευται· ἐπειδὰν δὲ μεταναστῇ, γεγηθὼς κάτεισιν ἐκεῖνος, τῆς πολεμίου καὶ δυσμενοῦς δι' ἣν ἠλαύνετο καὶ ἐφυγαδεύετο μηκέτι τὸν αὐτὸν χῶρον οἰκούσης.

11 (3.) Τὰ μὲν οὖν ὡσανεὶ προοίμια τῆς γραφῆς ἀρκούντως λέλεκται, τὰς δ' ἀποδείξεις ἑκάστων προσαποδώσομεν, ἀπὸ τοῦ πρώτου πρῶτον ἀρξάμενοι διδάσκειν· τὴν τοίνυν ἀπαιδευσίαν ⟨τοῦ⟩ | ληρεῖν καὶ ἁμαρ- p. 359 M.
τάνειν αἰτίαν ἔφαμεν εἶναι καθάπερ μυρίοις τῶν ἀφρόνων τὸν πολὺν
12 ἄκρατον. ἀπαιδευσία γὰρ τῶν ψυχῆς ἁμαρτημάτων, εἰ δεῖ ταληθὲς εἰπεῖν, τὸ ἀρχέκακον, ἀφ' ἧς ὥσπερ ἀπὸ πηγῆς ῥέουσιν αἱ τοῦ βίου πράξεις, πότιμον μὲν καὶ σωτήριον οὐδὲν οὐδενὶ νᾶμα ἐκδιδοῦσα τὸ
13 παράπαν, ἁλμυρὸν δὲ νόσου καὶ φθορᾶς τοῖς χρησομένοις αἴτιον. οὕτως γοῦν κατὰ ἀναγώγων καὶ ἀπαιδεύτων ὁ νομοθέτης φονᾷ, ὡς κατ' οὐδενὸς ἴσως ἑτέρου. τεκμήριον δέ· τίνες εἰσὶν οἱ μὴ ἐπιτηδεύσει μᾶλλον ἢ φύσει σύμμαχοι παρά τε ἀνθρώποις καὶ ἐν τοῖς ἄλλοις γένεσι τῶν ζῴων; ἀλλ' οὐδὲ μανεὶς ἑτέρους ἂν εἴποι τις ἢ τοὺς τοκέας εἶναι· κήδεται γὰρ ἀδιδάκτῳ τῇ φύσει τὸ πεποιηκὸς αἰεὶ τοῦ γενομένου, καὶ σωτηρίας
14 αὐτοῦ καὶ διαμονῆς τῆς εἰσάπαν πρόνοιαν ἔχει. (4.) τοὺς οὖν ἐκ φύσεως συναγωνιστὰς ὑπάρχοντας εἰς ἐχθρῶν μετελθεῖν τάξιν ἐσπούδασε κατηγόρους ἐπιστήσας τοὺς δεόντως ἂν συναγορεύοντας, πατέρα καὶ μητέρα, ἵν' ὑφ' ὧν εἰκὸς ἦν σῴζεσθαι μόνων παραπόλωνται· „ἐὰν γάρ τινι“ φησίν „υἱὸς ᾖ ἀπειθὴς καὶ ἐρεθιστὴς οὐχ ὑπακούων φωνῆς πατρὸς καὶ μητρός, καὶ παιδεύωσιν αὐτὸν καὶ μὴ εἰσακούῃ αὐτῶν, συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ ἐξάξουσιν εἰς τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου αὐτοῦ, καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν· ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει, οὐκ εἰσα-

---

5 προσαποδόσωμεν H 5. 6 τοῦ ā ἀρξάμενοι H 6 τὴν Turn.: τῆς codd. ἀπαιδευσίαν G: ἀπαιδευσίας UFH τοῦ add. Richter (cf. D) 9 πηγῆς] γῆς G 10 πράξεις] παραβάσεις coni. Mang. οὐδὲν om. D ἐκδιδοῦσα GD: ἐκδιδοῦσαι FH, ἐκδιδοῦται U 11 χρησομένοις D: χρησαμένοις codd. 12 φονᾶ G^2: φωνᾶ G^1UFH 12—14 ὡς — σύμμαχοι om. H 15 κήδεται] κείσεται L 16 αἰεὶ UF: ἀεὶ GH 17 εἰς ἅπαν U οὖν om. F 19 δεόντως F: δὲ ὄντως GUH συναγορεύοντας scripsi: συναγορεύοντα F, συναγορεύσοντας GUH 20 παραπόλλωνται FL 21 ἀπειθὴς — φωνῆς om. U 22 καὶ μητρὸς om. G παιδεύουσιν G 25 καὶ post ἐρεθίζει add. H

6—11 DR fol. 73v τοῦ αὐτοῦ περὶ μέθης β^{tos}: τοῦ ληρεῖν αἴτιον ἡ ἐπιζήμιος ἀπαιδευσία. τοῦ αὐτοῦ: ἀπαιδευσία τῶν τῆς ψυχῆς ἁμαρτημάτων τὸ ἀρχέκακον — αἴτιον τοῖς χρησομένοις.

κρύει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ. καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν“ (Deut. 21, 18—21). οὐκοῦν αἱ κατηγορίαι ἀριθμῷ τέτταρες, ἀπείθεια καὶ ἐρεθισμὸς καὶ συμβολῶν εἰσφορὰ καὶ μέθη. μεγίστη δ' ἡ τελευταία παραύξησιν ἀπὸ τῆς πρώτης ἀπειθείας λαβοῦσα· ἀρξαμένη γὰρ ἀφηνιάζειν ἡ ψυχὴ καὶ προελθοῦσα διὰ ἔριδος καὶ φιλονεικίας ἐπὶ ὕστατον ὄρον ἔρχεται, μέθην, τὴν ἐκστάσεως καὶ παραφροσύνης αἰτίαν. ἑκάστης δὲ τῶν κατηγοριῶν τὴν δύναμιν ἰδεῖν ἀναγκαῖον τὴν ἀρχὴν ἀπὸ τῆς πρώτης λαβόντας. (5.) ἀνωμολόγηται τοίνυν περιφανῶς, ὅτι τὸ εἴκειν καὶ πειθαρχεῖν ἀρετῇ καλὸν καὶ συμφέρον, ὥστε τὸ ἀπειθεῖν ἔμπαλιν αἰσχρὸν καὶ οὐ μετρίως ἀλυσιτελές· τὸ δὲ δὴ καὶ ἐρεθίζειν ὑπερβολὴν πᾶσαν κεχώρηκε τοῦ δεινοῦ· ὁ γὰρ ἀπειθὴς τοῦ φιλέριδος ἧττον μοχθηρός ἐστιν, ὁ μὲν αὐτὸ μόνον τῶν προσταττομένων ἀλογῶν, ὁ δὲ καὶ τοῖς ἐναντίοις ἐγχειρεῖν σπουδὴν πεποιημένος. φέρε δ' ὡς ἔχει τοῦτο θεασώμεθα· νόμου κελεύοντος, εἰ τύχοι, τοὺς | γονεῖς τιμᾶν, ὁ μὲν μὴ τιμῶν ἀπειθής, ὁ δ' ἀτιμάζων φίλερις. καὶ πάλιν τοῦ τὴν πατρίδα σῴζειν ὄντος δικαίου τὸν μὲν πρὸς αὐτὸ τοῦτο ὄκνῳ χρώμενον ἀπειθῆ, τὸν δ' ἔτι καὶ προδιδόναι διεγνωκότα δύσεριν καὶ φιλόνεικον λεκτέον. ὅ τε μὴ χαριζόμενός τισιν ἐναντιούμενος τῷ φάσκοντι δεῖν ὠφελεῖν ἀπειθεῖ, ὁ δὲ πρὸς τῷ μὴ χαρίζεσθαι καὶ ὅσα βλάβης ἐστὶν ἐμποιῶν ἔριδι ἐπαιρόμενος ἀνίατα ἐξαμαρτάνει. καὶ μὴν ὅ γε ἱερουργίαις καὶ τοῖς ἄλλοις ὅσα πρὸς εὐσέβειαν ἀναφέρεται μὴ χρώμενος ἀπειθεῖ προστάξεσιν, ἃς ὁ νόμος εἴωθε περὶ τούτων προστάττειν, ἀνερεθίζει δ' ὁ πρὸς τοὐναντίον, ἀσέβειαν, ἀποκλίνας καὶ ἀθεότητος εἰσηγητής. (6.) οἷος ἦν ὁ φάσκων „τίς ἐστιν οὗ ὑπακούσομαι;“ καὶ πάλιν „οὐκ οἶδα τὸν κύριον“ (Exod. 5, 2). διὰ μὲν οὖν τῆς προτέρας φωνῆς παρίστησιν, ὅτι οὐκ ἔστι τὸ θεῖον, διὰ δὲ τῆς ἔπειτα, ὅτι, εἰ καὶ ἔστιν, ἀλλά τοι ἀγνοεῖται, ὅπερ ἐκ τοῦ μὴ προνοεῖν συνάγεται· εἰ γὰρ προὐνόει, κἂν ἐγινώσκετο.

---

2 ἐξαρεῖς H: ἐξάρεις GU, ἐξάρης F 4 συμβολῶν Mang.: συμβόλων codd. δὲ G 5 παραύξησιν G. Dindorf in Steph. Thesauro: παραύξην codd. 6 ἐφ' G² 7 ἀφροσύνης coni. Mang. 10 prius καὶ om. U ἐμπειθεῖν H 13 ἀλογῶν GUFL²: ἀπειθῶν HL¹ 15 μὲν μὴ GUF: μὲν H, μὴ v 17 τὸν] τὸ G¹ 18 δέ U 19 τῷ] δὲ τῷ v 20 τῷ] τὸ G ἐμποιῶν H: ἐμποιεῖ GUF 22 προστάξεσιν H: προστάξεως G, προστάξεων UF 24 ἦν GUF: ἐστὶν H ὁ om. G 25 ὑπακούσομεν L 28 προενόει U κἂν] καὶ U 28. 174,1 ἐγινώσκετο — τοῦ om. G 28 ἐγίνωσκε τὸ U

20 συμβολάς γε μὴν καὶ ἐράνους φέρειν ἐπὶ μὲν τῇ τοῦ ἀρίστου κτήματος
μετουσίᾳ, φρονήσεως, ἐπαινετὸν καὶ συμφέρον, ἕνεκα δὲ τῆς τοῦ ἀκρο-
21 τάτου πάντων ⟨κακοῦ⟩, ἀφροσύνης, ἀλυσιτελές τε καὶ ψεκτόν. αἱ μὲν
οὖν πρὸς τὸ ἄριστον συμβολαὶ πόθος ἀρετῆς, τῶν καλῶν ζῆλος, μελέται
συνεχεῖς, ἀσκήσεις ἐπίμονοι, ἄτρυτοι καὶ ἀκμῆτες πόνοι, αἱ δὲ πρὸς τὸ 5
22 ἐναντίον ἄνεσις, ῥᾳθυμία, τρυφή, θρύψις, παντελὴς ἐκδιαίτησις. ἰδεῖν
μέντοι καὶ τοὺς ἐπαποδυομένους πολυοινίᾳ καὶ καθ' ἑκάστην ἡμέραν
γυμναζομένους καὶ ἀθλοῦντας τοὺς ἐπ' ἀπληστίᾳ γαστρὸς ἄθλους ἔστι
συμβολὰς μὲν ὡς ἐπί τινι τῶν λυσιτελῶν εἰσφέροντας, ζημιουμένους δὲ
πάντα, χρήματα, σώματα, ψυχάς· τὰ μὲν γὰρ εἰσφέροντες μειοῦσι τὴν 10
οὐσίαν, τῶν δὲ σωμάτων διὰ τὸ ἁβροδίαιτον κατακλῶσι καὶ θρύπτουσι
τὰς δυνάμεις, τὰς δὲ ψυχὰς ποταμοῦ χειμάρρου τρόπον ἀμετρίᾳ τροφῶν
23 ἐπικλύζοντες εἰς βυθὸν ἀναγκάζουσι δύεσθαι. τὸν αὐτὸν δὴ τρόπον καὶ
ὅσοι φέρουσιν ἐράνους ἐπὶ καθαιρέσει παιδείας, τὸ κυριώτατον τῶν ἐν
αὐτοῖς ζημιοῦσι, διάνοιαν, ἀποκόπτοντες αὐτῆς τὰ σωτήρια, φρόνησιν 15
καὶ σωφροσύνην, ἔτι δὲ ἀνδρείαν καὶ δικαιοσύνην. διό μοι δοκεῖ καὶ
αὐτὸς ὀνόματι συνθέτῳ χρῆσθαι τῷ „συμβολοκοπῶν“ πρὸς δήλωσιν
ἐναργεστέραν τοῦ σημαινομένου, διότι τὰ κατὰ ἀρετῆς ἐπιχειρήματα
ὥσπερ τινὰς συμβολὰς καὶ ἐράνους εἰσφέροντες τιτρώσκουσι καὶ διαιροῦσι
καὶ συγκόπτουσι μέχρι παντελοῦς φθορᾶς τὰς φιληκόους καὶ φιλομαθεῖς 20
24 ψυχάς. (7.) ὁ μὲν οὖν σοφὸς Ἀβραὰμ ἐπανελθεῖν λέγεται „ἀπὸ τῆς
κοπῆς τοῦ Χοδολλαγόμορ καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ“ (Gen. 14,17),
ὁ δ' Ἀμαλὴκ ἔμπαλιν τοῦ ἀσκητοῦ „τὴν οὐραγίαν κόπτειν“ (Deut. 25,18),
ἀκολουθίᾳ φύσεως· ἐχθρὰ γὰρ | τὰ ἐναντία καὶ τὸν ἐπ' ἀλλήλοις ὄλε- p. 361 M.
25 θρον ἀεὶ μελετῶντα. τὸν δὲ κομίζοντα τὰς συμβολὰς καὶ ταύτῃ μάλιστ' 25
ἄν τις αἰτιάσαιτο, ὅτι οὐ μόνον ἀδικεῖν, ἀλλὰ καὶ συναδικεῖν ἔγνωκεν
ἑτέροις ἀξιῶν τὰ μὲν αὐτὸς εἰσηγεῖσθαι, τὰ δ' εἰσηγουμένων ἄλλων

---

1 συμβουλάς U φέρει L 2. 3 ἀκροτάτου] ἐπαρατοτάτου coni. Mang. 3 κακοῦ addidi 5 ἐπίμονοι Mang.: ἐπίπονοι codd. 8—10 ἄθλους ζημιουμένους τὰ πάντα Barocc. Max. ceteris omissis 8 ἔτι G 9 τινος G 11 κατακαλῶσι G¹, καταχαλῶσι G² διαθρύπτουσι Barocc. Max. 12 δυνάμεις] ἡδονὰς Barocc. τρυφῶν L² 13 τὸν H: om. GUF 15 αὐτῆς] αὐτοῖς F 16 ἔτι—δικαιοσύνην om. GF 17 συμβολοκόπων H 18 ἐπιτηδεύματα H 21 Ἀβραὰμ FH 22 σκοπῆς U Χοδολλαγόμορ GF: Χολοδογόμορ UH, Χολογομόδορ L, Χόδολλογόμορ Mang. μεταυτόν F 23 κόπτει H

6—13 Mel. Barocc. fol. 134r τοῦ Φίλωνος Maximi cod. Barber. I 158: ἰδεῖν μέντοι χρὴ καὶ τοὺς — δύεσθαι.

ἀκροᾶσθαι, ὅπως καὶ φύσει καὶ μαθήσει διαμαρτάνων μηδεμίαν εἰς σωτηρίαν ὑπολείπηται χρηστὴν ἐλπίδα ἑαυτῷ, καὶ ταῦτα νόμου διειρηκότος „μὴ γίνεσθαι μετὰ πολλῶν ἐπὶ κακίᾳ“ (Exod. 23,2)· τῷ γὰρ ὄντι πο- 26
λύχουν μὲν καὶ πολυφορώτατον ἐν ἀνθρώποις ψυχαῖς τὸ κακόν, ἐσταλμένον δὲ καὶ σπάνιον τἀγαθόν. παραίνεσις οὖν ὠφελιμωτάτη μὴ τοῖς πολλοῖς, μεθ' ὧν τὸ ἀδικεῖν, ἀλλὰ τοῖς ὀλίγοις, μεθ' ὧν τὸ δικαιοπραγεῖν, συμφέρεσθαι. (8.) τέταρτον τοίνυν καὶ μέγιστον ἔγκλημα ἦν τὸ 27
μεθύειν, οὐκ ἀνειμένως, ἀλλὰ σφόδρα συντόνως· τὸ γὰρ οἰνοφλυγεῖν ἴσον ἐστὶ τῷ τὸ παραίτιον ἀφροσύνης φάρμακον, ἀπαιδευσίαν, ἐντύφεσθαι καὶ ἀνακαίεσθαι καὶ ἀναφλέγεσθαι μηδέποτε σβεσθῆναι δυναμένην, ἀλλ' ὅλην δι' ὅλων αἰεὶ τὴν ψυχὴν ἐμπιπρᾶσάν τε καὶ πυρπολοῦσαν. εἰκότως οὖν 28
ἕψεται δίκη πάντα μοχθηρὸν τρόπον ἐκκαθαίρουσα διανοίας· λέγεται γὰρ „ἐξαρεῖς τὸν πονηρόν“, οὐκ ἐκ πόλεως ἢ χώρας ἢ ἔθνους, ἀλλ' „ἐξ ὑμῶν αὐτῶν“ (Deut. 21,21)· ἡμῖν γὰρ αὐτοῖς ἐνυπάρχουσι καὶ ἐμφωλεύουσιν οἱ ὑπαίτιοι καὶ ἐπίληπτοι λογισμοί, οὓς, ὁπότε ἀνιάτως ἔχοιεν, ἀποκόπτειν καὶ διαφθείρειν ἀναγκαῖον. τὸν οὖν ἀπειθῆ καὶ φίλεριν 29
καὶ λόγων πιθανότητας ὥσπερ τινὰς συμβολὰς καὶ ἐράνους ἐπὶ καθαιρέσει τοῦ καλοῦ πορίζοντα καὶ ἀκράτῳ φλεγόμενον καὶ καταμεθύοντα ἀρετῆς καὶ παροινίας ἐκτόπους εἰς αὐτὴν παροινοῦντα δίκαιον ἦν κατηγόρους μὲν τοὺς ἄλλοις συμμάχους λαβεῖν, πατέρα καὶ μητέρα, ⟨φθοράν⟩

---

2 ὑπολίπηται U αὐτῶ H νόμος U 3. 4 πολύχοος H 4 πολυφθορώτατον L 4. 5 ἐσταλμαῖον H, ἐσταλαῖαν L 5 τὸ ἀγαθὸν G οὖν GUF: αὖθις H, δὲ Max. 6. 7 πολλοῖς προσμαθόντας δικαιοπραγεῖν μεθ' ὧν τὸ δικαιοπραγεῖν H ἀλλ' ὀλίγοις Mang. 7 καὶ μέγιστον τοίνυν H ἦν om. H 11 αἰεὶ UF: ἀεὶ G, καίει H, καίειν Turn. ἐμπιπράσαν F: ἐμπιπρῶσαν ceteri 12 μοχθηρὰ H λέξεται F 13 τὸν] τὸ U 14. 15 ἐμφολεύουσιν H 17 ὥσπερ τινὰς om. H 18 ἀκράτως U μεθύοντα καὶ καταφλεγόμενον F 19 ἐκτόπους scripsi: ἐκτόπως codd. αὐτὴν GUFN: αὐτὸν H ἦν] οὖν F 19. 20 κατηγόρους μὲν τοὺς ἄλλοις (ἄλλως Cohn) scripsi: κατηγόρους μὲν τοὺς H, κατηγορουμένους οἱ ἄλλοι GU, κατηγορούμενον τοὺς ἄλλους FN 20 φθορὰν addidi

---

3—5 Clem. Paedag. III § 27 p. 269 P: „οὐκ ἔσῃ δὲ μετὰ πολλῶν“ φησίν „ἐπὶ κακίᾳ οὐδὲ προσθήσῃ μετὰ πλήθους“, ὅτι ἡ σοφία ἐν ὀλίγοις, ἀταξία δὲ ἐν πλήθει καταφαίνεται. 3—5 DK fol. 115v τοῦ αὐτοῦ ἐκ τοῦ περὶ μέθης DL fol. 25r DB fol. 39r Φίλωνος ἐκ τοῦ περὶ μέθης α' Flor. Paris. No. 5 (Barb. I 158): τῷ ὄντι—τὸ ἀγαθόν. pergit Barb. ω
ad. lin. 7 συμφέρεσθαι. — DK fol. 256v Φίλωνος ἐκ τ περὶ μέθης β', DL fol. 64r DM fol. 32v DP fol. 16v (Φίλωνος) DV p. 688: ἐσταλμένον καὶ σπάνιον τὸ ἀγαθόν.
16—176,18 N fol. 164r τὸν οὖν ἀπειθῆ—οἴσομεν

δὲ ἐνδέξασθαι παντελῆ πρὸς νουθεσίαν καὶ σωφρονισμὸν τῶν οἴων τε
30 σῴζεσθαι. πατρὸς δὲ καὶ μητρὸς κοιναὶ μὲν αἱ κλήσεις, διάφοροι δ' αἱ
δυνάμεις. τὸν γοῦν τόδε τὸ πᾶν ἐργασάμενον δημιουργὸν ὁμοῦ καὶ
πατέρα εἶναι τοῦ γεγονότος εὐθὺς ἐν δίκῃ φήσομεν, μητέρα δὲ τὴν τοῦ
πεποιηκότος ἐπιστήμην, ᾗ συνὼν ὁ θεὸς οὐχ ὡς ἄνθρωπος ἔσπειρε
γένεσιν. ἡ δὲ παραδεξαμένη τὰ τοῦ θεοῦ σπέρματα τελεσφόροις ὠδῖσι
τὸν μόνον καὶ ἀγαπητὸν αἰσθητὸν υἱὸν | ἀπεκύησε, τόνδε τὸν κόσμον. p. 362 M.
31 εἰσάγεται γοῦν παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ ἡ σοφία περὶ αὑτῆς
λέγουσα τὸν τρόπον τοῦτον· „ὁ θεὸς ἐκτήσατό με πρωτίστην τῶν ἑαυτοῦ
ἔργων, καὶ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με“ (Prov. 8, 22)· ἦν γὰρ ἀναγ-
καῖον τῆς μητρὸς καὶ τιθήνης τῶν ὅλων πάνθ' ὅσα εἰς γένεσιν ἦλθεν
32 εἶναι νεώτερα. (9.) τούτων οὖν τῶν γονέων τίς ἱκανὸς ὑποστῆναι κατη-
γορίαν; ἀλλ' οὐδὲ μετρίαν ἀπειλὴν ἢ ἐλαφροτάτην κατάμεμψιν. οὐδὲ
γὰρ τῶν δωρεῶν ἱκανὸς οὐδεὶς χωρῆσαι τὸ ἄφθονον πλῆθος, ἴσως δὲ
οὐδ' ὁ κόσμος, ἀλλ' οἷα βραχεῖα δεξαμενὴ μεγάλης ἐπιρρεούσης τῶν
τοῦ θεοῦ χαρίτων πηγῆς τάχιστα ἀποπληρωθήσεται, ὡς ἀναβλύσαι τε
καὶ ὑπερεκχεῖσθαι. εἰ δὲ τὰς εὐεργεσίας ἀδυνατοῦμεν δέχεσθαι, τὰς
33 κολαστηρίους δυνάμεις πῶς ἐπιφερομένας οἴσομεν; τοὺς μὲν δὴ τοῦ
παντὸς γονεῖς ὑπεξαιρετέον τοῦ παρόντος λόγου, τοὺς δὲ φοιτητὰς καὶ
γνωρίμους αὐτῶν τὴν ἐπιμέλειαν καὶ προστασίαν εἰληχότας ψυχῶν, ὅσαι
μὴ ἀνάγωγοι καὶ ἄμουσοι, νῦν ἐπισκεψώμεθα. πατέρα τοίνυν εἶναί
φαμεν τὸν ἄρρενα καὶ τέλειον καὶ ὀρθὸν λόγον, μητέρα δὲ τὴν μέσην
καὶ ἐγκύκλιον χορείαν τε καὶ παιδείαν· οἷς καλὸν καὶ συμφέρον ὡς ἂν
34 ἔχγονον τοκεῦσι πείθεσθαι. τοῦ μὲν οὖν πατρός, ὀρθοῦ λόγου, παράγ-

---

1 δὲ ἐνδέξασθαι GUFN: δέον ἐνδέξασθαι H πρὸς UFHN: om. G οἷόν τε N
2 σῴζειν conicio δὲ UHN αἱ om. H Anton. 3 τὸ πᾶν τόδε Anton.
4 γεγονότος] λέγοντος U φήσωμεν Anton. μητέρα] πατέρα N 5 ὁ om. Anton.
ὡς] ὁ U 6 τὸ et σπέρμα H θεοῦ] κυρίου Anton. 7 μόνον καὶ om. Anton.
post ἀγαπητὸν add. καὶ Anton. 8 αὐτῆς codd. 9 ἐκτίσατο H 11 ἦλθε H
12 νεώτερον N 15 οὐδὲ N ἀλλὰ βραχέα δεξάμενος D 15. 16 μεγάλαις ἐπιρ-
ρεούσαις τῶν θεοῦ χαρισμάτων δωρεαῖς τάχιστα D 15 ἐπιρεούσης U, ἐπιρροῆς N
16 ἀναβλύσαι GUFN Max.: ἀναβλεῖσθαι H, ἀναβλύζεσθαι D, ἀναβλύζειν v τε om.
FD Max. 17 δέξασθαι D_2^R 21 ἐπισκεψόμεθα G 22 μέσην Mang.: ἴσην codd.

---

2. 3 D^R fol. 131v Φίλωνος (Anton. Mel. II 9 col. 1044): πατρὸς καὶ μητρὸς — διάφοροι δὲ δυνάμεις. pergit Anton. Mel. usque ad lin. 7 υἱὸν ἀπέτεκεν. 14—18 D^R fol. 142v τοῦ αὐτοῦ: δεύτερον (sc. περὶ μέθης, falso δεύτερον ad Philonis verba rettulit) et fol. 277r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ μέθης Maximi cod. Barber. I 158: τῶν θείων (οὐδὲ γὰρ τῶν Barb.) δωρεῶν ἱκανὸς — οἴσομεν.

γελμα ἔπεσθαι καὶ ἀκολουθεῖν τῇ φύσει γυμνὴν καὶ ἀπημφιασμένην ἀλήθειαν μεταδιώκοντας, παιδείας δέ, τῆς μητρός, θέσει δικαίοις προσέχειν, ἃ κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας ἔθεντο οἱ πρῶτοι δόκησιν πρὸ ἀληθείας ἀσπασάμενοι. τοῖς γονεῦσι τούτοις τέτταρες παίδων εἰσὶ τάξεις, 35
ἡ μὲν ἀμφοτέροις καταπειθής, ἡ δ' οὐδετέρῳ προσέχουσα, ἐναντία τῇ προτέρᾳ, τῶν δ' ἄλλων ἡμιτελὴς ἑκατέρα· ἡ μὲν γὰρ αὐτῶν φιλοπάτωρ σφόδρα γεγονυῖα τῷ μὲν προσέχει, μητρὸς δὲ καὶ τῶν ἐπισκήψεων αὐτῆς ἀλογεῖ, ἡ δ' ἔμπαλιν φιλομήτωρ εἶναι δοκοῦσα τῇ μὲν πάντα ὑπηρετεῖ, τῶν δὲ τοῦ πατρὸς ἥκιστα φροντίζει. ἡ μὲν οὖν πρώτη τὰ κατὰ πάντων ἆθλα οἴσεται νικητήρια, ἡ δ' ἀντίπαλος ἦτταν ὁμοῦ καὶ φθορὰν ἀναδέξεται, τῶν δ' ἄλλων ἑκατέρα, ἡ μὲν δευτερείων, ἡ δὲ τρίτων ἄθλων μεταποιήσεται, δευτερείων μὲν ἡ πειθαρχοῦσα πατρί, τρίτων δ' ἡ τῇ μητρί. (10.) τῆς μὲν οὖν φιλομήτορος ταῖς τῶν πολλῶν δόξαις ὑπει- 36
κούσης καὶ κατὰ τὰς πολυτρόπους τοῦ βίου ζηλώσεις παντοδαπὰς μετα-
p. 363 M. βαλλούσης ἰδέας | Αἰγυπτίου Πρωτέως τὸν τρόπον, ὃς τῷ πάνθ' ὅσα ἐν τῷ παντὶ πεφυκέναι γίνεσθαι τὸ ἀληθὲς ἀδηλούμενον ἔσχεν εἶδος, τύπος ἐναργέστατος Ἰοθόρ, πλάσμα τύφου, πρὸς πόλιν καὶ πολιτείαν συγκλύδων καὶ μιγάδων ἀνθρώπων κεναῖς αἰωρουμένων δόξαις μάλιστα ἁρμόττων. Μωυσέως γὰρ τοῦ σοφοῦ τὸν λεὼν ἅπαντα τῆς ψυχῆς πρὸς εὐσέβειαν 37
καὶ τιμὴν θεοῦ μεταλαβόντος καὶ τάς τε προστάξεις καὶ τοὺς ἱερωτάτους νόμους ἀναδιδάσκοντος — φησὶ γὰρ ὅτι „ἐπειδὰν γένηται αὐτοῖς ἀντιλογία καὶ ἔλθωσι πρὸς μέ, διακρίνω ἕκαστον καὶ συμβιβάζω τὰ προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον αὐτοῦ“ (Exod. 18, 16) —, παρελθὼν ὁ δοκησίσοφος Ἰοθόρ, τῶν μὲν θείων ἀμύητος ἀγαθῶν, τοῖς δὲ ἀνθρωπείοις καὶ φθαρτοῖς μάλιστ' ἐνωμιληκὼς δημαγωγεῖ καὶ νόμους ἐναντίους τοῖς τῆς φύσεως ἀναγράφει, πρὸς τὸ δοκεῖν ἀφορῶν ἐκείνων ἀναφερομένων πρὸς τὸ εἶναι. καίτοι καὶ τοῦτον ἐλεήσας καὶ οἰκτισάμενος τοῦ πολλοῦ 38
πλάνου μεταδιδάσκειν οἴεται δεῖν καὶ ἀναπείθειν ἀποστῆναι μὲν τῶν κενῶν

---

1 ἀπημφιεσμένην GF 2 ⟨τοῖς⟩ θέσει conicio προσέχειν om. H, προέχειν G¹F 3 ἔθη F πρὸ] πρὸς F 5 οὐδ' ἑτέρῳ GF 6 δ' om. H αὐτῶ U 7 ἐπισκήψεων scripsi: ἐπισκέψεων codd. 10 εἴσεται U ἧττα νόμου GF φθορὰν FH: φθορᾶς U, φορὰν G 12 μεταπεποίηται H δὲ U 13. 14 δοξῶν ὑπεικούσαις H 14 ⟨εἰς⟩ παντοδαπὰς coni. Mang. 15 προτέρως U τῷ] τὸ U 16 τύπω H 18 ἐωρουμένων F ἁρμόττον H 19 Μωυσέως U: Μωυσέος GFH 20 τε codd.: γε v 22 διακρίνω scripsi: διακρινῶ codd. συμβιβάζω GU: συμβιβάσω FH 23 τοῦ om. U 24 νοθὸρ H ἀγαθῶν] ὀργίων coni. Mang. ἀνθρωπίνοις v 25 μάλιστα G, μάλισθ' U 26 ἀφορῶντας coni. Mang. ἀναφερόντων L¹

39 δοξῶν, ἀκολουθῆσαι δὲ παγίως τῷ ἀληθεῖ· „ἐξάραντες“, γάρ φησιν, ἡμεῖς καὶ ἀποκόψαντες τῆς διανοίας τὸν κενὸν τῦφον μετανιστάμεθα εἰς τὸν ἐπιστήμης τόπον, ὃν χρησμοῖς καὶ ὁμολογίαις θείαις λαμβάνομεν· „ἴθι δὴ μεθ' ἡμῶν καὶ εὖ σε ποιήσομεν“ (Num. 10, 29)· ἀποβαλεῖς μὲν γὰρ
40 τὴν βλαβερωτάτην δόκησιν, κτήσῃ δὲ τὴν ὠφελιμωτάτην ἀλήθειαν. ἀλλὰ γὰρ τοιαῦτα κατεπασθεὶς ἀλογήσει τῶν εἰρημένων καὶ ἐπιστήμῃ μὲν οὐδαμῇ οὐδαμῶς ἕψεται, ἀναχωρήσει δὲ καὶ ἀναδραμεῖται πρὸς τὸν ἴδιον καὶ κενὸν τῦφον· λέγεται γὰρ ὅτι εἶπε πρὸς αὐτόν· „οὐ πορεύσομαι ἀλλ' εἰς τὴν γῆν μου καὶ τὴν γενεάν μου“ (Num. 10, 30), τουτέστι τὴν συγγενῆ ψευδοδοξοῦσαν ἀπιστίαν, ἐπειδὴ τὴν ἀληθεύουσαν ἀνδράσι φίλην
41 πίστιν οὐκ ἔμαθε. (11.) καὶ γὰρ ὅταν ἐπίδειξιν εὐσεβείας βουλόμενος ποιήσασθαι λέγῃ· „νῦν ἔγνων ὅτι μέγας κύριος παρὰ πάντας τοὺς θεούς“ (Exod. 18, 11), ἀσέβειαν παρὰ δικάζειν ἐπισταμένοις ἀνδράσιν ἑαυτοῦ
42 κατηγορεῖ. φήσουσι γὰρ αὐτῷ· νῦν ἔγνως, ἀνόσιε, πρότερον δ' οὐκ ἠπίστασο τὸ μέγεθος τοῦ παντὸς ἡγεμόνος; ἦν γάρ τι πρεσβύτερον θεοῦ, ᾧ προεντετύχηκας; ἢ τοῖς ἐκγόνοις οὐχ αἱ τῶν γονέων ἀρεταὶ πρὸ τῶν ἄλλων ἅπαξ ἁπάντων γνώριμοι; τοῦ δὲ παντὸς οὐκ ἄρα ἀρχηγέτης ὁ κτίστης καὶ πατὴρ αὐτοῦ; ὥστ' εἰ νῦν ἐγνωκέναι φῂς σύ, οὐδὲ νῦν
43 ἔγνωκας, ὅτι οὐκ ἀπὸ γενέσεως ἀρχῆς. ἐλέγχῃ δ' οὐδὲν ἧττον ἐπιμορφάζων, ὅταν συγκρίνῃς τὰ ἀσύγκριτα καὶ λέγῃς παρὰ πάντας τοὺς θεοὺς τὸ μεγαλεῖον τοῦ ὄντος ἐγνωκέναι· εἰ γὰρ ᾔδεις ἀληθείᾳ τὸ ὄν,
44 οὐδένα ἂν τῶν ἄλλων ὑπέλαβες εἶναι θεὸν αὐτεξούσιον. ὥσπερ γὰρ ἀνατείλας ὁ ἥλιος ἀποκρύπτει | τοὺς ἀστέρας τῶν ἡμετέρων ὄψεων ἀθρόον p. 364 M.
τὸ ἑαυτοῦ καταχέας φέγγος, οὕτως ὅταν τῷ τῆς ψυχῆς ὄμματι ἀμιγεῖς καὶ καθαρώταται καὶ τηλαυγέσταται τοῦ φωσφόρου θεοῦ νοηταὶ ἐναστράψωσιν αὐγαί, κατιδεῖν οὐδὲν ἕτερον δύναται· ἐπιλάμψασα γὰρ ἡ τοῦ ὄντος ἐπιστήμη πάντα περιαυγάζει, ὡς καὶ τοῖς λαμπροτάτοις ἐξ ἑαυτῶν εἶναι
45 δοκοῦσιν ἐπισκοτεῖν. θεοῖς οὖν τοῖς ψευδωνύμοις οὐκ ἄν τις τὸν ἀληθῆ θεὸν συγκρίνειν ὑπέμενεν, εἴπερ ἀψευδῶς ἐγίνωσκεν αὐτόν· ἀλλ' ἡ ἀνεπιστημοσύνη τοῦ ἑνὸς τὴν ἐπὶ πολλοῖς ὡς ὑπάρχουσι, πρὸς ἀλήθειαν

---

1 παγίως Turn.: πλαγίως codd. 4 σε GUH: σοι Fv 5 δόκησιν — ὠφελιμωτάτην om. GF 6 τὰ τοιαῦτα F ἀλογήσῃ G 10 ψευδοῦσαν H 11 βουλομένοις U 12 λέγει GU 13 ἀσεβείας L παραδικάζειν codd. ἐπισταμένως G 15 πάντων conicio τις πρεσβύτερος U θεῶ HL¹ 17 ἁπαξαπάντων FH 18 φῂς σύ GU: φησι H, φῂς F 19 ἀρχή H οὐδὲν ἧττον] εὐσέβειαν conicio 20 λέγεις G 21 ἀλήθειαν G, ἀλήθεια U, πρὸς ἀλήθειαν conicio 25 καθαρώτατοι F 28 ἐπισκοπεῖν H τις τὸν Cohn: πιστὸν codd., ποτε τὸν coniciebam 29 ὑπέμεινεν G 30 ὡς om. G ὑπάρχουσιν et οὖσιν H

οὐκ οὖσι, δόξαν εἰργάσατο. (12.) τῆς αὐτῆς προαιρέσεώς ἐστι πᾶς, ὅτῳ 46
τὰ μὲν ψυχῆς ἀπέγνωσται, τὰ δὲ περὶ σῶμά τε καὶ ἐκτὸς χρώμασι καὶ
σχήμασι πεποικιλμένα πρὸς ἀπάτην αἰσθήσεως εὐπαραγώγου θαυμάζεται.
καλεῖ δὲ τὸν τοιοῦτον ὁ νομοθέτης Λάβαν, ὃς τοὺς ἀληθεῖς τῆς φύσεως 47
νόμους οὐ κατιδὼν ψευδογραφεῖ τοὺς παρὰ ἀνθρώποις φάσκων· „οὐκ
ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσ-
βυτέραν“ (Gen. 29, 26). οὗτος μὲν γὰρ τὴν ἐν χρόνοις τάξιν φυλάττειν 48
οἴεται δεῖν, τὰ πρεσβύτερα πρότερον καὶ τὰ νεώτερα αὖθις εἰς κοινωνίαν
ἄγεσθαι δικαιῶν. ὁ δὲ σοφίας ἀσκητὴς εἰδὼς καὶ φύσεις ἀχρόνους
ὑπαρχούσας ἐφίεται καὶ νεωτέρων προτέρων καὶ πρεσβυτέρων ὑστέρων.
ἔχει δὲ καὶ τὸν ἠθοποιὸν λόγον ἑαυτῷ συνάδοντα· τοῖς γὰρ ἀσκηταῖς
ἀνάγκη πρότερον ἐντυχεῖν τῇ νεωτέρᾳ παιδείᾳ, ἵνα τῆς τελειοτέρας αὖθις
ἀπόνασθαι βεβαίως δυνηθῶσι. παρὸ καὶ μέχρι νῦν οἱ καλοκἀγαθίας 49
ἐρασταὶ οὐ πρότερον ἐπὶ τὰς τῆς πρεσβυτέρας ἀφικνοῦνται θύρας
φιλοσοφίας, πρὶν ἢ ταῖς νεωτέραις ἐντυχεῖν, γραμματικῇ καὶ γεω-
μετρίᾳ καὶ τῇ συμπάσῃ τῶν ἐγκυκλίων μουσικῇ· αὗται γὰρ σοφίαν
τοῖς ἀδόλως καὶ καθαρῶς μνωμένοις ἀεὶ προξενοῦσιν. ὁ δ' ἀντισοφί- 50
ζεται βουλόμενος τὴν πρεσβυτέραν ἡμᾶς ἀγαγέσθαι προτέραν, οὐχ ἵνα
βεβαίως ἔχωμεν, ἀλλ' ἵνα τοῖς τῆς νεωτέρας φίλτροις δελεασθέντες αὖθις
τὸν ἐπ' ἐκείνῃ πόθον ἐκλύσωμεν. (13.) καὶ σχεδὸν τοῦτο συνέβη πολ- 51
λοῖς τῶν ἀνοδίᾳ πρὸς παιδείαν χρησαμένων. ἔτι γάρ, ὡς ἔπος εἰπεῖν,
ἀπ' αὐτῶν σπαργάνων πρὸς τελειότατον ἐπιτήδευμα, φιλοσοφίαν, ἐλθόντες,
ἀμύητοι τῶν ἐγκυκλίων εἰσάπαν οὐ δικαιώσαντες γενέσθαι ὀψὲ καὶ μόλις
αὐτῶν ἅψασθαι διενοήθησαν. κἄπειτα ἀπὸ τῆς μείζονος καὶ πρεσβυ-
τέρας ἐπὶ τὴν τῶν ἐλαττόνων καὶ νεωτέρων θέαν καταβάντες ἐνεγή-
ρασαν αὐτοῖς, ὡς μηκέτ' ἀναδραμεῖν ὅθεν ὥρμησαν ἰσχῦσαι. διὰ τοῦτ' 52

---

2 σῶμά τε καὶ scripsi: σώματα καὶ UFH, σῶμα καὶ G, σῶμα καὶ τὰ Mang. 3 ἀπαραγώγου H 4 τὸν om. H 8 πρότερον GF: πρότερα UH 9. 10 φύσιν ἄχρονον ὑπάρχουσαν F^2 11 ἠθοποιοῦ U, ἠθικὸν conicio. hic sequitur in H textus § 136 inde ab εἰσιόντι. continuatio § 48 usque ad § 106 λόγον — μεθημερινὸν invenitur fol. 376r sqq., inserta libri De migr. § 12 12 τελεωτέρας H ⟨σοφίας⟩ αὖθις conicio 13 ἀπώνασθαι GD βεβαίως om. D δυνηθῶσιν U παρ' ὃ UD 15. 16 γραμματικῇ — μουσικῇ om. U 17. 18 ὁ δ' — τὴν om. U 18 πρεσβυτέραν] ὁρᾶν U πρότερον H 20 ἐκείνην H πόνον ἐνδύσωμεν (immo ἐνδυσώμεθα) Mang. ἐλκύσωμεν U 21 ἀνοδίαν F 23 εἰς ἅπαν UH 24 ἀπὸ] ὑπὸ F

11—15 DK fol. 248r ἐκ τοῦ περὶ μέθης: τοῖς ἀσκηταῖς σοφίας ἀνάγκη — ἐντυχεῖν

οἶμαί φησι· „συντέλεσον τὰ ἑβδομα ταύτης“ (Gen. 29, 27), ἴσον τῷ
| μὴ ἀτελεύτητον ἔστω σοι τὸ τῆς ψυχῆς ἀγαθόν, ἀλλ' ὅρον ἐχέτω καὶ p. 365 M.
πέρας, ἵνα καὶ τῇ νεωτέρᾳ τάξει τῶν ἀγαθῶν ἐντύχῃς, ἣν σώματος
53 κάλλος καὶ δόξα καὶ πλοῦτος καὶ τὰ ὁμοιότροπα κεκλήρωται. ὁ δὲ συν-
τελέσειν μὲν οὐχ ὑπισχνεῖται, „ἀναπληρώσειν“ (Gen. 29, 28) δ' αὐτὴν
ὁμολογεῖ, τουτέστι μηδέποτε ἐπιλείψειν τὰ πρὸς αὔξησιν καὶ συμπλή-
ρωσιν αὐτῆς ἐπιτηδεύων, ἀλλ' ἀεὶ καὶ πανταχοῦ περιέξεσθαι, κἂν μυρία
54 τὰ ἀντισπῶντα καὶ ἀνθέλκοντα ᾖ. πάνυ δ' ἐκδήλως τὸ τὰ ἔθη γυναιξὶ
μᾶλλον ἢ ἀνδράσιν ἐπιτηδεύεσθαι δοκεῖ μοι παρίστασθαι διὰ τῶν Ῥαχὴλ
τῆς μόνα τὰ αἰσθητὰ θαυμαζούσης λόγων· φησὶ γὰρ πρὸς τὸν πατέρα
ἑαυτῆς· „μὴ βαρέως φέρε, κύριε· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου,
55 ὅτι τὰ κατ' ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν“ (Gen. 31, 35). οὐκοῦν
γυναικῶν ἴδιον τὸ ἔθεσι πείθεσθαι· καὶ γὰρ τῷ ὄντι ἀσθενεστέρας καὶ
θηλυτέρας ψυχῆς τὸ ἔθος· ἀνδρῶν γάρ τοι ἡ φύσις, καὶ ἐρρωμένου
56 καὶ ἄρρενος ὡς ἀληθῶς λογισμοῦ ἔπεσθαι φύσει. (14.) καταπέπληγμαι
δὲ τὸ ἀψευδὲς τῆς ψυχῆς τῆς ἐν τοῖς ἑαυτῆς διαλόγοις ὁμολογούσης, ὅτι
οὐ δύναται τῶν φαινομένων ἀγαθῶν κατεξαναστῆναι, ἀλλ' ἕκαστον αὐτῶν
57 τέθηπε καὶ τιμᾷ καὶ μονονοὺχ ἑαυτῆς προκέκρικεν. ἐπεὶ τίς ἡμῶν ἀντι-
στατεῖ πλούτῳ; τίς δὲ πρὸς δόξαν κονίεται; τίς δὲ τιμῆς ἢ ἀρχῆς κατα-
πεφρόνηκε σχεδὸν τῶν ἔτι φυρομένων ἐν κεναῖς δόξαις; οὐδὲ εἷς τὸ
58 παράπαν. ἀλλ' ἕως μὲν οὐδὲν τούτων πάρεστιν, ὑφηγοροῦμεν ὡς ὀλιγο-
δεΐας ἑταῖροι τὸν αὐταρκέστατον καὶ δικαιότατον καὶ ἐλευθέροις καὶ
εὐγενέσιν ἁρμόττοντα περιποιούσης βίον· ἐπειδὰν δέ τινος τῶν εἰρημένων
ἐλπὶς ἢ ἐλπίδος αὐτὸ μόνον αὔρα βραχεῖα καταπνεύσῃ, διελεγχόμεθα·
ὑπείκοντες γὰρ εὐθὺς ἐνδίδομεν καὶ ἀντιβῆναι καὶ ἀντισχεῖν οὐ δυνάμεθα,

---

1 συντέλεσον τὰ F: συντελέσων τὰ G, συντελέσοντα U, συντελὲς τὰ H τῷ] τὸ H
2 τῆς om. FL 3 ἣν] ἢ G 4 καὶ δόξα καὶ πλοῦτος om. FL 6 ὁμιλεῖ H
τουτέστιν H μηδέποτ' H ἐπιλήψειν G 7 ἀλλ' ἀεὶ καὶ H: ἀλλ' ἀεὶ U,
ἀλλὰ καὶ GF περιέξεσθαι Mang.: περιέσεσθαι codd. 8 καὶ ἀνθέλκοντα
om. G δὲ G γυναιξὶν U 14 ἐρρωμένη N 15 ⟨τὸ⟩ ἕπεσθαι
conicio 16 alterum τῆς om. H 18 μόνον οὐχ F 20 φερομένων H, πεφυρ-
μένων D 21 πάρεστι F 22 ἕτεροι D αὐταρκεστάτοις καὶ δικαιοτά-
τοις L καὶ δικαιότατον om. D 23 τινος om. D 24 αὐτῶ μόνον ἢ
ἐλπίδος αὔρα transpos. D καταπνεύσει F διελεγχόμενα H

12—181,8 N fol. 164v οὐκοῦν—Ἰσαάκ. 17—181,3 DC fol. 245r Φίλωνος ἐκ τοῦ περὶ μέθης: οὐ δύναται τῶν φαινομένων ἀγαθῶν κατεξανίστασθαι ἡ τεθηλυμένη ψυχή, πλούτου καὶ δόξης τυχὸν ἢ ἀρχῆς ἢ τιμῆς. ἀλλ' ἕως μὲν οὐδὲν—αὐτομολοῦμεν. 19—21 DR fol. 267r Φίλωνος ἐκ τοῦ περὶ μέθης: τίς τιμῆς—παράπαν.

προδοθέντες δ' ὑπὸ τῶν φίλων αἰσθήσεων ὅλην τὴν ψυχῆς συμμαχίαν ἐκλείπομεν καὶ οὐκέτι λανθάνοντες ἀλλ' ἤδη φανερῶς αὐτομολοῦμεν· καὶ μήποτ' εἰκότως· ἔτι γὰρ ἡμῖν ἔθη τὰ γυναικῶν ἐπιπεπόλακεν οὔπω δυνηθεῖσι τὰ μὲν ἐκνίψασθαι, πρὸς δὲ τὴν ἀνδρωνῖτιν μεταδραμεῖν ἑστίαν, καθάπερ λόγος ἔχει τὴν φιλάρετον διάνοιαν, ὄνομα Σάρραν· αὕτη γὰρ εἰσάγεται διὰ τῶν χρησμῶν „τὰ γυναικεῖα πάντ' ἐκλιποῦσα“ (Gen. 18, 11), ἡνίκα τὸ αὐτομαθὲς γένος ὠδίνειν καὶ ἀποτίκτειν ἔμελλεν, ἐπίκλησιν Ἰσαάκ. λέγεται δὲ καὶ ἀμήτωρ γενέσθαι τὴν ἐκ πατρός, οὐ πρὸς μητρός, αὐτὸ μόνον κληρωσαμένη συγγένειαν, θήλεος γενεᾶς ἀμέτοχος. εἶπε γάρ πού τις· „καὶ γὰρ ἀληθῶς ἀδελφή | μού ἐστιν ἐκ πατρός, ἀλλ' οὐκ ἐκ μητρός“ (Gen. 20, 12)· οὐ γὰρ ἐξ ὕλης τῆς αἰσθητῆς συνισταμένης ἀεὶ καὶ λυομένης, ἣν μητέρα καὶ τροφὸν καὶ τιθήνην τῶν ποιητῶν ἔφασαν, οἷς πρώτοις σοφίας ἀνεβλάστησεν ἔρνος, ἀλλ' ἐκ τοῦ πάντων αἰτίου καὶ πατρός. αὕτη μὲν οὖν ὑπερκύψασα τὸν σωματοειδῆ πάντα κόσμον ὑπὸ τῆς ἐν θεῷ χαρᾶς γανωθεῖσα γέλωτα τὰς ἀνθρώπων θήσεται σπουδάς, ὅσαι περὶ τῶν κατὰ πόλεμον ἢ κατ' εἰρήνην πραγμάτων εἰσίν. (15.) ἡμεῖς δὲ ἔτι ὑπὸ τῆς ἀνάνδρου καὶ γυναικώδους συνηθείας τῆς περὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη καὶ τὰ αἰσθητὰ νικώμενοι τῶν φανέντων οὐδενὸς κατεξαναστῆναι δυνάμεθα, πρὸς πάντων δὲ καὶ τῶν ἐπιτυχόντων οἱ μὲν ἄκοντες οἱ δὲ καὶ ἑκόντες ἑλκόμεθα. κἂν τὸ στῖφος ἡμῶν τοῖς τοῦ πατρὸς ἐπιτάγμασιν ἀδυνατοῦν ὑπηρετεῖν ἁλίσκηται, σύμμαχον οὐδὲν ἧττον ἕξει τὴν μητέρα, παιδείαν μέσην τὰ νομιζόμενα καὶ δοκοῦντα εἶναι δίκαια γράφουσαν κατὰ πόλεις καὶ ἄλλα ἄλλοις νομοθετοῦσαν. εἰσὶ δέ τινες, οἳ τῶν μητρῴων ὑπερορῶντες περιέχονται παντὶ σθένει τῶν πατρῴων, οὓς καὶ τῆς μεγίστης τιμῆς, ἱερωσύνης, ὁ ὀρθὸς λόγος ἠξίωσε. κἂν τὰς πράξεις αὐτῶν διέλθωμεν,

59 60 61 62 63 64 65

---

1 προδοθέντες] προαχθέντες coni. Cohn δὲ N φίλτρων αἰσθήσεως olim coniciebam τὴν] τῆς G ψυχικὴν H, τῆς ψυχῆς D 3 εἰκότως Turn.: εἰκός codd. N τὰ GUFN: τῶν H 3. 4 ἐπιπόλακεν GF 5 ἑστίαν GUFN: ἤδη H 7 ὠδίνει H 9 οὐ H: καὶ GUF, om. L μητρὸς H: μητέρα GUF θήλεως G 10 γενεᾶς] συγγενείας coni. Mang. 12 αἰσθητοῦ F 15 γαννωθεῖσα G 16 θήσει H 16. 17 περὶ τὰ et πράγματα conicio 17 δὲ] δὴ Mang. 19 νικώμενα F 25. 26 καὶ—ἠξίωσε om. G 25 τιμῆς FH: om. U

---

3 sqq. cf. *Origenis Homiliam in Genesim VIII 10 p. 83 (ad eundem locum):* quem tamen filium ita demum generabis, si . . . . deficiant et in anima tua muliebria . . . .
13 cf. Platonis Timaeum p. 52 D et Indicem Aristotelicum s. v. τιθήνη.

ἐφ' αἷς τὸ γέρας τοῦτο εὕραντο, χλεύην ἴσως παρὰ πολλοῖς ὀφλήσομεν
τοῖς ταῖς προχείροις φαντασίαις ἀπατωμένοις, τὰς δὲ ἀφανεῖς καὶ συνε-
66 σκιασμένας δυνάμεις οὐ κατανοοῦσιν· οἱ γὰρ εὐχὰς καὶ θυσίας καὶ
πᾶσαν τὴν περὶ τὸ ἱερὸν ἁγιστείαν ἐγχειρισθέντες εἰσί, τὸ παραδοξότατον,
ἀνδροφόνοι, ἀδελφοκτόνοι, τῶν οἰκειοτάτων καὶ φιλτάτων σωμάτων αὐτό-
χειρες, οὓς ἐχρῆν καθαροὺς καὶ ἐκ καθαρῶν, μηδενὸς ἄγους προσαψα-
67 μένους, ἑκουσίου μὲν ἄπαγε, ἀλλὰ μηδ' ἀκουσίου χειροτονεῖσθαι· λέγεται
γάρ· „ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἕκαστος τὸν πλησίον
αὐτοῦ καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ. καὶ ἐποίησαν οἱ υἱοὶ Λευί, καθὰ
ἐλάλησε Μωυσῆς, καὶ ἔπεσον ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισ-
χιλίους ἄνδρας“ (Exod. 32, 27. 28). καὶ τοὺς τοσαύτην ἀνῃρηκότας
πληθὺν ἐπαινεῖ φάσκων· „ἐπληρώσατε τὰς χεῖρας σήμερον κυρίῳ, ἕκαστος
ἐν τῷ υἱῷ ἢ τῷ ἀδελφῷ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν“ (Exod. 32, 29).
68 (16.) τί οὖν λεκτέον ἢ ὅτι οἱ τοιοῦτοι τοῖς μὲν κοινοῖς ἀνθρώπων ἔθεσιν
ἁλίσκονται κατήγορον ἔχοντες τὴν πολιτευομένην καὶ δημαγωγὸν μητέρα
συνήθειαν, τοῖς δὲ τῆς φύσεως διασῴζονται συμμάχῳ χρώμενοι ὀρθῷ
69 λόγῳ, τῷ πατρί; καὶ γὰρ οὐδ', ὥσπερ νομίζουσί τινες, ἀνθρώπους ἀναι-
ροῦσιν οἱ ἱερεῖς, ζῷα λογικὰ ἐκ ψυχῆς καὶ σώματος συνεστῶτα, ἀλλ'
ὅσα οἰκεῖα καὶ φίλα τῇ σαρκὶ ἀποκόπτουσι τῆς διανοίας ἑαυτῶν, | εὐπρε- p. 367 M.
πὲς εἶναι νομίζοντες τοῖς θεραπευταῖς τοῦ μόνου σοφοῦ γενησομένοις
πάντων ὅσα γένεσιν εἴληχεν ἀλλοτριοῦσθαι καὶ πᾶσιν ὡς ἐχθροῖς καὶ
70 δυσμενεστάτοις προσφέρεσθαι. διὰ τοῦτο καὶ „ἀδελφόν“, οὐκ ἄνθρωπον,
ἀλλὰ τὸ ψυχῆς ἀδελφὸν σῶμα ἀποκτενοῦμεν, τουτέστι τοῦ φιλαρέτου καὶ
θείου τὸ φιλοπαθὲς καὶ θνητὸν διαζεύξομεν. ἀποκτενοῦμεν καὶ τὸν
„πλησίον“, πάλιν οὐκ ἄνθρωπον, ἀλλὰ τὸν ⟨αἰσθήσεων⟩ χορὸν καὶ θίασον·
οὗτος γὰρ ψυχῆς ἐστιν ὁμοῦ καὶ οἰκεῖος καὶ δυσμενής, δελέατα καὶ πα-
γίδας ἐπ' αὐτῇ τιθείς, ἵνα τοῖς ἐπιρρέουσιν αἰσθητοῖς κατακλυζομένη

---

1. 2 εὕραντο—ταῖς om G 1 εὔροντο H 2 τοῖς om. H φαντασίας H
ἀπατωμέναις H 6 μηδὲν H ἄγους GU 6. 7 προσαψαμένου H
7 ἄπαγε] ἅπας H 9 αὐτοῦ bis U, bis om. L οἱ GF: om. UH 10 ἐλάλησε]
προσέταξε U Μωσῆς H 12 πλὴν U 12—185,25 πληθὺν — νόμιμα
hinc translata inseruit F fol. 354v in libri Quod deus sit immutabilis § 67 post
βίζαις, ibidem in folio postmodum interposito habet L, cf. Prolegomena vol. I p. XXIV.
XXV 12 ἕκαστος ante σήμερον transpos. v 19 φίλτατα σαρκὶ H
αὐτῶν H 20 νόμου L γενησομένους F^2L, γενομένου H (ου in ras.)
23. 24 τοῦ φιλαρέτου καὶ θείου Turn.: τῷ φιλαρέτῳ καὶ θείῳ codd. 24 διαζεύξω-
μεν L 25 ante ἀλλὰ ex lin. 23 ἀλλὰ τὸ ψυχῆς ἀδελφὸν inserit H αἰσθήσεων
addidi χορὸν αἰσθήσεων. οὗτος coni. Mang. 26 prius καὶ U: om. GFH
tertium καὶ] τε καὶ U 27 αὐτὸ v

μηδέποτε πρὸς οὐρανὸν ἀνακύψῃ μηδὲ τὰς νοητὰς καὶ θεοειδεῖς φύσεις ἀσπάσηται. ἀποκτενοῦμεν καὶ „τὸν ἔγγιστα“· ὁ δ' ἐγγυτάτω διανοίας ὁ κατὰ προφοράν ἐστι λόγος, εὐλόγοις καὶ εἰκόσι καὶ πιθανότησι δόξας ψευδεῖς ἐντιθεὶς ἐπ' ὀλέθρῳ τοῦ κρατίστου κτήματος, ἀληθείας. (17.) διὰ 71
τί οὖν οὐχὶ καὶ τοῦτον σοφιστὴν ὄντα καὶ μιαρὸν ἀμυνούμεθα τὸν ἁρμόττοντα αὐτῷ καταψηφισάμενοι θάνατον, ἡσυχίαν — λόγου γὰρ ἡσυχία θάνατος —, ἵνα μηκέτ' ἐνσοφιστεύοντος ὁ νοῦς μεθέλκηται, δύνηται δ' ἀπηλλαγμένος πάντως τῶν κατὰ τὸ „ἀδελφὸν“ σῶμα ἡδονῶν, τῶν κατὰ τὰς „πλησίον“ καὶ ἀγχιθύρους αἰσθήσεις γοητειῶν, τῶν κατὰ τὸν „ἔγγιστα“
λόγον σοφιστειῶν ἐλεύθερος καὶ ἄφετος ἐαθεὶς καθαρῶς τοῖς νοητοῖς ἅπασιν ἐπιβάλλειν; οὗτός ἐστιν ὁ „λέγων τῷ πατρὶ καὶ τῇ μητρί“, τοῖς 72
θνητοῖς γονεῦσιν, „οὐχ ἑώρακα ὑμᾶς“, ἀφ' οὗ τὰ θεῖα εἶδον, ὁ „μὴ γνωρίζων τοὺς υἱούς“, ἀφ' οὗ γνώριμος σοφίας ἐγένετο, ὁ „ἀπογινώσκων τοὺς ἀδελφούς“ (Deut. 33, 9), ἀφ' οὗ μὴ ἀπεγνώσθη παρὰ θεῷ, ἀλλὰ
σωτηρίας ἠξιώθη παντελοῦς. οὗτός ἐστιν ὁ „τὸν σειρομάστην λαβών“, 73
τουτέστιν ὁ μαστεύσας καὶ ἀναζητήσας τὰ τῆς φθαρτῆς γενέσεως, ἧς ἐν σιτίοις καὶ ποτοῖς τὸ εὔδαιμον τεθησαύρισται, καὶ „εἰς τὴν κάμινον“, ὥς φησι Μωυσῆς, „εἰσελθών“, τὸν καιόμενον καὶ φλεγόμενον ὑπερβολαῖς ἀδικημάτων καὶ μηδέποτε σβεσθῆναι δυνάμενον ἀνθρώπων βίον, κἄπειτα
ἰσχύσας καὶ τὴν „γυναῖκα διὰ τῆς μήτρας ἀνατεμεῖν“, ὅτι αἰτία τοῦ γεννᾶν ἔδοξεν εἶναι πάσχουσα πρὸς ἀλήθειαν μᾶλλον ἢ δρῶσα, καὶ πάντα „ἄνθρωπον“ καὶ λογισμὸν τὸν ἐπακολουθήσαντα τῇδε τῇ δόξῃ τῇ ⟨τὰ⟩ τοῦ μόνου τῶν γινομένων αἰτίου θεοῦ περιαπτούσῃ παθηταῖς οὐσίαις (Num. 25, 7. 8). (18.) ἆρ' οὐχὶ καὶ οὗτος ἀνδροφόνος παρὰ πολλοῖς 74
p. 368 M. ἂν εἶναι νομισθείη τοῖς | τρόπον γυναικῶν ἔθεσιν ἁλισκομένοις; ἀλλὰ
παρά γε θεῷ τῷ πανηγεμόνι καὶ πατρὶ μυρίων ἐπαίνων καὶ ἐγκωμίων καὶ ἀναφαιρέτων ἄθλων ἀξιωθήσεται· τὰ δ' ἆθλα μεγάλα καὶ ἀδελφά, εἰρήνη καὶ ἱερωσύνη (Num. 25, 12. 13). τό τε γὰρ τὴν ἐν τῷ σπου- 75
δαζομένῳ παρὰ τοῖς πολλοῖς ἀνθρώποις βίῳ δυσάλωτον στρατείαν καὶ τὸν

---

1 μηδὲ GUFH: μὴ τὸ L, εἰς τὸ v νοητὰς codd.: καλὰς v 2 ἀσπάσασθαι L καὶ om. H ἐγγύτατος H 3 ἐν λόγοις F καὶ ante πιθανότησι om. H 4 καλλίστου U 5 ἀμυνόμεθα GU 8 πάντως Turn.: πάντων codd. 9. 10 τῶν — σοφιστειῶν om. H κατὰ τῶν ἔγγιστα σοφιστειῶν L 10 σοφιστιῶν F καθαρῶ U, καθαρὸς F 15 χειρομάστην H 20 μητρὸς H 22 τὰ addidi 23 μόνου Mang.: νόμου GUF, νόμου τοῦ H περιαπτούσῃ ⟨ἔργα⟩ coni. Mang. παθηταῖς Mang.: πάθη ταῖς codd. 25 τρόπον scripsi: πρὸς codd. ἁλισκομένοις scripsi: ἁλισκόμενος codd. 25. 26 ἀλλά γε παρὰ U 27 ἆθλα] ἄλλα G 29 τοῖς om. Fv

ἐν ψυχῇ τῶν ἐπιθυμιῶν ἐμφύλιον πόλεμον καταλῦσαι δυνηθέντα εἰρήνην βεβαιώσασθαι μέγα καὶ λαμπρὸν ἔργον, τό τε μηδὲν ἄλλο, μὴ πλοῦτον, μὴ δόξαν, μὴ τιμήν, μὴ ἀρχήν, μὴ κάλλος, μὴ ἰσχύν, μὴ ὅσα σώματος πλεονεκτήματα, μηδ' αὖ γῆν ἢ οὐρανὸν ἢ τὸν σύμπαντα κόσμον, ἀλλὰ τὸ πρεσβύτατον τῶν αἰτίων τὸ πρὸς ἀλήθειαν θεραπείας καὶ τῆς ἀνω- 5
76 τάτω τιμῆς ἀξιώσαντα μόνον τὴν ἱερωσύνης λαβεῖν τάξιν θαυμαστὸν καὶ περιμάχητον. ἀδελφὰ δ' ἔφην τὰ ἆθλα οὐκ ἀπὸ σκοποῦ, ἀλλ' εἰδὼς ὅτι οὔτ' ἂν ἱερεὺς γένοιτο πρὸς ἀλήθειαν ἔτι τὴν ἀνθρωπίνην καὶ θνητὴν στρατευόμενος στρατείαν, ἐν ᾗ ταγματαρχοῦσιν αἱ κεναὶ δόξαι, οὔτ' ἂν εἰρηνικὸς ἀνὴρ μὴ τὸ μόνον ἀμέτοχον πολέμου καὶ τὴν αἰώνιον εἰρήνην 10
77 ἄγον ἀψευδῶς καὶ ἁπλῶς θεραπεύων. (19.) τοιοῦτοι μέν εἰσιν οἱ τὸν πατέρα καὶ τὰ τοῦ πατρὸς τιμῶντες, μητρὸς δὲ καὶ τῶν ἐκείνης ἥκιστα φροντίζοντες. τὸν δ' ἀμφοτέροις πολεμωθέντα τοῖς γονεῦσι διασυνίστησιν εἰσαγαγὼν λέγοντα· „οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω“ (Exod. 5, 2)· οὗτος γὰρ ἔοικε καὶ τοῖς πρὸς θεὸν ὀρθῷ 15 λόγῳ βραβευμένοις καὶ τοῖς πρὸς γένεσιν παιδείᾳ βεβαιουμένοις ἐναν-
78 τιοῦσθαι καὶ συγχεῖν πάντα διὰ πάντων. εἰσὶ δὲ καὶ ἔτι νῦν — οὔπω γὰρ τὸ ἀνθρώπων γένος τὴν ἄκρατον κακίαν ἐκαθήρατο — μήτε τῶν εἰς εὐσέβειαν μήτε τῶν εἰς κοινωνίαν μηδὲν ἁπλῶς δρᾶν ἐγνωκότες, ἀλλὰ τοὐναντίον ἀσεβείας μὲν καὶ ἀθεότητος ἑταῖροι, πρὸς δὲ τοὺς ὁμοίους 20
79 ἄπιστοι. καὶ περινοστοῦσιν αἱ μέγισται τῶν πόλεων κῆρες οὗτοι, τὰ ἴδια καὶ τὰ κοινὰ ὑπὸ φιλοπραγμοσύνης διέποντες, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἀνατρέποντες· οὓς ἐχρῆν ὥσπερ μεγάλην νόσον, λιμὸν ἢ λοιμὸν ἤ τι κακὸν ἄλλο θεήλατον, εὐχαῖς καὶ θυσίαις ἀποτρέπεσθαι· φθοραὶ γὰρ οὗτοι μεγάλαι τοῖς ἐντυχοῦσι. παρὸ καὶ Μωυσῆς τὸν ὄλεθρον 25
80 αὐτῶν ᾄδει πρὸς τῆς ἰδίου συμμαχίας ἁλόντων καὶ ὥσπερ τρικυμίαις ταῖς ἰδίαις δόξαις ἐγκαταποθέντων (Exod. 14, 27. 28). (20.) λέγωμεν τοίνυν ἑξῆς καὶ περὶ τῶν τούτοις μὲν ἐχθρῶν, παιδείαν δὲ καὶ ὀρθὸν

---

1 τῇ ψυχῇ G 2 τό τε ἔργον v 3 μὴ ἀρχήν, μὴ τιμήν H 4 αὐγὴν GU 5 αἰτίων GFH: αἰτιῶν U, ἄθλων Mang. alterum τὸ codd.: τὸν Mang. 6 ἀξιώσαντα GFH: ἀξιώσοντα U, ἄξιον ὄντα v μόνα H τὴν codd.: τῆς v ἱερωσύνην FL 7 ἔφην] ἐφ' ἣν G 8 οὔτ' ἂν UH: ὅταν GF ὁ ἱερεὺς v γένηται U 9 οὔτ' scripsi: οὐδ' codd. 10 τὸ] τὴν coni. Mang. 11 ἄγον scripsi: ἄγων G^2FH, ἀγῶνα G^1U ψευδῶς G^1U ἁπλανῶς H 14 post λέγοντα add. τί H 15 οὕτως G 16 πρὸς] πρὸ G^1 παιδείας H 17 πάντα διαπράττων H 19 ἁπλῶς διενεγκόντες δρᾶν H 24 ἄλλο θεήλατον κακὸν H ἀνατρέπεσθαι H 25 παρ' ὃ U 26 ἰδίας H 27 λέγομεν H

λόγον ἐκτετιμηκότων, ὧν ἦσαν οἱ τῷ ἑτέρῳ τῶν γονέων προσκείμενοι, τῆς
p. 369 M. ἀρετῆς | ἡμιτελεῖς χορευταί. οὗτοι τοίνυν καὶ νόμων, οὓς ὁ πατήρ,
ὁ ὀρθὸς λόγος, ἔθηκεν, ἄριστοι φύλακες καὶ ἐθῶν πιστοὶ ταμίαι, ἅπερ
ἡ παιδεία, μήτηρ αὐτῶν, εἰσηγήσατο. ἐδιδάχθησαν δὲ ὑπὸ μὲν ὀρθοῦ 81
λόγου, πατρός, τὸν πατέρα τῶν ὅλων τιμᾶν, ὑπὸ δὲ παιδείας, τῆς μητρός,
τῶν θέσει καὶ νομιζομένων παρὰ πᾶσιν εἶναι δικαίων μὴ ὀλιγωρεῖν.
ἡνίκα γοῦν ὁ ἀσκητὴς Ἰακὼβ καὶ τοὺς ἀρετῆς ἄθλους διαθλῶν ἔμελλεν 82
ἀκοὰς ὀφθαλμῶν ἀντιδιδόναι καὶ λόγους ἔργων καὶ προκοπὰς τελειότητος,
τοῦ φιλοδώρου θεοῦ βουληθέντος αὐτοῦ τὴν διάνοιαν ἐνομματῶσαι, ἵνα
ταῦτ' ἐναργῶς ἴδῃ ἃ πρότερον ἀκοῇ παρελάμβανε — πιστοτέρα γὰρ ὄψις
ὠτων —, ἐπήχησαν οἱ χρησμοί· „οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακώβ,
ἀλλ' Ἰσραὴλ ἔσται σοὶ τὸ ὄνομα, ὅτι ἴσχυσας μετὰ θεοῦ καὶ μετὰ
ἀνθρώπων δυνατός“ (Gen. 32, 28). Ἰακὼβ μὲν οὖν μαθήσεως καὶ προ-
κοπῆς ὄνομα, ἀκοῆς ἐξηρτημένων δυνάμεων, Ἰσραὴλ δὲ τελειότητος· 83
ὅρασιν γὰρ θεοῦ μηνύει τοὔνομα. τελειότερον δὲ τί ἂν εἴη τῶν ἐν ἀρε-
ταῖς ἢ τὸ ὄντως ὂν ἰδεῖν; ὁ δὴ κατιδὼν τἀγαθὸν τοῦτο παρ' ἀμφοτέροις
ἀνωμολόγηται τοῖς γονεῦσιν εὐδόκιμος, ἰσχὺν μὲν τὴν ἐν θεῷ, δύναμιν
δὲ τὴν παρὰ ἀνθρώποις εὐράμενος. εὖ μοι δοκεῖ καὶ ἐν Παροιμίαις 84
εἰρῆσθαι „προνοούντων καλὰ ἐνώπιον κυρίου καὶ ἀνθρώπων“ (Prov. 3, 4),
ἐπειδὴ δι' ἀμφοτέρων παντελὴς ἡ κτῆσις τἀγαθοῦ περιγίνεται· διδαχθεὶς
γὰρ φυλάσσειν νόμους πατρὸς καὶ μὴ ἀπωθεῖσθαι θεσμοὺς μητρὸς θαρρή-
σεις ἐπισεμνυνόμενος εἰπεῖν· „υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος
καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός“ (Prov. 4, 3). (21.) ἀλλ' οὐκ
ἔμελλες, εἴποιμ' ἄν αὐτῷ, στέργεσθαι φυλάττων μὲν τὰ παρὰ γενητοῖς
καθεστῶτα νόμιμα διὰ πόθον κοινωνίας, φυλάττων δὲ καὶ τοὺς τοῦ ἀγε-
νήτου θεσμοὺς δι' εὐσεβείας ἔρωτα καὶ ζῆλον; τοιγάρτοι καὶ θεοπρόπος 85
Μωυσῆς διὰ τῆς τῶν κατὰ τὸν νεὼν δημιουργίας ἱερῶν τὴν ἐν ἀμφοτέ-

---

1 ἦσαν] ὑστέρησαν conicio τῶν ἑτέρων γονέων v 1. 2 τῶν ἀμφοτέρων γονέων et οὐχ ἡμιτελεῖς coni. Mang. τῆς ἀρετῆς scripsi: τὴν ἀρετὴν codd., τῇ ἀρετῇ v
2 οὗτοι τοίνυν scripsi: οὐ τοίνυν GUFL, οὗτοι νῦν H 3 λόγος om. FL ἐθῶν G
4 ἡ μήτηρ conicio 8 λόγον H 10 παρελάμβανεν H 11 ὠτων] αὐτῶν H
ἐπήχησαν FH: ἐπήχθησαν G, ὑπήχησαν U σου] αὐτοῦ L 13 δυνατῶς v 16 ὂν H: om. GUF 18. 19 ἀνθρώποις — ἐνώπιον om. F εὐράμενος — ἀνθρώπων om. L
19 προνοοῦ conicio 20 ἀμφοτέροις H ἡ] τ' ἡ H 21 ἀπωθεῖσθαι UH: ἀθετεῖσθαι GF 23 προσώποις H 24 παρὰ] περὶ FL, παρὰ τοῖς conicio γεννητοῖς H
25 νόμιμα] cf. ad p. 182, 12 τοῦ om. H 25. 26 ἀγεννήτου UH 26 θεοτρόπος F, ὁ θεοπρόπος conicio 27 τῶν om. H

---

7 sqq. cf. Clementem Strom. I § 31 p. 334 P

ροις τελειότητα διαδείξει· οὐ γὰρ ἀπερισκέπτως ἡμῖν τὴν κιβωτὸν ἔνδοθέν τε καὶ ἔξωθεν χρυσῷ περιαμπίσχει (Exod. 25, 10), οὐδὲ στολὰς τῷ ἀρχιερεῖ διττὰς ἀναδίδωσιν (Exod. 28, 4), οὐδὲ βωμοὺς δύο, τὸν μὲν ἔξω πρὸς τὰ ἱερεῖα, τὸν δὲ πρὸς τὸ ἐπιθυμιᾶν ἔνδον δημιουργεῖ (Exod. 27, 1. 30, 1), ἀλλὰ βουλόμενος διὰ συμβόλων τούτων τὰς καθ' 5
86 ἑκάτερον εἶδος ἀρετὰς παραστῆσαι. τὸν γὰρ σοφὸν κἂν τοῖς κατὰ ψυχὴν ἔνδον ἀοράτοις κἂν τοῖς ἔξω περιφαινομένοις δεῖ τῇ παντὸς τιμιωτέρᾳ χρυσοῦ φρονήσει κεκοσμῆσθαι, καὶ ὁπότε μὲν τῶν ἀνθρωπείων σπουδασμάτων ὑποκεχώρηκε τὸ ὂν θεραπεύων μόνον, τὴν ἀποίκιλον ἀληθείας ἐνδύεσθαι στολήν, ἧς | οὐδὲν ἐφάψεται θνητόν — καὶ γάρ ἐστι p. 370 M.
λινῆς ὕλης ἐξ οὐδενὸς τῶν πεφυκότων ἀποθνῄσκειν γεννωμένης —, 11
ὁπότε δὲ μέτεισι πρὸς πολιτείαν, τὴν μὲν ἔνδον ἀποτίθεσθαι, ποικιλωτάτην δὲ καὶ ὀφθῆναι θαυμασιωτάτην ἑτέραν ἀναλαμβάνειν· πολύτροπος γὰρ ὢν ὁ βίος ποικιλωτάτου δεῖται τὴν σοφίαν τοῦ πηδαλιουχήσοντος
87 κυβερνήτου. οὗτος κατὰ μὲν τὸν περιφανῆ βωμὸν ἢ βίον καὶ δορᾶς καὶ 15
σαρκῶν καὶ αἵματος καὶ πάντων ὅσα περὶ σῶμα δόξει πολλὴν ποιεῖσθαι πρόνοιαν, ὡς μὴ μυρίοις ἀπέχθοιτο κρίνουσιν ἀγαθὰ μετὰ τὰ ψυχῆς δευτερείοις τετιμημένα τὰ περὶ σῶμα, κατὰ δὲ τὸν ἔνδον πᾶσιν ἀναίμοις, ἀσάρκοις, ἀσωμάτοις, τοῖς ἐκ λογισμοῦ μόνοις χρήσεται, ἃ λιβανωτῷ καὶ τοῖς ἐπιθυμιωμένοις ἀπεικάζεται· ὡς γὰρ ταῦτα ῥῖνας, ἐκεῖνα τὸν ψυχῆς 20
88 ἅπαντα χῶρον εὐωδίας ἀναπίμπλησι. (22.) χρὴ μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι ἡ σοφία τέχνη τεχνῶν οὖσα δοκεῖ μὲν ταῖς διαφόροις ὕλαις ἐναλλάττεσθαι, τὸ δ' αὐτῆς ἀληθὲς εἶδος ἄτρεπτον ἐμφαίνει τοῖς ὀξυδορκοῦσι καὶ μὴ τῷ περιεχομένῳ τῆς οὐσίας ὄγκῳ μεθελκομένοις, ἀλλὰ
89 τὸν ἐνεσφραγισμένον ὑπὸ τῆς τέχνης αὐτῆς χαρακτῆρα διορῶσι. τὸν 25
ἀνδριαντοποιὸν Φειδίαν ἐκεῖνον καὶ χαλκὸν λαβόντα φασὶ καὶ ἐλέφαντα καὶ χρυσὸν καὶ ἄλλας διαφόρους ὕλας ἀνδριάντας ἀπεργάσασθαι καὶ ἐν

---

3 ἀναδίδωσι H, ἀναδίδοσθαι U 6 ἑκάτερα H κἀν UF: καὶ G, om. H 7. 8 τὴν παντὸς τιμιωτέραν F 8 κεκομῆσθαι F, κεκοσμεῖσθαι H ἀνθρωπίνων H 9 θεραπεύσων coni. Mang. 10 ἐνδύσασθαι U 10. 11 ἐστιν λιλῆς (sic) H 11 γεννωμένη coni. Mang. 12 μέγ' εἰσὶ G^1F ἔνδον] λινῆν coni. Mang. 12. 13 ποικιλοτάτην τε U 14 ποικιλω$^{\tau\tau}$' H, ποικιλωτάτην L, ποικιλωτάτης v δεῖνται H τῆς σοφίας v πηδαλιουχήσοντος GUF: πηδαλιουχήσαντος H, πηδάλιον σχήσοντος v 16 πάντων om. H 17 μετὰ ψυχὴν H 18 τὸν] τὴν H 19 χρῆσθαι FL λιβανωτὸν U 20 ἐπιθυμωμένοις U 21 μηδὲν H 22 διαφοραῖς H 23 αὐτῆς Turn.: αὐτῆς codd. 25 ἐσφραγισμένον GU αὐτῇ G διορῶσα U 26 Φειδίας H 27 ἀνδριάντα U, ἀδριάντας H

ἅπασι τούτοις μίαν καὶ τὴν αὐτὴν ἐνσημήνασθαι τέχνην, ὡς μὴ μόνον ἐπιστήμονας, ἀλλὰ καὶ λίαν ἰδιώτας τὸν δημιουργὸν ἀπὸ τῶν δημιουργηθέντων γνωρίσαι· καθάπερ γὰρ ἐπὶ τῶν διδύμων ἡ φύσις χρησαμένη 90
τῷ αὐτῷ πολλάκις χαρακτῆρι παρὰ μικρὸν ἀπαραλλάκτους ὁμοιότητας ἐτύπωσε, τὸν αὐτὸν τρόπον καὶ ἡ τελεία τέχνη, μίμημα καὶ ἀπεικόνισμα φύσεως οὖσα, ὅταν διαφόρους ὕλας παραλάβῃ, σχηματίζει καὶ ἐνσφραγίζεται τὴν αὐτὴν ἁπάσαις ἰδέαν, ὡς ταύτῃ μάλιστα συγγενῆ· καὶ ἀδελφὰ καὶ δίδυμα τὰ δημιουργηθέντα γενέσθαι. ταὐτὸν οὖν καὶ ἡ ἐν τῷ σοφῷ 91
δύναμις ἐπιδείξεται· πραγματευομένη γὰρ τὰ περὶ τοῦ ὄντος εὐσέβεια καὶ ὁσιότης ὀνομάζεται, τὰ δὲ περὶ οὐρανοῦ καὶ τῶν κατ' αὐτὸν φυσιολογία, μετεωρολογικὴ δὲ τὰ περὶ τὸν ἀέρα καὶ ὅσα κατὰ τὰς τροπὰς αὐτοῦ καὶ μεταβολὰς ἔν τε ταῖς ὁλοσχερέσιν ἐτησίοις ὥραις καὶ ταῖς ἐν μέρει κατά τε μηνῶν καὶ ἡμερῶν περιόδους πέφυκε συνίστασθαι, ἠθικὴ δὲ τὰ πρὸς ἀνθρωπίνων ἐπανόρθωσιν ἠθῶν, ἧς ἰδέαι πολιτική τε ἡ περὶ πόλιν
p. 371 M. καὶ ἡ περὶ οἰκίας ἐπιμέλειαν οἰκονομική, συμπotική | τε ἡ περὶ τὰ συμπόσια καὶ τὰς εὐωχίας, ἔτι δ' αὖ ἡ μὲν περὶ ἀνθρώπων ἐπιστασίαν βασιλική, ἡ δὲ περὶ προστάξεις καὶ ἀπαγορεύσεις νομοθετική· πάντα γὰρ ταῦτα 92
ὁ πολύφημος ὡς ἀληθῶς καὶ πολυώνυμος σοφὸς κεχώρηκεν, εὐσέβειαν, ὁσιότητα, φυσιολογίαν, μετεωρολογίαν, ἠθοποιίαν, πολιτείαν, οἰκονομίαν, βασιλικήν, νομοθετικήν, ἄλλας μυρίας δυνάμεις, καὶ ἐν ἁπάσαις ἓν εἶδος καὶ ταὐτὸν ἔχων ὀφθήσεται. (23.) διειλεγμένοι δὲ περὶ τῶν ἐν τοῖς 93
ἐκγόνοις τεττάρων τάξεων οὐκ ἂν οὐδὲ ἐκεῖνο παρίδοιμεν, ὃ γένοιτ' ἂν τῆς διαιρέσεως καὶ τομῆς τῶν κεφαλαίων ἐναργεστάτη πίστις· τοῦ γὰρ μετεωρισθέντος καὶ φυσηθέντος ὑπ' ἀνοίας παιδὸς οἱ γονεῖς τὸν τρόπον τοῦτον κατηγόρησαν εἰπόντες „ὁ υἱὸς ἡμῶν οὗτος“ (Deut. 21,20), δεικνύντες τὸν ἀπειθῆ καὶ ἀπαυχενίζοντα. διὰ γὰρ τῆς δείξεως τῆς „οὗτος“ ἐμφαίνουσιν 94
ὅτι καὶ ἑτέρους ἐγέννησαν, τοὺς μὲν τῷ ἑτέρῳ, τοὺς δ' ἀμφοτέροις καταπειθεῖς, λογισμοὺς εὐφυεῖς, ὧν παράδειγμα Ῥουβήν· φιληκόους καὶ φιλομαθεῖς ἑτέρους, ὧν ἐστι Συμεών, ἀκοὴ γὰρ οὗτος ἑρμηνεύεται· πρόσφυγας

---

3 τῶν om. U 6. 7 ἐνσφραγίζεται U: ἐσφραγίζεται G, ἐνσφραγίζει H, ἐμφράζεται FL 7 ἅπασαν H ταυτὶ U 10 κατ' αὐτὸν GF: περὶ αὐτὸν U, αὐτοῦ H 12 prius ταῖς] τοῖς U 14 ἐπανόρθωσις H ἰδέαι] εἴδη coni. Mang. περὶ Mang.: πρὸς codd. 15 περὶ Mang.: πρὸς codd. οἰκίας FG: οἰκίαν GU ἐπιμέλειαν H: ἐπιμέλεια GUF 16 αὖ] ἂν H 19 ἠθικήν coni. Mang. πολιτικὴν conicio post οἰκονομίαν fort. add. συμποτικήν 22 ἐγγόνοις G 24 καὶ φυσηθέντος om. U 25 ὁ υἱὸς] οὗτος FL δεικνύοντες L 26 ἀπαυχενιάζοντα U 27 alterum τοὺς] τοῖς H² ἀμφοτέρους GH¹ 28 Ῥουβήν Cohn: Ῥουβίμ UF, Ῥουβείμ GH

καὶ ἱκέτας θεοῦ, Λευιτῶν ὁ θίασος οὗτος· τὸν εὐχαριστητικὸν ὕμνον ᾄδοντας οὐ γεγωνῷ φωνῇ μᾶλλον ἢ διανοίᾳ, ὧν ἔξαρχος Ἰούδας· διὰ τὴν μετὰ πόνων ἀρετῆς κτῆσιν ἑκούσιον μισθῶν καὶ δωρεῶν ἀξιωθέντας, ὥσπερ Ἰσσάχαρ· μετανάστας ἀπὸ τῆς Χαλδαϊκῆς μετεωρολογικῆς θεωρίας γεγονότας εἰς τὴν περὶ τοῦ ἀγενήτου σκέψιν, ὡς Ἀβραάμ· αὐτήκοον καὶ αὐτομαθῆ κτησαμένους ἀρετήν, ὥσπερ Ἰσαάκ· λήματος καὶ ἰσχύος πλήρεις καὶ φίλους τῷ θεῷ, καθάπερ Μωυσῆν τὸν τελειότατον.
95 (24.) εἰκότως οὖν τὸν ἀπειθῆ καὶ ἐρεθιστὴν καὶ συμβολὰς εἰσφέροντα, τουτέστι συμβάλλοντα καὶ συνάπτοντα ἁμαρτήματα ἁμαρτήμασι, μεγάλα μικροῖς, νέα παλαιοῖς, ἑκούσια ἀκουσίοις, καὶ ὥσπερ ὑπ' οἴνου φλεγόμενον ἄληκτον καὶ ἀνεπίσχετον μέθην τοῦ βίου παντὸς καταμεθύοντα καὶ παροινοῦντα διὰ τὸ τοῦ τῆς ἀφροσύνης πόματος ἀκράτου καὶ πολλοῦ σπάσαι καταλεύειν ὁ ἱερὸς λόγος δικαιοῖ, ὅτι καὶ τὰς ὀρθοῦ λόγου προστάξεις τοῦ πατρὸς καὶ τὰς παιδείας τῆς μητρὸς νομίμους ὑφηγήσεις ἀνεῖλε καὶ παράδειγμα ἔχων τὸ καλοκἀγαθίας, τοὺς τοῖς γονεῦσιν εὐδοκίμους ἀδελφούς, τὴν τούτων ἀρετὴν οὐκ ἐμιμήσατο, τοὐναντίον δὲ καὶ προσεπιβαίνειν ἠξίωσεν, ὡς θεοπλαστεῖν μὲν τὸ σῶμα, θεοπλαστεῖν δὲ τὸν παρ' Αἰγυπτίοις μάλιστα τιμώμενον τῦφον, οὗ σύμβολον ἡ τοῦ χρυσοῦ ταύρου | κατασκευή, περὶ ὃν χοροὺς ἱστάντες οἱ φρενοβλαβεῖς ᾄδουσι καὶ p. 372 M.
ἐξάρχουσιν, οὐ παροίνιον καὶ κωμαστικὸν οἷα ἐν ἑορταῖς καὶ θαλίαις ἥδιστον μέλος, ἀλλὰ τὸν ὡς ἐπὶ τεθνεῶσιν ἀληθῆ θρῆνον αὐτοῖς, ὥσπερ
96 ἔξοινοι καὶ τῆς ψυχῆς τὸν τόνον ὑπεκλύσαντές τε καὶ φθείραντες· λέγεται γὰρ ὅτι „ἀκούσας Ἰησοῦς ⟨τῆς φωνῆς⟩ τοῦ λαοῦ κεκραγότων εἶπε πρὸς Μωυσῆν· φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. καὶ λέγει· οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω. καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς“ (Exod. 32, 17—19). ἃ δὲ διὰ τούτων αἰνίττεται,
97 παραστήσωμεν, ὡς ἂν οἷοί τε ὦμεν· (25.) τὰ περὶ ἡμᾶς τοτὲ μὲν

---

1 τὸν om. U εὐχαριστητικὸν G: εὐχαριστικὸν ceteri 3 ἑκουσίων coni. Mang. μισθὸν U, μεθ' ὧν H 3. 4 ἀξιωθέντας U: ἂν ἀξιωθέντας FH, ἀναξιωθέντας G 4 ἰσάχαρ 5 ἀγενήτου G: ἀγεννήτου UFH Ἀβραὰμ H 6 λήματος Mang.: λήμματος codd. 7 Μωυσῆς G 8 ἀναπειθῆ G ἐραστὴν H 9 ἁπτοντα F 10 ἑκουσίοις Turn. ὑπὸ G 11 τοῦ] διὰ τοῦ coni. Mang. 12 τὸ τοῦ τῆς UF: τοῦ τῆς G, τοῦτο H 13 σπᾶσθαι G καταχεύειν G 14 τὰς] τῆς H 15 τὸ] τῆς H 16 ἐμνήσατο H 16. 17 καὶ ⟨τοσοῦτον τῆς ἀσεβείας⟩ ἐπιβαίνειν conicio 18 τιμώμενον] τυφόμενον H 18 οὗ] οἷς FL 20 παροίμιον U θαλείαις U 21 αὐτοῖς scripsi: αὐτῶν codd., αὐτῶν v 22 ἐξοινεῖ U τῆς ψυχῆς τὸν τόνον FL: τὴν ψυχὴν τῶν τόνων GUH 23 τῆς φωνῆς addidi 26 ἤγγικεν ἐν τῇ παρεμβολῇ H, ἤγγιζεν ἡ παρεμβολὴ U 28 παραστήσομεν FH μὲν] μὲν γὰρ H

ἠρεμεῖ, τοτὲ δὲ ὁρμαῖς καὶ ἐκβοήσεσιν ἀκαίροις ὡσανεὶ χρῆται· καὶ ἔστιν ἡ μὲν ἡσυχία τούτων εἰρήνη βαθεῖα, τὰ δὲ ἐναντία πόλεμος ἄσπονδος. μάρτυς δ' ὁ πεπονθὼς ἀψευδέστατος· ἀκούσας γὰρ τῆς φωνῆς τοῦ λαοῦ 98 κεκραγότων λέγει πρὸς τὸν σκεπτικὸν καὶ ἐπίσκοπον τῶν πραγμάτων· „φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ." ἕως μὲν γὰρ οὐκ ἐκινοῦντο καὶ ἐκεκράγεσαν ἐν ἡμῖν αἱ ἄλογοι ὁρμαί, σταθερώτερον ὁ νοῦς ἵδρυτο· ἐπειδὴ δὲ ἤρξαντο πολύφωνον καὶ πολύηχον ἀπεργάζεσθαι τὸ ψυχῆς χωρίον τὰ πάθη συγκαλοῦσαι καὶ ἀνεγείρουσαι, στάσιν ἐμφύλιον ἐγέννησαν. ἐν δὲ τῷ στρατοπέδῳ ὁ πόλεμος, φυσικώτατα· ποῦ γὰρ ἀλλα- 99 χόθι ἔριδες, μάχαι, φιλονεικίαι, πάνθ' ὅσα ἔργα ἀκαθαιρέτου πολέμου, πλὴν ἐν τῷ μετὰ σώματος βίῳ, ὃν ἀλληγορῶν καλεῖ στρατόπεδον; τοῦτον εἴωθεν ἀπολιπεῖν ὁ νοῦς, ὅταν θεοφορηθεὶς πρὸς αὐτῷ τῷ ὄντι γένηται καταθεώμενος τὰς ἀσωμάτους ἰδέας· „λαβὼν" γάρ φησι 100 „Μωυσῆς τὴν ἑαυτοῦ σκηνὴν ἔπηξεν ἔξω τῆς παρεμβολῆς", καὶ οὐ πλησίον, ἀλλὰ πορρωτάτω καὶ „μακρὰν ἀπὸ τῆς παρεμβολῆς" (Exod. 33, 7). αἰνίττεται δὲ διὰ τούτων, ὅτι ὁ σοφὸς μέτοικος καὶ μετανάστης ἐστὶν ἀπὸ πολέμου πρὸς εἰρήνην καὶ ἀπὸ τοῦ θνητοῦ καὶ πεφυρμένου στρατοπέδου πρὸς τὸν ἀπόλεμον καὶ εἰρηναῖον λογικῶν καὶ εὐδαιμόνων ψυχῶν βίον θεῖον. (26.) λέγει δὲ καὶ ἑτέρωθι ὅτι „ἐπειδὰν ἐξέλθω 101 τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς τὸν κύριον, καὶ αἱ φωναὶ παύσονται" (Exod. 9, 29). μὴ νομίσῃς δὲ τὸν διαλεγόμενον ἄνθρωπον εἶναι, τὸ ψυχῆς καὶ σώματος ὕφασμα ἢ πλέγμα ἢ κρᾶμα ἢ ὅ τι ποτὲ χρὴ καλεῖν τουτὶ τὸ σύνθετον ζῷον, ἀλλὰ νοῦν εἰλικρινέστατον καὶ καθαρώτατον, ὃς ἐν μὲν τῇ πόλει τοῦ σώματος καὶ τοῦ θνητοῦ βίου περιεχόμενος ἔσταλται καὶ συνείληπται καὶ ὥσπερ ἐν δεσμωτηρίῳ καθειργμένος μηδὲ ἐλευθέρου δύνασθαι σπᾶν ἀέρος ἄντικρυς ὁμολογεῖ, ἐπειδὰν δὲ ἐξέλθῃ τὴν πόλιν ταύτην, καθάπερ πόδας καὶ χεῖρας οἱ δεσμῶται τὰς

---

1. 2 ἐστιν ἡ μὲν GU: ἐστι μὲν FL, ἐστιν H 3 καὶ ante μάρτυς add. H 3 ψευδέστατος H 4 καὶ om. U 6 σταθερώτερος H ἵδρυτο om. L 10 ἔργα] ἔρως H 14 Μωυσῆς, φησί v 15 πορρωτάτω] πέραν H 16 ὁ D: om. codd. Max. 17 τοῦ om. H 19 βίον θεῖον] θίασον coni. Mang. 22 κράμμα H tertium ἢ om. F 23 τὸ om. U 23. 24 νοῦν—ὃς om. H 25 συνείληται G 26 μηδὲν U 27 χεῖρας καὶ πόδας H

16—19 DR fol. 77r τοῦ αὐτοῦ (Max. Ecl. cap. 21): ὁ σοφὸς μέτοικος καὶ μετανάστης ἐστὶν ἐκ τοῦ πεφυρμένου (περιφυρμένου DR) βίου πρὸς τὴν εἰρηναίοις καὶ μακαρίοις πρέπουσαν ζωήν (πρέπουσαν καὶ μακαρίαν ζωήν Max.). 21—23 N fol. 187r: μὴ νομίσῃς—ζῷον.

ἐννοίας | αὐτὸς καὶ διανοήσεις λυθεὶς ἀφέτοις καὶ ἀπελευθεριαζούσαις p. 373 M.
χρήσεται ταῖς ἐνεργείαις, ὡς τὰς ἐπικελεύσεις τῶν παθῶν εὐθὺς ἐπισχε-
102 θῆναι. ἢ οὐχ ἡδονῆς μὲν ἀνατεταμέναι αἱ ἐκβοήσεις, δι' ὧν τὰ ἑαυτῇ
φίλα εἴωθε προστάττειν, ἐπιθυμίας δὲ ἄρρηκτος ἡ φωνὴ χαλεπὰς ἀπει-
λὰς κατὰ τῶν μὴ ὑπηρετούντων ἀπειλούσης, καὶ τῶν ἄλλων ἑκάστου
103 πολύηχος καὶ μεγαλόφωνός τις ἡ γῆρυς; ἀλλὰ γὰρ οὐδ' εἰ μυρίοις
στόμασι καὶ γλώτταις ἕκαστον τῶν παθῶν τῷ κατὰ τοὺς ποιητὰς λεγο-
μένῳ χρήσαιτο ὁμάδῳ, τὰς τοῦ τελείου δύναιτ' ἂν ἀκοὰς συγχέαι μετε-
ληλυθότος ἤδη καὶ τὴν αὐτὴν ἐκείνοις πόλιν μηκέτ' οἰκεῖν ἐγνωκότος.
104 (27.) φαμένου δὴ τοῦ πεπονθότος, ὅτι ἐν τῷ σωματικῷ στρατοπέδῳ
τὰς τοῦ πολέμου φωνὰς εἶναι πάσας συμβέβηκε τῆς εἰρήνῃ φίλης ἡσυ-
χίας μακρὰν ἀπεληλαμένης, ὁ ἱερὸς συναινεῖ λόγος· οὐ γὰρ λέγει μὴ
εἶναι πολέμου φωνήν, ἀλλὰ μὴ τοιαύτην, ὁποίαν ἔνιοι νομίζουσιν ἢ
νενικηκότων ἢ κεκρατημένων, ἀλλ' ἥτις ἂν γένοιτο βεβαρημένων καὶ
105 πεπιεσμένων οἴνῳ· τὸ γὰρ „οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν“
ἴσον ἐστὶ τῷ περιγεγενημένων τῷ πολέμῳ· ἰσχὺς γὰρ τοῦ κρατεῖν αἴτιον.
οὕτως τὸν σοφὸν Ἀβραὰμ μετὰ τὴν τῶν ἐννέα καθαίρεσιν βασιλέων,
παθῶν μὲν τεττάρων, πέντε δὲ αἰσθητικῶν δυνάμεων, αἳ παρὰ φύσιν
ἐκινοῦντο, εἰσάγει τὸν εὐχαριστητικὸν ὕμνον ἐξάρχοντα καὶ φάσκοντα ταυτί·
„ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρα-
νὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψο-
106 μαι ἀπὸ πάντων τῶν σῶν“ (Gen. 14, 22. 23). δείκνυσι δ', ὡς γ' ἐμοὶ
δοκεῖ, τὸ γεγονὸς πᾶν, οὐρανόν, γῆν, ὕδωρ, πνεῦμα, ζῷα ὁμοῦ καὶ φυτά·
ἑκάστῳ γὰρ αὐτῶν ὁ τὰς τῆς ψυχῆς ἐνεργείας πρὸς θεὸν τείνας καὶ
παρ' αὐτοῦ μόνου τὰς ὠφελείας ἐπελπίζων δεόντως ἂν εἴποι· ⟨παρ'⟩
οὐδενὸς λήψομαι τῶν σῶν, οὐ παρ' ἡλίου τὸ μεθημερινόν, οὐ παρὰ
σελήνης καὶ τῶν ἄλλων ἀστέρων τὸ νυκτὶ φέγγος, οὐ παρὰ ἀέρος καὶ

---

3 ἀνατεταγμέναι FL ἑαυτοῦ H 4 ἄρρητος FH ἡ om. H 5 παθῶν post ἄλλων add. Mang. 6 ἡ om. U 7 τῷ] τῶν H 7. 8 τὸ κατὰ τοὺς ποιητὰς λεγόμενον, χρήσαιτο ὁμοῦ conicio 8 χρήσεται G, χρήσαι H 8. 9 ἐξεληλυθότος coni. Mang. 9 τὴν ἀπ' ἐκείνης H 11 φίλως U 12 μακρὰν om. G 14 εἴ τις G 15 τὸ] τῷ G οὐκέτι G 17 οὕτος coni. Mang. Ἀβραὰμ FH 18 παρὰ] περὶ H 19 εὐχαριστητικὸν G¹: εὐχαριστικὸν ceteri 20 primum τὸν om. H 21 σφαιρὸς G 22 τῶν om. GU γ' ἐμοὶ Turn.: γέ μοι GUF, ἔμοιγε H 25 παρ' add. Cohn 26 post μεθημερινόν desinit fragmentum libro De migratione insertum in H, cf. ad p. 179, 11. quae sequuntur desunt in H usque ad § 136 εἰσιόντι (habet L)

---

7 cf. Hom. B 489

νεφελῶν ὑετούς, οὐ παρὰ ὕδατος καὶ γῆς ποτὰ καὶ σιτία, οὐ παρὰ ὀφθαλμῶν τὸ ὁρᾶν, οὐ τὸ ἀκούειν παρὰ ὤτων, οὐ παρὰ μυκτήρων ὀσμάς, οὐ παρ' ἐνστομίου χυλοῦ τὸ γεύεσθαι, οὐ παρὰ γλώττης τὸ λέγειν, οὐ παρὰ χειρῶν τὸ διδόναι καὶ λαμβάνειν, οὐ τὸ προσέρχεσθαι καὶ ἐξαναχωρεῖν παρὰ ποδῶν, οὐκ ἀναπνοὴν παρὰ πνεύμονος, οὐ πέψιν παρ' ἥπατος, οὐ παρὰ τῶν ἄλλων σπλάγχνων τὰς καθ' ἕκαστον οἰκείους ἐνεργείας, οὐ παρὰ δένδρων καὶ σπαρτῶν τοὺς ἐτησίους καρπούς, ἀλλὰ πάντα παρὰ τοῦ μόνου σοφοῦ τὰς αὐτοῦ χαριστηρίους δυνάμεις πάντῃ τείναντος καὶ διὰ τούτων ὠφελοῦντος. (28.) ὁ μὲν οὖν τοῦ ὄντος 107
p. 374 M. | ὁρατικὸς τὸν αἴτιον ἐπιστάμενος τὰ ὧν ἐστιν αἴτιος δεύτερα μετ' ἐκεῖνον τετίμηκεν ὁμολογῶν ἀκολακεύτως τὰ προσόντα αὐτοῖς. ἡ δὲ ὁμολογία δικαιοτάτη· παρ' ὑμῶν μὲν οὐδέν, παρὰ δὲ τοῦ θεοῦ λήψομαι, οὗ κτήματα τὰ πάντα, δι' ὑμῶν δὲ ἴσως· ὄργανα γὰρ ὑπηρετήσοντα ταῖς ἀθανάτοις αὐτοῦ χάρισι γεγένησθε. ὁ δὲ ἀπερίσκεπτος διάνοιαν 108
τυφλωθείς, ᾗ τὸ ὂν μόνῃ καταληπτόν ἐστιν, αὐτὸ μὲν οὐδαμῇ οὐδαμῶς εἶδε, τὰ δὲ ἐν κόσμῳ σώματα αἰσθήσεσι ταῖς ἑαυτοῦ, ἃ δὴ πάντων ἐνόμισε γινομένων αἴτια. παρὸ καὶ θεοπλαστεῖν ἀρξάμενος ἀγαλμάτων 109
καὶ ξοάνων καὶ ἄλλων μυρίων ἀφιδρυμάτων ὕλαις διαφόροις τετεχνιτευμένων κατέπλησε τὴν οἰκουμένην, γραφεῦσι καὶ πλάσταις, οὓς ὑπερορίους ὁ νομοθέτης τῆς κατ' αὐτὸν πολιτείας ἤλασεν, ἆθλά τε μεγάλα καὶ τιμὰς ὑπερβαλλούσας ἰδίᾳ τε καὶ κοινῇ ψηφισάμενος, ⟨καὶ⟩ κατειργάσατο τοὐναντίον οὗ προσεδόκησεν, ἀντὶ ὁσιότητος ἀσέβειαν· τὸ γὰρ πολύθεον ἐν ταῖς 110
τῶν ἀφρόνων ψυχαῖς ἀθεότητα ⟨κατασκευάζει⟩, καὶ θεοῦ τιμῆς ἀλογοῦσιν οἱ τὰ θνητὰ θειώσαντες· οἷς οὐκ ἐξήρκεσεν ἡλίου καὶ σελήνης, εἰ δὲ ἐβούλοντο, καὶ γῆς ἁπάσης καὶ παντὸς ὕδατος εἰκόνας διαπλάσασθαι, ἀλλ' ἤδη καὶ ἀλόγοις ζῴοις καὶ φυτοῖς τῆς τῶν ἀφθάρτων τιμῆς μετέδοσαν. ὁ δὴ τούτοις ἐπιτιμῶν τὸν ἐπινίκιον ὕμνον ἐξάρχων ἐδείχθη. (29.) καὶ 111
Μωυσῆς μέντοι κατὰ ταῦτα, ἐπειδὰν ἴδῃ τὸν βασιλέα τῆς Αἰγύπτου, τὸν ὑπέραυχον νοῦν, σὺν τοῖς ἑξακοσίοις ἅρμασι (Exod. 14, 7), ταῖς τοῦ ὀργανικοῦ σώματος ἓξ κινήσεσιν ἡρμοσμέναις τοῖς ἐπιβεβηκόσι τριστάταις (Exod. 15, 4), οἳ μηδενὸς τῶν κατὰ γένεσιν πεφυκότος

---

1 prius παρὰ] περὶ F 2 παρὰ ὤτων τὸ ἀκούειν U 3 χυλοῦ G 6 οἰκείας U 8 τὰ πάντα F αὐτοῦ Turn.: αὐτοῦ codd. 12 τοῦ θεοῦ δὲ G 13 τὰ πάντα κτήματα v 14 γεγεννῆσθαι U 15 αὐτῇ v 16 εἶδε GF: οἶδεν UL 17 ⟨τῶν⟩ γινομένων conicio 20 τῆς om. G¹U κατὰ τὸν U 21 καὶ addidi 22 οὗ] δὲ οὗ F 23 ἀθεότης Turn. κατασκευάζει addidi ἀλγοῦσιν U 25 ἠβούλοντο FL 26 μετέδωσαν G 27 δὴ] δὲ v 28 ταὐτὸ conicio

ἑστάναι περὶ πάντων οἴονται δεῖν ὡς ἂν παγίως ἱδρυμένων καὶ μηδεμίαν δεχομένων μεταβολὴν ἀποφαίνεσθαι, δίκην ἀξίαν τῆς ἀσεβείας ὑποσχόντα καὶ τὸν ἀσκητικὸν ἔμπαλιν τὰς ἐπιδρομὰς τῶν πολεμίων ἐκφυγόντα καὶ ἀνὰ κράτος ἀπροσδοκήτως διασωθέντα, τὸν δίκαιον καὶ ἀληθῆ βραβευτὴν ὑμνεῖ θεὸν τὰ πρεπωδέστατα καὶ οἰκειότατα ταῖς συντυχίαις ἐξάρχων ᾄσματα, διότι „ἵππον καὶ ἀναβάτην ῥίψας εἰς θάλασσαν“ (Exod. 15, 1), τὸν ἐποχούμενον νοῦν ταῖς τοῦ τετράποδος καὶ ἀφηνιαστοῦ πάθους ἀλόγοις ὁρμαῖς ἀφανίσας, βοηθὸς καὶ ὑπερασπιστὴς ἐγένετο τῆς ὁρατικῆς ψυχῆς, ὡς χαρίσασθαι παντελῆ σωτηρίαν
112 αὐτῇ. ὁ δὲ αὐτὸς καὶ ἐπὶ τοῦ φρέατος ἐξάρχει, οὐκέτι μόνον ἐπὶ καθαιρέσει τῶν παθῶν, ἀλλὰ καὶ ἐπὶ τῷ τὸ κάλλιστον κτημάτων, σοφίαν, ἀνανταγώνιστον ἰσχῦσαι λαβεῖν, ἣν ἀπεικάζει φρέατι· βαθεῖα γὰρ καὶ οὐκ ἐπιπόλαιος, γλυκὺ ἀναδιδοῦσα νᾶμα καλοκἀγαθίας | διψώσαις ψυχαῖς, p. 375 M.
113 ἀναγκαιότατον ὁμοῦ καὶ ἥδιστον ποτόν· ἰδιώτῃ δὲ οὐδενὶ παιδείας ἐφεῖται τοῦτο τὸ φρέαρ ὀρύττειν, μόνοις δὲ βασιλεῦσιν, ἧ φησιν· „ἐλατόμησαν αὐτὸ βασιλεῖς“ (Num. 21, 16—18)· μεγάλων γὰρ ἡγεμόνων ἀναζητῆσαι καὶ κατεργάσασθαι σοφίαν, οὐχὶ τῶν ὅπλοις γῆν καὶ θάλατταν ὑπηγμένων, ἀλλὰ τῶν ψυχῆς δυνάμεσι τὸν πολύτροπον αὐτῆς
114 καὶ μιγάδα καὶ πεφορημένον ὄχλον κατηγωνισμένων. (30.) τούτων φοιτητὰς καὶ γνωρίμους εἶναι συμβέβηκε τοὺς λέγοντας· „οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν μεθ' ἡμῶν, οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς· προσαγηόχαμεν τὸ δῶρον κυρίῳ
115 ἀνήρ, ὃ εὗρεν“ (Num. 31, 49. 50)· ἐοίκασι γὰρ καὶ οὗτοι πάλιν ἐπινίκιον ᾆσμα ἐξάρχειν τελείων καὶ ἡγεμονικῶν δυνάμεων ἐφιέμενοι — τὸν γὰρ συντιθέντα τὸ κεφάλαιον καὶ πλεῖστον ἀριθμὸν τῶν κατ' ἀνδρείαν λόγων φασὶ λαβεῖν —, οὓς ἐκ φύσεως εἶναι πολεμικοὺς συμβέβηκε δυσὶν ἀντιτεταγμένους τέλεσιν, ἑνὶ μὲν οὗ ἡ δυσθεράπευτος ἀφηγεῖται δειλία, ἑτέρῳ δὲ οὗ ἡ ἀρειμάνιος θρασύτης· ἀμφότεραι δὲ γνώ-
116 μης ἀγαθῆς ἀμέτοχοι. παγκάλως δ' εἴρηται τὸ μηδένα διαπεφωνηκέναι πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν ἀνδρείας· καθάπερ ⟨γὰρ⟩ λύρα

---

1 τὴν post ἑστάναι add. v 2 ἀξίας G 3 ἀσκητικὸν] ὁρατικὸν Mang.
4 ἀνακράτος GF 12 ἀνταγώνιστον G ἣν] ἧ F^1, ἡ F^2 13 ἐπιπόλεως G
14 οὐδὲν FL 19 κατηγωνισαμένων L 22 προσαγηόχαμεν τὸ GU: προσαγήοχα τὸ F, προσαγηόχατο L, προσαγήοχε τὸ v 25 συντιθέντα Turn.: συντεθέντα codd.
τὸ FL: om. GU 27 δυσθεράπευτος Mang.: δυσθήρατος codd. 28 δουλεία U
ἑτέρῳ scripsi: ἑτέρου codd. 30 ἀνδρίας G γὰρ addidi

---

30 sqq. *Origenes Homilia XXVI 2 in Numeros p. 370 (ad eundem locum):* discenda

καὶ πᾶν μουσικῆς ὄργανον ἐκμελὲς μέν, κἂν εἷς αὐτὸ μόνον ἀπῳδὸς ᾖ φθόγγος, ἡρμοσμένον δ', ὅταν μιᾷ πλήξει συνηχῶσι τὴν αὐτὴν συμφωνίαν ἀποτελοῦντες, τὸν αὐτὸν τρόπον καὶ τὸ ψυχῆς ὄργανον ἀσύμφωνον μέν, ὅταν ᾖ θράσει σφόδρα ἐπιτεινόμενον πρὸς τὸ ὀξύτατον βιάζηται ἢ δειλίᾳ πλέον τοῦ μετρίου ἀνιέμενον πρὸς τὸ βαρύτατον χαλᾶται, σύμφωνον δ', ὅταν οἱ τῆς ἀνδρείας καὶ πάσης ἀρετῆς τόνοι πάντες ἀνακραθέντες ἓν εὐάρμοστον ἀπογεννήσωσι μέλος. τῆς δὲ συμ- 117
φωνίας καὶ εὐαρμοστίας μέγα τεκμήριον τὸ προσαγωγοχέναι τὸ δῶρον τῷ θεῷ, τοῦτο δ' ἐστὶ τιμῆσαι πρεπόντως τὸ ὂν διὰ τοῦ σαφέστατα ὡμολογηκέναι, ὅτι δῶρόν ἐστιν αὐτοῦ τόδε τὸ πᾶν· λέγει γὰρ φυσικώ- 118
τατα· „ἀνὴρ δ εὗρε, τοῦτο προσήνεγκε δῶρον". ἕκαστος δ' ἡμῶν γενόμενος εὐθὺς εὑρίσκει τὸ μέγα δῶρον θεοῦ τὸν παντελῆ κόσμον, αὐτὸν ἑαυτῷ καὶ τοῖς ἀρίστοις μέρεσιν [ὄρεσιν] ἐχαρίσατο. (31.) εἰσὶ δὲ καὶ 119
p. 376 M. ἐν μέρει δωρεαί, ἃς θεῷ τε | δοῦναι καὶ λαβεῖν ἀνθρώποις ἐμπρεπές. αὗται δ' ἂν εἶεν ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι, ὧν τὴν εὕρεσιν σχεδὸν ἄχρονον οὖσαν διὰ τὸ ὑπερβάλλον τοῦ χαριζομένου τάχος ἐν οἷς εἴωθε δωρεῖσθαι πᾶς καταπέπληκται, καὶ ὅτῳ μηδὲν μέγα τῶν ἄλλων ὑπείληπται. διὸ καὶ πυνθάνεται· „τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ 120
τέκνον;" τεθαυμακὼς τῆς σπουδαίας διαθέσεως τὴν ὀξύτητα· ὁ δὲ εὖ παθὼν εὐθυβόλως ἀποκρίνεται· „ὃ παρέδωκε κύριος ὁ θεός" (Gen. 27,20)· παραδόσεις γὰρ καὶ ὑφηγήσεις βραδεῖαι μὲν αἱ δι' ἀνθρώπων, ὀξύταται δ' αἱ διὰ θεοῦ, φθάνουσαι καὶ τὴν ὀξυτάτην χρόνου κίνησιν. οἱ μὲν οὖν κατ' ἰσχὺν καὶ δύναμιν ἔξαρχοι καὶ ἡγεμόνες τοῦ τὸν ἐπι- 121
νίκιον καὶ εὐχαριστικὸν ὕμνον ᾄδοντος χοροῦ οἱ λεχθέντες εἰσίν, οἱ δὲ κατὰ τροπὴν καὶ ἀσθένειαν τοῦ τὸν ἐφ' ἥτταις θρῆνον σφαδάζοντος

---

1 μέν om. v αὐτῶ FL 6 ἀνδρίας G 9 τιμῆς U 10. 11 φυσικώτατος F 11 δ] ὃς F 12 αὐτὸν] ὃν conicio vel κεχαρισμένον 13 ἑαυτῶ G²FL: ἑαυτῶν U, ἑαυτὸν G¹ μέρεσιν codd.: μέλεσιν v ὄρεσιν FL, ὅρασιν U (G¹?), ὃν ἡμῖν G², secl. Mang. 14 εὐπρεπές U 15 δὲ U αὐτὰς] αὐταῖς G 17 ὅσω G 19. 20 εὐπαθῶν U 20 ὃ scripsi: ἃ codd. 22 δὲ G αἱ om. G ὀξυτάτου FL 24 εὐχαριστητικὸν coni. Cohn 25 τοῦ τὸν Turn.: τοῦτον codd. ἐφ' ἥτταις θρῆνον Turn.: ἐφητεσθρῆνον U, ἐφηττεσθρῆνον F; ἐφ', spat., θρῆνον G σφαδάζοντος] ᾄδοντος conicio

---

igitur nobis magnopere est consonantiae disciplina, quia, tamquam in musicis, si harmonia chordarum fuerit consonanter aptata, sonum suavem modulati carminis reddit, si vero sit aliqua in fidibus dissonantia, ingratissimus sonus redditur et carminis dulcedo corrumpitur, ita et . . . . .

ἕτεροι, οὓς οὐ κακίζειν μᾶλλον ἢ οἰκτίζεσθαι χρὴ καθάπερ τοὺς τὰ σώματα ἐκ φύσεως ἐπικήρως ἔχοντας, οἷς καὶ ἡ τυχοῦσα νόσου πρό-
122 φασις μέγα ἐμπόδιον πρὸς τὸ σῴζεσθαι. ἔνιοι δ' οὐ τῷ μαλθακωτέροις τοῖς ψυχῆς κεχρῆσθαι τόνοις ἀνέπεσον ἄκοντες ὑπ' ἐρρωμενεστέρας τῶν ἀντιπάλων ἰσχύος πιεσθέντες, ἀλλὰ μιμησάμενοι τοὺς ἐθελοδούλους ἑκόντες ἑαυτοὺς πικροῖς δεσπόταις ὑπέρριψαν γένος ὄντες ἐλεύθεροι· διὸ μὴ δυνάμενοι πεπρᾶσθαι, τὸ παραλογώτατον, αὐτοὶ δεσπότας ὠνούμενοι προσεκτῶντο, ταὐτὸ δρῶντες τοῖς ἐμφορουμένοις ἁπλήστως πρὸς
123 μέθην οἴνου· καὶ γὰρ ἐκεῖνοι γνώμῃ τὸν ἄκρατον, οὐ βιασθέντες προσφέρονται, ὥστε καὶ γνώμῃ τὸ μὲν νηφάλιον ἐκτέμνουσι τῆς ψυχῆς, τὸ δὲ παράληρον αἱροῦνται· „φωνὴν" γάρ φησιν „ἐξαρχόντων [ὑπ'] οἴνου ἐγὼ ἀκούω", τουτέστιν οὐκ ἀκούσιον ἐνδεδεγμένων μανίαν, ἀλλ' ἑκουσίῳ
124 φρενοβλαβείᾳ βεβακχευμένων. (32.) πᾶς δ' ὁ συνεγγίζων τῇ παρεμβολῇ· „τὸν μόσχον ὁρᾷ καὶ τοὺς χορούς" (Exod.32,19), ᾗ καὶ αὐτὸς διασυνίστησι· τύφῳ γὰρ καὶ τοῖς τύφου χορευταῖς ἐντυγχάνομεν, ὅσοι πλησίον ἵστασθαι τοῦ σωματικοῦ στρατοπέδου διανοούμεθα γνώμῃ· ἐπεὶ τοῖς τε φιλοθεάμοσι καὶ τὰ ἀσώματα ὁρᾶν γλιχομένοις, ἅτε ἀτυφίας οὔσιν ἀσκηταῖς,
125 πορρωτάτω τοῦ σώματος ἔθος διοικίζεσθαι. εὔχου δὴ τῷ θεῷ μηδέποτε ἔξαρχος οἴνου γενέσθαι, τουτέστι μηδέποτε ἑκὼν ἀφηγήσασθαι τῆς εἰς ἀπαιδευσίαν καὶ ἀφροσύνην ἀγούσης ὁδοῦ· τὰ γὰρ ἀκούσια ἡμίσεα κακῶν καὶ κουφότερα, καθαρῷ τῷ τοῦ συνειδότος ἐλέγχῳ μὴ βαρυνόμενα.
126 τελεσφορηθεισῶν δέ σοι τῶν εὐχῶν ἰδιώτης μὲν ἔτι μένειν οὐκ ἂν δύναιο, τὴν δὲ μεγίστην ἡγεμονιῶν ἀρχήν, ἱερωσύνην, κτήσῃ. σχεδὸν γὰρ ἱερέων καὶ θεραπευτῶν θεοῦ μόνων τὸ ἔργον | νηφάλια θύειν, οἴνου p. 377 M.
καὶ παντὸς δ τοῦ λῃρεῖν αἴτιον βεβαιότητι διανοίας κατεξανισταμένων·
127 „ἐλάλησε" γάρ φησι „κύριος τῷ Ἀαρὼν λέγων· οἶνον καὶ σίκερα οὐ πίεσθε σὺ καὶ οἱ υἱοί σου μετὰ σέ, ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν

---

1 ἕτεροι, οὓς GL: ἑτεροίους οὓς UF, ἑταῖροι οὓς Richter 3 οὐ τῷ Turn.: οὕτω codd. 5 πιασθέντες G 5 μιμησάμενοι scripsi: οἱ μιμησάμενοι GUF, μιμούμενοι v ἐθοδούλους GU 10 τὸ] τὸν U 11 ὑπ᾽ seclusi 12 ἐνδεδεγμένων scripsi: ἐνδεδειγμένων UFL, ἐκδεδειγμένων G 13 βεβακχευμένων GU: βεβακμένων F, βεβλαμμένων v 14 ᾗ καὶ F: ἡ καὶ G, ἧκα U αὐτοὺς G 16 τε om. FL, γε conicio 20. 21 ἡμίσεα κακῶν καὶ D: ἡμίση κακῶν F, ἡμίσει κακῶν GU, κακῶν ἡμίσει v 23 ἀρχήν fort. del. 24 μόνων GH: μόνον FL 25 δ om. v αἰτίου v 26 οὐ om. U 27 σέ] σοῦ Turn.

20—21 DK fol. 162r ἐκ τοῦ περὶ μέθης β': τὰ ἀκούσια—συνειδότος δικαστηρίῳ μὴ καταβαρούμενα.

σκηνὴν τοῦ μαρτυρίου ἢ προσπορεύησθε τῷ θυσιαστηρίῳ, καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν διαστεῖλαι ἀνὰ μέσον ἁγίων καὶ βεβήλων καὶ ἀνὰ μέσον καθαρῶν καὶ ἀκαθάρτων“ (Lev. 10, 8—10). Ἀαρὼν δέ ἐστιν ὁ ἱερεύς, καὶ τοὔνομα ὀρεινὸς ἑρμηνεύε- 128
ται, μετέωρα καὶ ὑψηλὰ φρονῶν λογισμός, οὐ διὰ μεγαλαυχίας κενοῦ φυσήματος ὑπόπλεων ὄγκον, ἀλλὰ διὰ μέγεθος ἀρετῆς, ἣ τὸ φρόνημα ἐξαίρουσα πέραν οὐρανοῦ ταπεινὸν οὐδὲν ἐᾷ λογίζεσθαι. διακείμενος δ' οὕτως ἄκρατον καὶ πᾶν ἀφροσύνης φάρμακον ἐκὼν οὔποτε προσήσεται. ἀνάγκη γάρ ἐστιν ἢ ἀρρηφοροῦντα αὐτὸν εἰς τὴν σκηνὴν 129
εἰσιέναι τὰς ἀοράτους ἐπιτελέσοντα τελετὰς ἢ τῷ βωμῷ προσιόντα θυσίας ὑπέρ τε τῶν ἰδίων καὶ κοινῶν χαριστηρίους ἀναγαγεῖν· νήψεως δὲ καὶ περιττῆς ἀγχινοίας ταῦτα δεῖται. (33.) θαυμάσαι μὲν οὖν εἰκότως 130
ἄν τις καὶ τὸ ῥητὸν τῆς προστάξεως. πῶς γὰρ οὐ σεμνὸν νήφοντας καὶ ἐν ἑαυτοῖς ὄντας πρὸς εὐχὰς καὶ ἱερουργίας χωρεῖν, ὡς ἔμπαλιν
ἀμφότερα, σῶμα καὶ ψυχήν, παρειμένους ὑπὸ οἴνου καταγέλαστον; ἢ 131
δεσπόταις μὲν καὶ γονεῦσι καὶ ἄρχουσιν οἰκέται καὶ υἱοὶ καὶ ὑπήκοοι μέλλοντες προσέρχεσθαι πρόνοιαν ἕξουσι τοῦ νήφειν, ὡς μήτε ἐν τοῖς λεγομένοις καὶ πραττομένοις διαμάρτοιεν μήθ' ὡς καταπεφρονηκότες τῆς ἐκείνων ἀξιώσεως κολασθεῖεν ἤ, τὸ γοῦν ἐπιεικέστατον, χλεύην ὄφλοιεν·
τὸν δὲ τοῦ παντὸς ἡγεμόνα καὶ πατέρα τις θεραπεύειν δικαιῶν οὐ καὶ σιτίων καὶ ποτῶν καὶ ὕπνου καὶ πάντων ὅσα ἀναγκαῖα τῇ φύσει περιέσται, ἀλλὰ πρὸς τὸ ἀβροδίαιτον ἀποκλίνας τὸν τῶν ἀσώτων ζηλώσει βίον, καὶ βεβαρημένος τοὺς ὀφθαλμοὺς ἀπ' οἴνου καὶ τὴν κεφαλὴν παραβάλλων καὶ τὸν αὐχένα ἐγκάρσιον πλαγιάζων καὶ ὑπ' ἀμετρίας
ἐρευγόμενος καὶ ὅλῳ διαρρέων τῷ σώματι χέρνιβος ἢ βωμῶν ἢ θυσιῶν προσάψεται; ἀλλ' οὐδὲ τὴν ἱερὰν ἐξ ἀπόπτου φλόγα θεάσασθαι τῷ τοιούτῳ θέμις. εἰ μέντοι μήτε σκηνὴν μήτε θυσιαστήριον ὑπολάβοι 132
τις λέγεσθαι τὰ ὁρώμενα ἐκ τῆς ἀψύχου καὶ φθαρτῆς δημιουργηθέντα

---

1 προπορεύησθε FL 3 ἁγίων — μέσον om. U 5 καὶ post μεγαλαυχίας add. Mang. 6 κενοῦ GFL: καὶ νοῦ U ὄγκου G^2 ἢ U 9 προσήσεται F: προσίσεται G, προσίεται U, προσοίσεται v ἀρρηφροῦντα FL αὐτὸν Mang.: αὐτοῖς codd. 10 ἀοράτους] ἀρρήτους coni. Mang. 12 μὲν] γ' G^2 in ras. 14 ἐν] ras. in G ἑαυτοῖς FLN: ἑαυτῶν G, αὐτῷ U 15 ἢ FLN: εἰ μὴ GU 19 ἐκείνοις κολάσεως κολασθεῖεν U 21. 22 περίεστιν N 22 τὸ om. N 23 βαρημένος G ἀπ'] ὑπ' conicio 24 περιβάλλων N πλησιάζων v ὑπὸ U 25 διαρέων U 26 οὐδὲν G^1

13—27 N fol. 187r: πῶς γὰρ — θέμις

ὕλης, ἀλλὰ τὰ ἀόρατα καὶ [τὰ] νοητὰ | θεωρήματα, ὧν αἰσθηταὶ ταῦτα p. 378 M.
133 εἰκόνες, καταπλαγήσεται μᾶλλον τὴν ὑφήγησιν. ἐπειδὴ γὰρ παντὸς τὸ μὲν παράδειγμα, τὸ δὲ μίμημα ὁ ποιῶν ἐποίει, καὶ ἀρετῆς τὴν μὲν ἀρχέτυπον σφραγῖδα εἰργάζετο, τὸν δὲ ἀπὸ ταύτης ἐνεσημαίνετο ἐμφερέστατον χαρακτῆρα· ἡ μὲν οὖν ἀρχέτυπος σφραγὶς ἀσώματός ἐστιν ἰδέα, ἡ δὲ χαραχθεῖσα εἰκὼν σῶμα ἤδη, φύσει μὲν αἰσθητόν, οὐ μὴν εἰς αἴσθησιν ἐρχόμενον· καθάπερ καὶ τὸ ἐν τῷ βαθυτάτῳ τοῦ Ἀτλαντικοῦ πελάγους ξύλον εἴποι τις ἂν πεφυκέναι μὲν πρὸς τὸ καίεσθαι, μηδέποτε δ' ὑπὸ πυρὸς ἀναλωθήσεσθαι διὰ τὴν τῆς θαλάττης ἀνά-
134 χυσιν. (34.) τὴν οὖν σκηνὴν καὶ τὸν βωμὸν ἐννοήσωμεν ἰδέας, τὴν μὲν ἀρετῆς ἀσωμάτου, τὸν δὲ αἰσθητῆς εἰκόνος εἶναι σύμβολον. τὸν μέν γε βωμὸν καὶ τὰ ἐπ' αὐτοῦ ῥᾴδιον ἰδεῖν — ἔξω τε γὰρ ἔχει τὴν κατασκευὴν καὶ ἀσβέστῳ πυρὶ . . . ἀναλίσκεται, ὡς μὴ μεθ' ἡμέραν μόνον,
135 ἀλλὰ καὶ νύκτωρ περιλάμπεσθαι —, ἡ δὲ σκηνὴ καὶ τὰ ἐν αὐτῇ πάντα ἀθέατα, οὐχὶ τῷ μόνον ἐσωτάτω καὶ ἐν ἀδύτοις ἱδρῦσθαι, ἀλλὰ καὶ τῷ τὸν προσαψάμενον ἢ διὰ περιεργίαν ὀφθαλμῶν ἰδόντα ἀπαραιτήτῳ δίκῃ θανάτου κατὰ πρόσταξιν νόμου κολάζεσθαι, πλὴν εἰ μή τις ὁλόκληρος καὶ παντελὴς εἴη, περὶ μηδέν, μὴ μέγα, μὴ μικρόν, ἁπλῶς κηραίνων πάθος, ἀλλ' ἀρτίῳ καὶ πλήρει καὶ πάντα τελειοτάτῃ κεχρη-
136 μένος τῇ φύσει. τούτῳ γὰρ ἐπιτέτραπται δι' ἔτους ἅπαξ εἰσιόντι ἐπισκοπεῖν τὰ ἀθέατα ἄλλοις, ἐπειδὴ καὶ ἐξ ἁπάντων μόνῳ ὁ τῶν ἀσωμάτων καὶ ἀφθάρτων ἀγαθῶν πτηνὸς καὶ οὐράνιος ἔρως ἐνδιαιτᾶται.
137 ὅταν οὖν ὑπὸ τῆς ἰδέας πληχθεὶς ἕπηται τῇ τὰς κατὰ μέρος ἀρετὰς τυπούσῃ σφραγῖδι κατανοῶν καὶ καταπληττόμενος αὐτῆς τὸ θεοειδέστατον κάλλος ἤ τινι προσέρχηται δεξαμένῃ τὸν ἐκείνης χαρακτῆρα, λήθη μὲν ἀμαθίας καὶ ἀπαιδευσίας, μνήμη δὲ παιδείας καὶ ἐπιστήμης εὐθὺς ἐγγί-
138 νεται. διὸ λέγει· „οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σέ, ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἢ προσπορεύησθε τῷ θυσιαστηρίῳ". ταῦτα δ' οὐκ ἀπαγορεύων μᾶλλον ἢ γνώμην ἀποφαινόμενος διεξέρχεται· τῷ μέν γε ἀπαγορεύοντι οἰκεῖον

---

1 ἀόρατα F^2: ὁρατὰ GUF^1L τὰ del. F^2 3 ὁποῖον U 9 μηδέποθ' ὑπὸ G θαλάσσης G 10 ἰδέας, ⟨καὶ⟩ Coni. Cohn 11 τὸν] τὴν L εἶναι σύμβολον fort. del. 12 γε] γὰρ conicio αὐτῶ GF 13 φωτίζεται, ᾧ τὰ ἱερουργούμενα supplet Cohn 15 ἐνιδρύσθαι U 20 post ἅπαξ inc. H fol. 369ᵛ, cf. ad. p. 190,26 εἰσιόντι F^2H: εἰσιόντας GUF^1L 21 μόνω G^1UF: μόνων H, μόνος G^2 21 ὁ om. H 25 ἤ scripsi: ἢ codd. προσέρχεται v ἐκείνω H λήθης H 27 οὐ] οὐ μὴ U σὺ G: om. UFH 28 εἰσπορεύῃ F 28. 29 εἰς — προσπορεύησθε om. U, bis hab. H 28 ἢ] ἤ G 30 ἀπογορεύων (sic) U 30 μὲν γὰρ conicio, μέντοι v

ἦν εἰπεῖν· οἶνον, ὅταν ἱερουργῆτε, μὴ πίνετε, τῷ δὲ γνώμην ἀποφαινομένῳ τὸ „οὐ πίεσθε“. καὶ γάρ ἐστιν ἀμήχανον τὸ μέθης καὶ παροινίας ψυχῆς αἴτιον, ἀπαιδευσίαν, προσίεσθαι τὸν ταῖς γενικαῖς καὶ κατ᾽ εἶδος ἀρεταῖς ἐμμελετῶντα καὶ ἐγχορεύοντα. τὴν δὲ „σκηνὴν μαρτυρίου“ 139
καλεῖ πολλάκις, ἤτοι παρόσον ὁ ἀψευδὴς θεὸς ἀρετῆς ἐστι μάρτυς, ᾧ καλὸν καὶ σύμφορον προσέχειν, ἢ παρόσον ἡ ἀρετὴ βεβαιότητα ταῖς ψυχαῖς ἐντίθησι τοὺς ἐνδοιάζοντας καὶ ἐπαμφοτερίζοντας λογισμοὺς ἀνὰ
p. 379 M. κράτος ἐκτέμνουσα καὶ ὥσπερ ἐν δικαστηρίῳ | τῷ βίῳ τἀληθὲς ἀνακαλύπτουσα. (35.) λέγει δὲ ὅτι οὐδ᾽ ἀποθανεῖται ὁ νηφάλια θύων, ὡς 140
ἀπαιδευσίας μὲν θάνατον ἐπιφερούσης, παιδείας δὲ ἀφθαρσίαν· καθάπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν νόσος μὲν διαλύσεως, ὑγεία δὲ σωτηρίας αἰτία, τὸν αὐτὸν τρόπον καὶ ἐν ταῖς ψυχαῖς τὸ μὲν σῷζόν ἐστι φρόνησις — ὑγεία γάρ τις αὕτη διανοίας —, τὸ δὲ φθεῖρον ἀφροσύνη νόσον ἀνίατον κατασκήπτουσα. τοῦτο δὲ „νόμιμον αἰώνιον εἶναί“ φησιν, ἄντι- 141
κρυς ἀποφαινόμενος· ὑπολαμβάνει γὰρ νόμον ἀθάνατον ἐν τῇ τοῦ παντὸς ἐστηλιτεῦσθαι φύσει ταυτὶ περιέχοντα, ὅτι ὑγιεινὸν μὲν καὶ σωτήριον χρῆμα παιδεία, νόσου δὲ καὶ φθορᾶς αἴτιον ἀπαιδευσία. παρεμφαίνει 142
δέ τι καὶ τοιοῦτον· τὸ πρὸς ἀλήθειαν νόμιμον εὐθύς ἐστιν αἰώνιον, ἐπεὶ καὶ ὁ ὀρθὸς λόγος, ὃς δὴ νόμος ἐστίν, οὐ φθαρτός· καὶ γὰρ αὖ τοὐναντίον ⟨τὸ⟩ παράνομον ἐφήμερόν τε καὶ εὐδιάλυτον ἐξ ἑαυτοῦ παρὰ τοῖς εὐ φρονοῦσιν ἀνωμολόγηται. νόμου δὲ καὶ παιδείας ἴδιον βέβηλα 143
ἁγίων καὶ ἀκάθαρτα καθαρῶν διαστέλλειν, ὡς ἔμπαλιν ἀνομίας καὶ ἀπαιδευσίας εἰς ταὐτὸν ἄγειν τὰ μαχόμενα βιάζεσθαι φυρούσης τὰ πάντα καὶ συγχεούσης. (36.) διὰ τοῦτο ὁ καὶ βασιλέων καὶ προφητῶν
μέγιστος Σαμουὴλ „οἶνον καὶ μέθυσμα“, ὡς ὁ ἱερὸς λόγος φησίν, „ἄχρι τελευτῆς οὐ πίεται“ (I Reg. 1,11)· τέτακται γὰρ ἐν τῇ τοῦ θείου

---

1 εἰπεῖν ἦν U πίνητε F 3 γενικαῖς] τε δίκαις HL 5 παρ᾽ ὅσον codd. 6 βεβαιοτάτη H 7 καὶ ἐπαμφοτερίζοντας om. U 9 νηφάλιος HL 12 σῶζον ἐπιφρόνησις F 13 τις αὕτη HL¹: τις αὐτὴ U, τῆς αὐτῆς G²FL², τῆς αὐτῆς G¹ 13. 14 τὸ — φησιν om. H 16 φύσει] φασὶ HL¹, φησὶ L² 17 σχῆμα H, ὄχημα L¹ 18. 19 νόμιμον — αὖ om. H 20 τὸ addidi ἀδιάλυτον H 23 μαχούμενα H βιάζεσθαι vid. del. φυρούσης Mang.: φυρούσας GFH, φρουρούσας U 24 συγχεούσης Mang.: συγχεούσας codd.

---

17 DM fol. 77v DP fol. 76r ἐκ τοῦ περὶ μέθης, DV p. 363: νόσου καὶ φθορᾶς αἴτιον ἀπαιδευσία.

στρατοπέδου τάξει, ἣν οὐδέποτε λείψει προμηθείᾳ τοῦ σοφοῦ ταξιάρχου.
144 Σαμουὴλ δὲ γέγονε μὲν ἴσως ἄνθρωπος, παρείληπται δ' οὐχ ὡς σύν-
θετον ζῷον, ἀλλ' ὡς νοῦς λατρείᾳ καὶ θεραπείᾳ θεοῦ μόνῃ χαίρων·
ἑρμηνεύεται γὰρ τεταγμένος θεῷ διὰ τὸ τὰς πράξεις ὅσαι κατὰ κενὰς
145 δόξας συνίστανται χαλεπὴν ἀταξίαν εἶναι νομίζειν. οὗτος μητρὸς γέγονεν
Ἄννης, ἧς τοὔνομα μεταληφθέν ἐστι χάρις· ἄνευ γὰρ θείας χά-
ριτος ἀμήχανον ἢ λιποτακτῆσαι τὰ θνητὰ ἢ τοῖς ἀφθάρτοις ἀεὶ παρα-
146 μεῖναι· χάριτος δ' ἥτις ἂν πληρωθῇ ψυχή, γέγηθεν εὐθὺς καὶ μειδιᾷ
καὶ ἀνορχεῖται· βεβάκχευται γάρ, ὡς πολλοῖς τῶν ἀνοργιάστων μεθύειν
καὶ παροινεῖν καὶ ἐξεστάναι ἂν δόξαι. διὸ καὶ λέγεται πρὸς αὐτὴν ὑπὸ
παιδαρίου τινός, οὐχ ἑνός, ἀλλ' ὑπὸ παντὸς τοῦ νεωτερίζειν καὶ τὰ καλὰ
χλευάζειν ἀκμὴν ἔχοντος· „ἕως πότε μεθυσθήσῃ; περιελοῦ | τὸν οἶνόν p. 380 M.
147 σου“ (I Reg. 1, 14)· φιλεῖ γὰρ τοῖς θεοφορήτοις οὐχ ἡ ψυχὴ μόνον
ἐγείρεσθαι καὶ ὥσπερ ἐξοιστρᾶν, ἀλλὰ καὶ τὸ σῶμα ἐνερευθὲς εἶναι καὶ
πεπυρωμένον τῆς ἔνδον ἀναχεούσης καὶ χλιαινούσης χαρᾶς τὸ πάθος
εἰς τὸ ἔξω διαδιδούσης· ὑφ' οὗ πολλοὶ τῶν ἀφρόνων ἀπατηθέντες τοὺς
148 νήφοντας μεθύειν ὑπετόπασαν. καίτοι γε ἐκεῖνοι μὲν τρόπον τινὰ μεθύ-
ουσιν οἱ νήφοντες τὰ ἀγαθὰ ἀθρόα ἠκρατισμένοι καὶ τὰς προπόσεις
παρὰ τελείας ἀρετῆς δεξάμενοι, οἱ δὲ τὴν ἀπὸ οἴνου μεθύοντες μέθην
ἄγευστοι φρονήσεως διετέλεσαν νηστείαν συνεχῆ καὶ λιμὸν αὐτῆς ἄγοντες.
149 εἰκότως οὖν ἀποκρίνεται πρὸς τὸν νεωτεροποιὸν καὶ γέλωτα τιθέμενον
τὸν σεμνὸν καὶ αὐστηρὸν αὐτῆς βίον· ὦ θαυμάσιε, „γυνὴ ἡ σκληρὰ
ἡμέρα ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ τὴν
ψυχήν μου ἐνώπιον κυρίου“ (I Reg. 1, 15)· παμπόλλη γε παρρησία τῆς
150 ψυχῆς, ἣ τῶν χαρίτων τοῦ θεοῦ πεπλήρωται. πρῶτον μέν γε „σκληρὰν
ἡμέραν“ εἶπεν ἑαυτὴν πρὸς τὸ χλευάζον ἀπιδοῦσα παιδάριον — τούτῳ

---

1 λήψει FL προμηθεία H: προμηθία G, προμήθεια U, προμηθείου F ταξιάρχου om. H 2 δὲ H 3 ἰατρεία H 5 εἶναι om. H νομίζει F γέγονεν GÜF: γενόμενος HL 6 ἄννας H, ἀνθρωπίνης v. 7 prius ἢ om. F λιποτακτῆσαι G: λειποτακτῆσαι UFH 9 ἀνοργιάστων G²H: ἀνεργάστων G¹UF 10 παροινεῖν scripsi: παρακινεῖν codd., παρανοεῖν coni. Mang. 14 ἐξοιστρεῖν HL 15 ἀναχαιούσης coni. Mang. 16 τὰ ἔξω v οὗ] ὧν L 17 ὑπετόπησαν GL 19 δεξάμενος H 21 νεωτερισμὸν HL τιθέμενον scripsi: οἰόμενον G, τίθεσθαι οἰόμενον UFH 23 πέποκα F 24 περιουσία HL 25 γε] γὰρ conicio 26 ἀπιδοῦσαν G, ἀποδιδοῦσα U

---

18. 19 N fol. 187r τὰ ἀγαθὰ – δεξάμενοι.

γὰρ καὶ παντὶ ἄφρονι τραχεῖα καὶ δύσβατος καὶ ἀργαλεωτάτη νενόμισται ἡ ἐπ' ἀρετὴν ἄγουσα ὁδός, καθὰ καὶ τῶν παλαιῶν τις ἐμαρτύρησεν εἰπών·

τὴν μέντοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεὸς προπάροιθεν ἔθηκεν
ἀθάνατος, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
ῥηιδίη δὴ 'πειτα πέλει χαλεπή περ ἐοῦσα —,

(37.) εἶτα οἶνον καὶ μέθυσμα οὐ φησι προσενέγκασθαι τῷ συνεχῶς 151 καὶ παρὰ πάντα τὸν βίον νήφειν ἐπαυχοῦσα· καὶ γὰρ ὄντως ἀφέτῳ καὶ ἐλευθεριάζοντι καὶ καθαρῷ χρῆσθαι λογισμῷ πρὸς μηδενὸς πάθους παροινουμένῳ μέγα καὶ θαυμαστὸν ἦν ἔργον. ἐκ τούτου δὲ συμβαίνει 152 νήψεως ἀκράτου τὸν νοῦν ἐμφορηθέντα σπονδὴν ὅλον δι' ὅλων γίνεσθαί τε καὶ σπένδεσθαι θεῷ· τί γὰρ ἦν τὸ „ἐκχεῶ τὴν ψυχήν μου ἐναντίον κυρίου“ ἢ σύμπασαν αὐτὴν ἀνιερώσω, δεσμὰ μὲν οἷς πρότερον ἐσφίγγετο, ἃ περιῆψαν αἱ τοῦ θνητοῦ βίου κεναὶ σπουδαί, πάντα λύσας, προαγαγὼν δὲ ἔξω καὶ τείνας καὶ ἀναχέας τοσοῦτον, ὡς καὶ τῶν τοῦ παντὸς ἅψασθαι περάτων καὶ πρὸς τὴν τοῦ ἀγενήτου παγκάλην καὶ ἀοίδιμον θέαν ἐπειp. 381 M. χθῆναι; νηφόντων μὲν οὖν ὁ | χορὸς οὗτος παιδείαν προστησαμένων 153 ἡγεμονίδα, μεθυόντων δ' ὁ πρότερος, οὗπερ ἦν ἔξαρχος ἀπαιδευσία.

(38.) Ἐπεὶ δὲ τὸ μεθύειν οὐ μόνον ἐδήλου τὸ ληρεῖν, ὃ δημιουργὸν ἀπαιδευσίαν εἶχεν, ἀλλὰ καὶ τὸ παντελῶς ἀναισθητεῖν, ἀναισθησίας δὲ τῆς μὲν κατὰ τὸ σῶμα δημιουργὸς οἶνος, τῆς δὲ κατὰ ψυχὴν ἄγνοια τούτων ὧν εἰκὸς ἦν ἐπιστήμην ἀνειληφέναι, λεκτέον καὶ περὶ ἀγνοίας βραχέα αὐτὰ τὰ καίρια ὑπομιμνῄσκοντας. τίνι οὖν ἀπεικάσωμεν τῶν ἐν 155 τῷ σώματι τὸ ἐν ψυχῇ πάθος ὃ κέκληται ἄγνοια ἢ τῇ τῶν αἰσθητηρίων πηρώσει; οὐκοῦν ὅσοι ὀφθαλμοὺς καὶ ὦτα ἐβλάβησαν, οὐδὲν ἔτι ⟨οὔτ'⟩ ἰδεῖν οὔτ' ἀκοῦσαι δύνανται, ἡμέραν μὲν καὶ φῶς, ὧν ἕνεκα

---

1 τραχὺς H 2 πάλαι H 3 post εἰπών rep. ex lin. 198,26. 199,3 verba ἑαυτὴν πρὸς τὸ χλευάζειν (sic!) ἀπιδοῦσα παῖδας (sic) τούτω — νενόμισται εἰπών (om. ἡ—ἐμαρτύρησεν) H 4 ἰλαδὸν UF 5 θεοὶ H 6 ἀθάνατοι H ἐς codd.: ἐπ' v 7 τὸ] μὲν τὸ G^2 ἵκηται G^2, ἥκειας F (η et ει corr.) 8 δ' ἤπειτα GU, δ' ἔπειτα H 12 συμβαίνειν F 13 σπουδὴν HL 14 σπεύδεσθαι L ἔναντι H 16 προσαγαγὼν GF 17 τῶν] τὸν F 18 ἀγεννήτου H 20 ἀπαιδευσίας H 23 τὸ om. U ὁ οἶνος H 25 ἀπεικάσωμεν G: ἀπεικάσομεν UFH τῶν] τῷ H 26 ψυχαῖς H 27 βεβλάβησαν G 28 οὔτ' add. Cohn

---

4—8 Hesiodi Opera et dies v. 287. 289—292.

μόνων, εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὸ ζῆν αἱρετόν, οὐκ εἰδότες, μακρῷ δὲ
σκότῳ καὶ νυκτὶ αἰωνίῳ συνοικοῦντες, πρὸς πάντα καὶ μικρὰ καὶ μείζω
156 κεκωφημένοι, οὓς εἰκότως ὁ βίος ἀδυνάτους εἴωθε καλεῖν· κἂν γὰρ αἱ
τοῦ ἄλλου σώματος ἅπασαι δυνάμεις ἐπ' αὐτὸ δὴ τὸ πέρας ἰσχύος
ἔλθωσι καὶ ῥώμης, ὑποσκελισθεῖσαι πρὸς ὀφθαλμῶν καὶ ὤτων πηρώσεως
μέγα πτῶμα πίπτουσιν, ὡς μηκέτ' ἀναστῆναι δύνασθαι· τὰ γὰρ ὑπερεί-
δοντα καὶ στηρίζοντα ἄνθρωπον λόγῳ μὲν αἱ βάσεις εἰσίν, ἔργῳ δὲ ἀκοαί
τε καὶ ὄψεις, ἃς ἔχων μέν τις ὁλοκλήρους ἐγήγερται καὶ ἀνωρθίασται,
157 στερόμενος δὲ αὐτῶν κλίνεται καὶ εἰσάπαν καθαιρεῖται. τὸ παραπλήσιον
οὖν ἐν ψυχῇ πάντως ἄγνοια ἐργάζεται τὰ βλέποντα καὶ ἀκούοντα αὐτῆς
λυμαινομένη καὶ μήτε φῶς μήτε λόγον παρεισελθεῖν ἐῶσα, τὸν μέν,
ἵνα μὴ διδάξῃ, τὸ δέ, ἵνα μὴ δείξῃ τὰ ὄντα, βαθὺ δὲ σκότος καὶ πολλὴν
ἀλογίαν καταχέασα κωφὴν λίθον τὸ περικαλλέστατον εἶδος ψυχῆς εἰργά-
158 σατο. (39.) καὶ γὰρ τῇ ἀγνοίᾳ τὸ ἐναντίον, ἡ ἐπιστήμη, τρόπον τινὰ
ψυχῆς καὶ ὀφθαλμοί καὶ ὦτά ἐστι· καὶ γὰρ τοῖς λεγομένοις προσέχει
τὸν νοῦν καὶ καταθεᾶται τὰ ὄντα καὶ οὐδὲν οὔτε παρορᾷ οὔτε παρα-
κούειν ὑπομένει, πάντα δ' ὅσα ἀκοῆς καὶ θέας ἄξια περισκοπεῖ καὶ
περιβλέπεται, κἂν εἰ πεζεύειν καὶ πλεῖν δεῖ, γῆς καὶ θαλάττης ἄχρι
159 τῶν περάτων ἀφικνεῖται, ἵνα ἴδῃ τι πλέον ἢ ἀκούσῃ καινότερον. ἀοκ-
νότατον γὰρ ὁ ἐπιστήμης ἔρως, ἐχθρὸς μὲν ὕπνου, φίλος δὲ ἐγρηγόρ-
σεως· διανιστὰς οὖν καὶ ἀνεγείρων καὶ παραθήγων ἀεὶ διάνοιαν παντα-
χόσε περιφοιτᾶν ἀναγκάζει λίχνον ἀκοῆς ἐργαζόμενος καὶ μαθήσεως
160 δίψαν ἄληκτον ἐντήκων. οὐκοῦν ἐπιστήμη μὲν τὸ βλέπειν καὶ ἀκούειν
περιποιεῖ, δι' ὧν αἱ κατορθώσεις· ὁ γὰρ ἰδὼν καὶ ἀκούσας, γνοὺς | τὸ p. 382 M.
συμφέρον, τὸ μὲν ἑλόμενος, τὸ δὲ ἐναντίον ἀποστραφεὶς ὠφέληται.

---

1 μόνον G 2 μικρῷ GU 3 κεκωφωμένοι F 6 μηκέτι H 8 ἃς] αἱ H
ὁλοκλήρου H 9 εἰς ἅπαν UFH' 10 πάντως Turn.: πάνθ' ὅσα codd.
ἄγνοια U: ἄγνοιαν GFH 12 prius μὴ om. G prius δέ om. H δὲ καὶ σκό-
τος H 13 ἀλογίαν] αἰγίαν H καταχέουσα F κωφὸν U (?) v εἶδος ψυχῆς H,
εἶδος ψυχῆς v 15 τῶν λεγομένων H προσέχει H: προσέχειν GUF
16 καταθεᾶσθαι G² 19 ἀφικνῆται G πλέον Cohn: πλεῖον codd.
19. 20 ἀοκνότατον U: ἀοκνότ$^{\tau}$ H, ἀοκνότατος GF 21 διαναστὰς G
αἰεὶ F 22 ἀκοὴν HL 23 ἐπιστήμην GF 24 post ἀκούσας add. καὶ πει-
ραθεὶς D καὶ γνοὺς G², καὶ νοῦς G¹ 25 ὀφελεῖται D

24—201,5 D^{K} fol. 227r Φίλωνος ἐκ τοῦ περὶ μέθης: ὁ ἰδὼν — ἐπιβουλεύεται.

ἄγνοια δὲ χαλεπωτέραν τῆς ἐν τῷ σώματι πήρωσιν ἐπιφέρουσα τῇ ψυχῇ πάντων ἁμαρτημάτων αἰτία γίνεται, μηδὲν μήτ' ἐκ τοῦ προϊδέσθαι μήτ' ἐκ τοῦ προακοῦσαι δυναμένη λαβεῖν ἔξωθεν βοήθημα· διὰ γοῦν τὴν πολλὴν ἐρημίαν ἑαυτῆς ἀφρούρητος καὶ ἀφύλακτος ἑαθεῖσα [καὶ] πρὸς τῶν ἐπιτυχόντων ἀνθρώπων τε ὁμοῦ καὶ πραγμάτων ἐπιβουλεύεται. μηδέποτ' οὖν μήτ' ἄκρατον προσενεγκώμεθα τοσοῦτον, ὡς ἀπραξίαν 161 ἐμποιῆσαι ταῖς αἰσθήσεσι, μήτε τοσοῦτον ἐπιστήμης ἀλλοτριωθῶμεν, ὡς ἄγνοιαν, τὸ μέγα καὶ βαθὺ σκότος, τῆς ἑαυτῶν ψυχῆς κατασκεδάσαι. (40.) διττὸν δὲ τὸ ἀγνοίας γένος, τὸ μὲν ἁπλοῦν, ἡ παντελὴς ἀναισθησία, 162 τὸ δὲ διπλοῦν, ὅταν μὴ μόνον ἀνεπιστημοσύνῃ τις συνέχηται, ἀλλὰ καὶ οἴηται εἰδέναι ἃ μηδαμῶς οἶδε δόξῃ ψευδεῖ σοφίας ἐπαιρόμενος. τὸ μὲν 163 οὖν πρότερον κακὸν ἔλαττον — κουφοτέρων γὰρ ἁμαρτημάτων καὶ τάχα ἀκουσίων αἴτιον —, τὸ δὲ δεύτερον μεῖζον· μεγάλα γὰρ ἀποτίκτει καὶ οὐκ ἀκούσια μόνον ἀλλ' ἤδη κἀκ προνοίας ἀδικήματα. περὶ ταῦτά μοι 164 δοκεῖ Λὼτ ὁ θυγατροποιὸς μάλιστα κηραίνειν ἄρρεν καὶ τέλειον ἐν ψυχῇ φυτὸν ἀναθρέψαι μὴ δυνάμενος· δύο γὰρ θυγατέρας ἐκ τῆς λιθουμένης γυναικὸς ἔσχηκεν, ἣν εὐθυβόλῳ χρησάμενος ὀνόματι καλέσειεν ἄν τις συνήθειαν, ἐχθρὰν φύσιν ἀληθείας, καὶ ὁπότε ἄγοι τις αὐτήν, ὑστερίζουσαν καὶ περιβλεπομένην τὰ ἀρχαῖα καὶ σύντροφα καὶ ἀψύχου τρόπον στήλης ἐν μέσοις αὐτοῖς καταμένουσαν. τῶν δὲ θυγατέρων ἡ μὲν πρεσ- 165 βυτέρα κεκλήσεται βουλή, συναίνεσις δὲ ἡ νεωτέρα· τῷ μὲν γὰρ βουλεύσασθαι τὸ συναινεῖν ἕπεται, συναινέσας δ' οὐδὲ εἷς ἔτι βουλεύεται. καθίσας οὖν ὁ νοῦς ἐν τῷ ἑαυτοῦ συνεδρίῳ διακινεῖν ἄρχεται τὰς θυγατέρας καὶ μετὰ μὲν τῆς πρεσβυτέρας, βουλῆς, σκοπεῖσθαί τε καὶ διερευνᾶν ἕκαστα, μετὰ δὲ τῆς νεωτέρας, συναινέσεως, ἐπινεύειν ῥᾳδίως τοῖς ἐπιτυχοῦσι καὶ ὡς φίλα τὰ ἐχθρὰ ἀσπάζεσθαι, δέλεαρ εἴ τι μικρὸν ἡδονῆς

---

1 post δὲ add. καὶ ἀπειρία D ἐπιφέρουσαν UHD τῇ om. D 2 προειδέσθαι U 3 παρακοῦσαι G δυνατὴ HL¹ 4 αὐτῆς D καὶ seclusi 5 τῶν] τὴν τῶν Turn. 6 μήτε UF ἀταξίαν G, ἀπαξίαν F 8 κατασκεδάσαι] κατασκε, tum spat. H 9. 10 ἡ — διπλοῦν om. F 10 ἀνεπιστημοσύνης U, ἐπιστημοσύνη G 11 οἴεται F οἶδε] εἶδεν D 12 καὶ] κἂν G 13 γὰρ om. HL ἀποτίκτον Turn. 13. 14 καὶ οὐκ H: καὶ ἀκούσια οὐκ GF, καὶ ἑκούσια οὐκ U 18 τις ὡς αὐτήν GF 21 κέκληται conicio συναίνεσις Turn.: σύνεσις codd. 22 τὸ] τῷ H δὲ H εἰσέτι U βουλεύσεται F 23 ὁ νοῦς om. F αὐτοῦ ν διακινεῖν H: διακονεῖν GUF 25 συνέσεως G¹ ἐπινεύσειν G ῥᾴδιον HL 26 τι] ἢ H

---

10. 11 DK fol. 220ν ἐκ τῆς πρὸς Γάϊον πρεσβείας: χαλεπὸν ὅταν — ἐπαιρόμενος.

166 αὐτὸ μόνον ἀφ' ἑαυτῶν ἐνδιδῴη. ταῦτα δὲ νήφων μὲν λογισμὸς οὐκ ἀνέχεται, μέθῃ δὲ κατεσχημένος καὶ ὥσπερ ἔξοινος ὤν· (41.) διὸ λέγεται· „ἐπότισαν τὸν πατέρα οἶνον“ (Gen. 19,33). ἀναισθησία παντελής, ἱκανὸν δοκεῖν εἶναι βουλεύεσθαι τὸν νοῦν ἀφ' ἑαυτοῦ τὰ συμφέροντα ἢ τοῖς ὀπωσοῦν φανεῖσιν, ὡς τὸ ἀληθὲς πάγιον ἐν ἑαυτοῖς ἔχουσι, συναινέσαι, τῆς ἀνθρωπίνης φύσεως μηδαμῇ μηδαμῶς ἱκανῆς οὔσης ἢ ἐκ περισκέψεως τὸ σαφὲς εὑρεῖν ἢ τὰ μὲν ὡς ἀληθῆ καὶ συμφέροντα
167 ἑλέσθαι, τὰ δ' ὡς ψευδῆ καὶ βλάβης αἴτια | ἀποστραφῆναι. πολὺ γὰρ p. 383 M. σκότος τῶν ὄντων καὶ σωμάτων καὶ πραγμάτων κατακεχυμένον οὐκ ἐᾷ τὴν ἑκάστου φύσιν ἰδεῖν, ἀλλὰ κἂν βιασάμενός τις ὑπὸ περιεργίας ἢ τοῦ φιλομαθοῦς ἐθελήσῃ διακῦψαι, καθάπερ οἱ πεπηρωμένοι προσπταίων τοῖς ἐν ποσί, πρίν τι λαβεῖν, ἀναπεσὼν ὑστερίζει ἢ ταῖς χερσὶν ἐφαπ-
168 τόμενος τὰ ἄδηλα εἰκάζει στοχασμὸν πρὸ ἀληθείας κτώμενος. οὐδὲ γὰρ εἰ δᾳδουχοῦσα παιδεία παραπέμποι τὸν νοῦν φῶς ἀψαμένη τὸ οἰκεῖον ἐπὶ τὴν τῶν ὄντων θέαν, ὀνῆσαι δύναιτ' ἂν μᾶλλον ἢ βλάψαι· τὸ γὰρ βραχὺ φέγγος ὑπὸ πολλοῦ σκότους σβέννυσθαι πέφυκε, σβεσθέντος
169 δὲ ἀνωφελὴς πᾶσα ὄψις. τὸν μέντοι σεμνυνόμενον ἢ ἐπὶ τῷ βουλεύεσθαι ἢ ἐπὶ τῷ τὰ μὲν αἱρεῖσθαι τὰ δὲ φεύγειν ἱκανῶς δύνασθαι διὰ τούτων ὑπομνηστέον· εἰ μὲν ἀπὸ τῶν αὐτῶν τὰς αὐτὰς ἀεὶ συνέβαινε προσπίπτειν ἀπαραλλάκτους φαντασίας, ἦν ἴσως ἀναγκαῖον τά τε ἐν ἡμῖν αὐτοῖς φύσει κατασκευασθέντα διττὰ κριτήρια, αἴσθησίν τε καὶ νοῦν, ὡς ἀψευδῆ καὶ ἀδέκαστα θαυμάζειν καὶ περὶ μηδενὸς ἐνδοιάζοντας ἐπέχειν, ἀλλὰ τοῖς ἅπαξ φανεῖσι πιστεύοντας τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ
170 ἔμπαλιν ἀποστρέφεσθαι. ἐπειδὴ δὲ διαφόρως ἀπ' αὐτῶν εὑρισκόμεθα

---

1 ἐνδιδοίη conicio 2 κατεσχημένος Turn.: κατισχημένος UFH, κατησχημένος G 3 ἀναισθησία FH: ἀναισθησίαν GUν παντελῆ ν 4 δοκεῖ GF εἶναι om. H 7 τὰ μὲν ὡς HL¹: ὡς τὰ μὲν GUFL², ὡς ν 8 τὰ δ' scripsi: ἢ codd. 9. 10 ἐᾷ ἡμᾶς τὴν Her 11 διανακύψαι ν 13 ἄδηλα] ἃ δεῖ H πρὸς ἀλήθειαν H 13—19 οὐδὲ — ὑπομνηστέον om. Her 14 εἰ] ἡ G παραπέμποι U: παραπέμπει GFH ἁψάμενος H 15 δύναιντ' GU 16 πέφυκεν U 19 μὲν γὰρ ἀπὸ Her συνέβαινεν U 20 ἀπαραλλάκτως Her 21 αἴσθησιν — νοῦν om. Her 22 ἐνδυάζοντας F 23. 24 τὰ μὲν — ἀποστρέφεσθαι om. Her 24 διαφόροις H ἀπὸ τῶν αὐτῶν conicio

---

9—209,19 inserta sunt Herennii qui dicitur libro (A. Mai, Classicorum auctorum tom. IX Romae 1837 p. 518—523): λέγουσι γὰρ ὅτι πολὺ σκότος τῶν ὄντων — οὐκ εἰκότως οὖν τὸ ἐπέχειν δοκεῖ, ἀλλὰ καὶ λίαν ἁρμοζόντως. καὶ ταῦτα μὲν ἐκ πολλῶν καὶ μακρῶν ὀλίγα καὶ βραχέα συναγαγόντες παρεθέμεθα. cf. Prolegomena, de Arnim Quellenstudien zu Philo p. 53—100.

κινούμενοι, βέβαιον περὶ οὐδενὸς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν, ἅτε μὴ ἑστῶτος
τοῦ φανέντος, ἀλλὰ πολυτρόποις καὶ πολυμόρφοις χρωμένου ταῖς μετα-
βολαῖς· (42.) ἀνάγκη γὰρ ἀνιδρύτου τῆς φαντασίας οὔσης ἀνίδρυτον
εἶναι καὶ τὴν ἐπ' αὐτῇ κρίσιν. αἴτια δὲ τούτου πολλά· πρῶτον μὲν 171
αἱ ἐν τοῖς ζῴοις οὐ καθ' ἓν μέρος ἀλλὰ σχεδὸν περὶ πάντα ἀμύθητοι
διαφοραί, αἱ περὶ τὴν γένεσιν καὶ κατασκευὴν αὐτῶν, αἱ περὶ τὰς τρο-
φὰς καὶ διαίτας, αἱ περὶ τὰς αἱρέσεις καὶ φυγάς, αἱ περὶ τὰς αἰσθητικὰς
ἐνεργείας τε καὶ κινήσεις, αἱ περὶ τὰς τῶν κατὰ σῶμα καὶ ψυχὴν ἀμυ-
θήτων παθῶν ἰδιότητας. χωρὶς γὰρ τῶν κρινόντων ἴδε καὶ τῶν κρινο- 172
μένων ἔνια, οἷα τὸν χαμαιλέοντα, τὸν πολύποδα· τὸν μέν γέ φασι τὴν
χρόαν ἀλλάττοντα τοῖς ἐδάφεσιν ὁμοιοῦσθαι καθ' ὧν εἴωθεν ἕρπειν, τὸν
δὲ ταῖς κατὰ θαλάττης πέτραις, ὧν ἂν περιδράξηται, τάχα που τῆς
σωτηρίου φύσεως ἀλεξίκακον συλλήψεως δωρησαμένης τὴν εἰς τὸ πολυ-
χρώματον αὐτοῖς τροπὴν φάρμακον. τὸν δὲ αὐχένα τῆς περιστερᾶς ἐν 173
ἡλιακαῖς αὐγαῖς οὐ κατενόησας μυρίας χρωμάτων ἀλλάττοντα ἰδέας; ἢ
οὐχὶ φοινικοῦν καὶ κυανοῦν, πυρωπόν τε αὖ καὶ ἀνθρακοειδές, ἔτι δὲ
ὠχρὸν καὶ ἐρυθρὸν καὶ ἄλλα παντοδαπὰ ἴσχει χρώματα, ὧν οὐδὲ τὰς
κλήσεις ῥᾴδιον ἀπομνημονεῦσαι; φασὶ μέντοι καὶ ἐν Σκύθαις τοῖς 174
p. 384 M. | καλουμένοις Γελώοις θαυμασιώτατόν τι γίνεσθαι σπανίως μέν, γίνεσθαι
δ' ὅμως θηρίον, ὃ καλεῖται τάρανδρος, μέγεθος μὲν βοὸς οὐκ ἀποδέον,
ἐλάφῳ δὲ τὸν τοῦ προσώπου τύπον ἐμφερέστατον· λόγος ἔχει τοῦτο
μεταβάλλειν ἀεὶ τὰς τρίχας πρός τε τὰ χωρία καὶ τὰ δένδρα καὶ πάνθ'
ἁπλῶς οἷς ἂν ἐγγὺς ἱστῆται, ὡς διὰ τὴν τῆς χρόας ὁμοιότητα λανθάνειν

---

1 κινούμενοι Her: καὶ κινούμενοι codd., κεκινημένοι ν 3 ἀειδρύτου G^1UF 4 ἐπ' αὐτὴν G, ἀπ' αὐτῆς coni. Mang. αἰτία H, αἰτίαι et πολλαὶ Her 5 ἑνὸς μέρος H, ἑνὸς μέρους Mang. 6 καὶ HL^1 Her: καὶ κατὰ $GUFL^3$ 7—9 alterum αἱ—παθῶν om. H 8 alterum καὶ] τε καὶ Her 9 ἰδιότητος F ἴδε post ἔνια transpos. Her 10 χαμαιλέοντα καὶ τὸν coni. Mang. 10—14 τὸν μὲν—φάρμακον om. Her 10 γέ] γάρ conicio 11 ὀρθιοῦσθαι HL^1 εἴωθε H 12 θάλαττ-ταν U 15 αὐγαῖς κατενόησέ τις μυρίας Her 15. 16 ἢ οὐχὶ] καὶ γὰρ καὶ Her 16 φονικὸν F πυρωτόν H ἀνθρακωειδὲς ν 18—204,2 φασὶ—εἶναι] τί δὲ τὴν τοῦ θηρὸς ταράνδου διάλλαξιν τῶν χρωμάτων, δι' ἧς λανθάνει τοὺς ἐντυγχάνοντας, εἰποιμεν ἄν; Her 19 γελωταῖς L, Γελωνοῖς ν θαυμασιώτατά H 20 τάρανδρος GFLND^{M}D^{V}: τάρανδος UHD^{P}(?) Her 21 τοῦτον D^{M}D^{V} 22. 23 καὶ πάνθ' ἁπλῶς om. D 23 ἵσταται D^{P}D^{V}, ᾖ D^{M} χροίας D

9—205,6 N fol. 187^{r} χωρὶς—ὀνείρατα 20—204,1 D^{M} fol. 193^{v} Φίλωνος ἐκ τῶν περὶ μέθης D^{P} fol. 201 D^{V} p. 531: γίνεται θηρίον, ὃ—δυσθήρατον εἶναι. cf. V. Rose Aristot. pseudepigr. p. 364. 365 (Caesaris Belli G. VI 26,1).

τοὺς ἐντυγχάνοντας καὶ ταύτῃ μᾶλλον ἢ τῇ περὶ σῶμα ἀλκῇ δυσθήρατον
175 εἶναι. ταῦτα δὴ καὶ τὰ τούτοις ὅμοια πίστεις ἐναργεῖς ἀκαταληψίας
εἰσίν, (43.) ἔπειτα δὲ αἱ μηκέτι τῶν ζῴων ἁπάντων, ἀλλὰ καὶ ἀνθρώ-
176 πων ἰδίᾳ πρὸς ἀλλήλους περὶ πάντα ποικιλίαι. οὐ γὰρ μόνον ἄλλοτε
ἄλλως τὰ αὐτὰ κρίνουσιν, ἀλλὰ καὶ ἑτέρως ἕτεροι ἡδονάς τε καὶ ἀηδίας 5
ἔμπαλιν τῶν αὐτῶν λαμβάνοντες· οἷς γὰρ δυσηρέστησαν ἔνιοι, ἐτέρφθησαν
ἄλλοι, καὶ κατὰ τοὐναντίον ἅπερ ὡς φίλα καὶ οἰκεῖα ἐπισπασάμενοί
τινες ἐδεξιώσαντο, ταῦθ' ἕτεροι ὡς ἀλλότρια καὶ δυσμενῆ μακρὰν ἀφ'
177 ἑαυτῶν ἐσκοράκισαν. ἤδη γοῦν ἐν θεάτρῳ πολλάκις παρατυχὼν εἶδον
ὑφ' ἑνὸς μέλους τῶν ἀγωνιζομένων ἐπὶ τῆς σκηνῆς τραγῳδῶν ἢ κιθα- 10
ῳδῶν τοὺς μὲν οὕτως ἀχθέντας, ὡς ἀνεγειρομένους καὶ συνηχοῦντας
ἄκοντας τὰ πρὸς ἔπαινον ἐκφωνεῖν, τοὺς δὲ οὕτως ἀτρώτως ἔχοντας,
ὡς μηδὲν τῶν ἀψύχων βάθρων ἐφ' οἷς καθέζονται ταύτῃ γοῦν διαφέρειν
ἂν νομισθῆναι, ἐνίους δ' οὕτως ἀλλοτριωθέντας, ὡς καὶ τὴν θέαν
οἴχεσθαι καταλιπόντας, ἔτι καὶ προσαποσειομένους ἑκατέρᾳ τῶν χειρῶν 15
τὰ ὦτα, μὴ ἄρα τι ἔναυλον ἀπολειφθὲν ἀηδίαν ὑπηχοῦν δυσκόλοις καὶ
178 δυσαρέστοις ψυχαῖς ἐργάσηται. καίτοι τί ταῦτά φαμεν; αὐτός τις εἷς
ὢν ἕκαστος ἐφ' ἑαυτοῦ, τὸ παραδοξότατον, μυρίας μεταβολὰς καὶ τροπὰς
δεχόμενος κατά τε σῶμα καὶ ψυχὴν τοτὲ μὲν αἱρεῖται, τοτὲ δ' ἀποστρέ-
φεται οὐδαμῶς μεταβάλλοντα, μένειν δ' ἐπὶ τῆς αὐτῆς πεφυκότα κατα- 20
179 σκευῆς· οὐ γὰρ τὰ αὐτὰ ὑγιαίνουσι καὶ νοσοῦσι προσπίπτειν φιλεῖ, οὐδὲ
ἐγρηγορόσι καὶ κοιμωμένοις, οὐδὲ ἡβῶσι καὶ γεγηρακόσι· καὶ ἑστὼς

---

1 τυγχάνοντας L τὸ σῶμα D 2 εἶναι om. DV 3 εἰσὶν] ἐστίν H μηκέτι] μὴ μόνον Her 3. 4 ἀνθρώπων ποικιλίαι περὶ πάντα ἴδιαι Her 4 πάντων H 5 post κρίνουσιν add. ἄνθρωποι D, οἱ αὐτοί conicio 6 ἔμπαλιν — λαμβάνοντες om. D ἐκ τῶν αὐτῶν Mang. ἐνίοτε ἔνιοι H 7—17 ἄλλοι καὶ τὸ ἀνάπαλιν. ἀλλὰ τί ταῦτά φαμεν Her (om. 7—17 ἅπερ — ἐργάσηται) 8 ἀφ'] ἐφ' G 8. 9 ἀφ' ἑαυτῶν om. D 9 ἤδη om. D ἐν γ' οὖν D εἶδον] ἴδεν D 10 τῆς om. N 10. 11 τραγωδὸν ἢ κιθαρωδὸν U ἢ κιθαρῳδῶν om. D 11 συνοικοῦντας U 12 ἀτρέπτως L^2 13 ταύτῃ] τότε conicio διαφέρειν D (coni. Mang.): διὰ γραμμάτων codd., διὰ γράμματος N 14 ἂν] λίαν D δὲ N 15 προσαποκλειομένους coni. Mang., προσαποσαττομένους Cohn ἑκάτερα GF 17 ἐνεργάσηται N 19 δὲ H 20 οὐδαμοῦ N 20. 21 μεταβάλλοντα, ἀλλ' ἐπὶ τῆς αὐτῆς μένοντα κατασκευῆς Her 20 μένει F 21 καὶ] τε καὶ D φιλεῖν D οὐδὲ] οὐ γὰρ D 22 ἐγρηγοροῦσι UD, γρηγοροῦσι Her 21—205,3 γεγηρακόσι, καὶ θαρροῦσι καὶ δεδιόσι, καὶ ἑστῶσι καὶ κινουμένοις, ἔτι γε μὴν λυπουμένοις τε καὶ χαίρουσι, φιλοῦσί τε καὶ μισοῦσι. καὶ τί Her

---

4—14 DK fol. 131r Φίλωνος ἐκ τοῦ περὶ μέθης β': οὐ μόνον ἄλλωστε ἄλλως — νομισθῆναι. 21. 22 ibid.: οὐ γὰρ ἐγρηγοροῦσι — γεγηρακόσιν.

μέντοι καὶ κινούμενός τις ἑτέρας ἔλαβε φαντασίας, καὶ θαρρῶν καὶ
δεδιὼς ἔμπαλιν, ἔτι μέντοι λυπούμενός τε καὶ χαίρων, καὶ φιλῶν καὶ
τοὐναντίον μισῶν. καὶ τί δεῖ μακρηγοροῦντα περὶ τούτων ἐνοχλεῖν; 180
συνελόντι γὰρ φράσαι πᾶσα ἡ σώματος καὶ ψυχῆς κατὰ φύσιν τε αὖ
p. 385 M. καὶ παρὰ | φύσιν κίνησις αἰτία τῆς περὶ τὰ φαινόμενα ἀστάτου φορᾶς
6 γίνεται μαχόμενα καὶ ἀσύμφωνα προσβαλλούσης ὀνείρατα. (44.) γίνεται 181
δ' οὐχ ἥκιστα τὸ περὶ τὰς φαντασίας ἄστατον καὶ παρὰ τὰς θέσεις καὶ
παρὰ τὰ διαστήματα καὶ παρὰ τοὺς τόπους, οἷς ἕκαστα ἐμπεριέχεται.
ἢ τοὺς κατὰ θαλάττης ἰχθῦς οὐχ ὁρῶμεν, ὁπότε τὰς πτέρυγας διατεί- 182
10 νοντες ἐννήχοιντο, μείζους ἀεὶ τῆς φύσεως προφαινομένους; καὶ τὰς
εἰρεσίας μέντοι, κἂν σφόδρα ὦσιν εὐθυτενεῖς, κεκλασμένας ὁρᾶσθαι συμ-
βαίνει καθ' ὕδατος. τά γε μὴν πορρωτάτω ψευδεῖς προσβάλλοντα 183
φαντασίας τὸν νοῦν εἴωθεν ἀπατᾶν· ἄψυχα γὰρ ἔστιν ὅτε ὄντα ὑπετο-
πήθη ζῷα εἶναι καὶ τοὐναντίον τὰ ἔμψυχα ἄψυχα, ἔτι δὲ τὰ ἑστῶτα
15 κινεῖσθαι καὶ τὰ κινούμενα ἑστάναι, καὶ τὰ μὲν προσιόντα ἐξαναχωρεῖν,
τὰ δὲ ἀπιόντα πάλιν προσέρχεσθαι, καὶ βραχύτατα μὲν τὰ περιμηκέ-
στατα, περιφερῆ δ' αὖ τὰ πολυγώνια. καὶ μυρία ἄλλα ὑπὸ τῆς φανερᾶς
ὄψεως ψευδογραφεῖται, οἷς οὐκ ἄν τις εὖ φρονῶν ὡς βεβαίοις συνεπι-
γράψαιτο. (45.) τί δ' αἱ ἐν τοῖς σκευαζομένοις ποσότητες; παρὰ γὰρ 184
20 τὸ πλέον ἢ ἔλαττον αἵ τε βλάβαι καὶ ὠφέλειαι συνίστανται, καθάπερ
ἐπὶ μυρίων ἄλλων καὶ μάλιστα τῶν κατὰ τὴν ἰατρικὴν ἐπιστήμην ἔχει
φαρμάκων· ἡ γὰρ ἐν ταῖς συνθέσεσι ποσότης ὅροις καὶ κανόσι μεμέ- 185
τρηται, ὧν οὔτε ἐντὸς κάμψαι οὔτε περαιτέρω προελθεῖν ἀσφαλές —
τὸ μὲν γὰρ ἔλαττον χαλᾷ, τὸ δὲ πλέον ἐπιτείνει τὰς δυνάμεις· βλαβερὸν
25 δ' ἑκάτερον, τὸ μὲν ἀδυνατοῦν ἐνεργῆσαι δι' ἀσθένειαν, τὸ δὲ βλάψαι
βιαζόμενον διὰ καρτερωτάτην ἰσχύν —, λειότησί τε αὖ καὶ τραχύτησι,
πυκνότησί τε αὖ καὶ πιλήσεσι καὶ τοὐναντίον μανότησι καὶ ἐξαπλώσεσι

---

3. 4 ἐνοχλεῖν; φασὶ γὰρ ὅτι πᾶσα Her 4 συνελὼν τί H γὰρ om. N αὖ G²: αὐτὴ G¹UH, αὖτη FN, om. Her, secl. Arnim 6 προβαλλούσης U, προσβαλλοῦσιν H φαντάσματα Her 7 περὶ codd. Her: παρὰ Turn. 7. 8 ter παρὰ GUFL² Her: περὶ HL¹ 7 θέσεις] θεωρίας FL² 9 ἢ ν 9—12 ἢ — ὕδατος] ἢ οὐχ ὁρῶμεν τὰς εὐθυτενεῖς κώπας κεκλασμένας καθ' ὕδατος Her ἰχθύας coni. Cohn 9. 10 διατείναντες F et H ut vid. 12 τὰ δέ γε H 12. 13 προβάλλοντα φαντασίας ψευδεῖς Her 13. 14 γὰρ ἐνίοτε ὑπετοπήθη ἔμψυχα καὶ Her 14 τὰ ἔμψυχα ἄψυχα om. Her 15 κινεῖσθαι] κινούμενα Her ἑστῶτα Her ante καὶ add. καὶ τὴν μὲν ναῦν ἑστῶσαν κινουμένην, τοὺς δ' αὖ πύργους ἑστῶτας κινουμένους Her 19 κατασκευαζομένοις L², συσκευαζομένοις coni. Mang. 22 καὶ κανόσι om. Her 23 οὔτε ἐν τῷ συστεῖλαι οὔτε ἐν τῷ ἐπιτεῖναι ἀσφαλὲς Her ἐντὸς] ἐν τῷ U 24 γὰρ om. Her πλέον scripsi: πλεῖον codd. Her 24—26 βλαβερὸν — ἰσχύν om. Her 25. 26 τὸ μὲν — ἰσχύν om. H 26 τε GUF: γε HL αὖθις L 27 πυκνώσεσι H

186 τὸν εἰς βοήθειαν καὶ βλάβην ἔλεγχον ἐναργῶς διασυνίστησιν. ἀλλὰ μὴν οὐδὲ ἐκεῖνό τις ἀγνοεῖ, ὅτι τῶν ὄντων σχεδὸν ἐξ αὐτοῦ καὶ καθ' αὑτὸ νενόηται τὸ παράπαν οὐδέν, τῇ δὲ πρὸς τὸ ἐναντίον παραθέσει δοκιμάζεται, οἷον τὸ μικρὸν παρὰ τὸ μέγα, τὸ ξηρὸν παρὰ τὸ ὑγρόν, παρὰ τὸ ψυχρὸν τὸ θερμόν, παρὰ τὸ βαρὺ τὸ κοῦφον, τὸ μέλαν παρὰ τὸ λευκόν, τὸ ἀσθενὲς παρὰ τὸ ἰσχυρόν, τὰ ὀλίγα παρὰ τὰ πολλά.
187 κο τὰ τὸ παραπλήσιον μέντοι καὶ ὅσα ἐπ' ἀρετὴν ἢ κακίαν ἀναφέρεται, τὰ ὠφέλιμα διὰ τῶν βλαβερῶν γνωρίζεται, τὰ καλὰ τῇ τῶν αἰσχρῶν ἀντιθέσει, τὰ δίκαια καὶ κοινῶς ἀγαθὰ τῇ τῶν ἀδίκων καὶ κακῶν παραθέσει, καὶ πάντα μέντοι τὰ ἄλλα ὅσα ἐν κόσμῳ σκοπῶν ἄν τις εὕροι κατὰ τὸν αὐτὸν τύπον λαμβάνοντα τὴν ἐπίκρισιν· ἐξ ἑαυτοῦ μὲν γὰρ ἕκαστον ἀκατάληπτον, ἐκ δὲ τῆς πρὸς ἕτερον συγκρίσεως γνωρί-
188 ζεσθαι δοκεῖ. τὸ δὲ μὴ ἑαυτῷ μαρτυρεῖν | ἱκανόν, τῆς δὲ ἀφ' ἑτέρου p. 386 M.
χρῄζον συνηγορίας, ἀβέβαιον εἰς πίστιν· ὥστε καὶ ταύτῃ τοὺς εὐχερῶς
189 ὁμολογοῦντας ἢ ἀρνουμένους περὶ παντὸς οὑτινοσ⟨οῦν⟩ ἐλέγχεσθαι. καὶ τί θαυμαστόν; προσωτέρω γάρ τις χωρήσας τῶν πραγμάτων καὶ εἰλικρινέστερον αὐτὰ αὐγασάμενος εἴσεται τοῦθ', ὅτι ἓν οὐδὲν καθ' ἁπλῆν ἡμῖν τὴν ἑαυτοῦ προσπίπτει φύσιν, ἀλλὰ πάντα μίξεις πολυπλοκωτάτας
190 ἔχοντα καὶ κράσεις. (46.) αὐτίκα τῶν χρωμάτων ἀντιλαμβανόμεθα πῶς; ἆρ' οὐ σὺν ἀέρι καὶ φωτί, τοῖς ἐκτός, καὶ τῷ κατ' αὐτὴν τὴν ὄψιν ὑγρῷ; γλυκὺ δὲ καὶ πικρὸν τίνα τρόπον δοκιμάζεται; μὴ δίχα τῶν καθ' ἡμᾶς αὐτοὺς ἐνστομίων χυλῶν ὅσοι κατὰ φύσιν ἢ παρὰ φύσιν; οὐ δήπου; τί δ'; αἱ ἀπὸ τῶν ἐπιθυμιωμένων ὀσμαὶ μὴ τὰς ἁπλᾶς ⟨καὶ⟩ εἰλικρινεῖς τῶν σωμάτων φύσεις παριστᾶσιν; ἢ τὰς κεκραμένας ἔκ τε αὐτῶν καὶ ἀέρος, ἔστι δ' ὅτε καὶ τοῦ τήκοντος τὰ σώματα πυρὸς

---

1 τὸν] τῶν U συνίστησιν Her 2 οὐδ' H αὐτοῦ codd.
3 αὐτὸ G^2H: αὐτὸν G^1UF Her 4 δικάζεται coni. Mang. οἷον] οἳ H
4. 5 τὸ θερμὸν παρὰ τὸ ψυχρόν, τὸ ξηρόν παρὰ τὸ ὑγρὸν transpos. Her 5. 6 τὸ λευκὸν παρὰ τὸ μέλαν Her 6 τὸ ὀλίγον παρὰ τὸ πολύ, τὸ ἀσθενὲς παρὰ τὸ ἰσχυρόν transpos. et τὸ πλῆθος παρὰ τὸν τόπον, παρὰ τὴν δύναμιν τὸ φορτίον, πρὸς τὴν διάθεσιν αἱ ἡδοναὶ καὶ λῦπαι add. Her 7 μέντοι om. Her κἀν τοῖς ὅσα conicio ἢ] ἡ G, ἢ καὶ v 8 ἐγνωρίζετο Her 10 μέντοι] τοίνυν Her ἄλλα] καλὰ H 11 τύπον] τρόπον conicio 12 γὰρ om. Her 13—16 τὸ δὲ — θαυμαστόν om. Her 15 οὑτινοσοῦν Arnim: οὔτινος codd. 17 τοῦτο H Her 19 καὶ κράσεις ἔχοντα Her
22 χιλῶν G, χυλῶν δὲ v κατὰ] τε κατὰ Her ἢ παρὰ φύσιν om. H 23. 24 ἁπλῶς εἰλικρινεῖς Her 24 καὶ add. Mang. παριστῶσιν H

---

13. 14 Anton Mel. I 22 col. 845 τὸ μὴ ἑαυτὸν — πίστιν.

καὶ τῆς κατὰ τοὺς μυκτῆρας δυνάμεως; ἐκ δὴ τούτων συνάγεται, ὅτι 191
οὔτε χρωμάτων ἀντιλαμβανόμεθα, ἀλλὰ τοῦ συνισταμένου κράματος ἔκ
τε τῶν ὑποκειμένων καὶ φωτός, οὔτε ὀσμῶν, ἀλλὰ μίγματος, ὅπερ συν-
έστη διά τε τοῦ ῥυέντος ἀπὸ τῶν σωμάτων καὶ τοῦ πανδεχοῦς ἀέρος,
οὔτε χυλῶν, ἀλλὰ τοῦ γενομένου διά τε τοῦ προσιόντος γευστοῦ καὶ
τῆς κατὰ τὸ στόμα ὑγρᾶς οὐσίας. (47.) τούτων δὴ τοῦτον ἐχόντων 192
τὸν τρόπον εὐήθειαν ἢ προπέτειαν ἢ ἀλαζονείαν ἄξιον καταγινώσκειν
τῶν ἢ ὁμολογεῖν ἢ ἀρνεῖσθαι περὶ παντὸς οὑτινοσοῦν ῥᾳδίως ὑπομενόν-
των. εἰ μὲν γὰρ αἱ ἁπλαῖ δυνάμεις ἐκποδών, αἱ δὲ μικταὶ καὶ ἐκ
πλειόνων συνηρανισμέναι προῦπτοι, ἀμήχανον δὲ καὶ τὰς ἀοράτους ἰδεῖν
καὶ διὰ τῶν κεκραμένων τὸν ἑκάστης τῶν συνερανισθεισῶν τύπον ἰδίᾳ
κατανοῆσαι, τί ἂν εἴη λοιπὸν ἢ τὸ ἐπέχειν [ἀναγκαῖον]; ἐκεῖνα δ' ἡμᾶς 193
οὐ παρακαλεῖ μὴ λίαν τοῖς ἀφανέσι προπιστεύειν, ἃ σχεδὸν κατὰ πᾶσαν
τὴν οἰκουμένην ἀνακέχυται κοινὸν Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις ἐπά-
γοντα τὸν ἐκ τοῦ κρίνειν ὄλισθον; τίνα οὖν ταῦτ' ἐστίν; ἀγωγαὶ δήπουθεν
αἱ ἐκ παίδων καὶ ἔθη πάτρια καὶ παλαιοὶ νόμοι, ὧν ἓν οὐδὲν ὁμο-
λογεῖται ταὐτὸν εἶναι παρὰ πᾶσιν, ἀλλὰ κατὰ χώρας καὶ ἔθνη καὶ
πόλεις, μᾶλλον δὲ καὶ κατὰ κώμην καὶ οἰκίαν ἑκάστην, ἄνδρα μὲν οὖν
καὶ γυναῖκα καὶ νήπιον παῖδα τοῖς ὅλοις διακέκριται· τὰ γοῦν αἰσχρὰ 194
παρ' ἡμῖν ἑτέροις καλά, καὶ τὰ πρέποντα ἀπρεπῆ, καὶ τὰ δίκαια ἄδικα,
καὶ ἀνόσια μὲν τὰ ὅσια, νόμιμα δ' αὖ τὰ παράνομα, ἔτι δὲ ψεκτὰ τὰ
ἐπαινετὰ καὶ ὑπόδικα τὰ τιμῆς ἄξια καὶ ὅσα ἄλλα ἐναντία ταῦτα νομί-
p. 387 M. ζουσι. καὶ τί δεῖ μακρηγορεῖν τὸν ὑπὸ | ἑτέρων ἀναγκαιοτέρων μεθελ- 195
κόμενον; εἰ μέντοι βουληθείη τις ὑπὸ μηδεμιᾶς ἄλλης καινοτέρας θέας
ἀγόμενος, ἐνευκαιρήσας τῷ προτεθέντι κεφαλαίῳ τὰς ἑκάστων ἀγωγὰς

---

2 οὔτε] ὅτι G^1 ἀντιλαμβάνει HL^1 2. 3 τοῦ — ἀλλὰ om. H 3 καὶ om. G 4 ῥυόντος H 4. 5 πανδεχοῦς — τε τοῦ om. G 5 οὔτε] οὔτε δὴ Her 6 στόμα] σῶμα L δὴ scripsi: ἤδη codd., δὲ ἤδη Her 7—12 εὐήθειαν — κατανοῆσαι om. Her 9 εἰ μὴ καὶ ἁπλῶς HL^1 καὶ] καὶ αἱ G 10 συνηραμέναι G^1F, συνηραμμέναι L^2, συνερραμμέναι G^2 φροῦδοι Turn. ἀοράτων F 11 κεκραμμένων H ἑκάστη U συνηρανισθεισῶν U 12 ἀναγκαῖον secl. Cohn ἐκεῖνα Mang.: ἐκεῖνο GUF Her, ἐκεῖ H 13 προπιστεύειν Turn.: προσπιστεύειν codd., πιστεύειν Her κατὰ] ἀνὰ L 14. 15 ἐπάγοντα Her: ἐπαγαγόντα codd. 15 τὸν] τὴν Her δήπουθεν om. Her 16 παλαιοὶ om. Her 16. 17 ἓν — ἔθνη om. F 18. 19 πόλεις καὶ κώμας καὶ οἰκίας, ἄνδρας τε καὶ γυναῖκας καὶ νήπια· τὰ γοῦν Her 19 ὅλων H, ἄλλοις L 21 ὅσια] ἀνόσια H παρανόμιμα H tertium τὰ om. G^1 22 τῆς τιμῆς Her ἐναντία om. U Her ταὐτὰ coni. Mang., τοιαῦτα conicio 24 ἄλλο et litt. evanida in F 25 ἐνερευνήσας L προθέντι F, εἰρημένῳ Her

καὶ ἔθη καὶ νόμους ἐπιέναι χωρῶν, ἐθνῶν, πόλεων, τόπων, ὑπηκόων ἡγεμόνων, ἐνδόξων ἀδόξων, ἐλευθέρων οἰκετῶν, ἰδιωτῶν ἐπιστημόνων, οὐχ ἡμέραν μίαν οὐδὲ δύο, ἀλλὰ οὐδὲ μῆνα ἢ ἐνιαυτόν, τὸν δὲ ἅπαντα
196 ἑαυτοῦ κατατρίψει βίον, κἂν αἰῶνι χρήσηται μακρῷ, καὶ οὐδὲν ἧττον πολλὰ ἀδιερεύνητα καὶ ἀπερίσκεπτα καὶ ἄφωνα λήσει καταλιπών. οὐκοῦν ἄλλων παρ' ἄλλοις οὐ βραχεῖ μόνον διεστηκότων, ἀλλὰ καὶ τοῖς ὅλοις ἀπαδόντων, ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι, ἀνάγκη καὶ τὰς προσπιπτούσας
197 διαφέρειν φαντασίας καὶ τὰς κρίσεις ἀλλήλαις πεπολεμῶσθαι. (48.) ὧν ὑπαρχόντων τίς οὕτως ἔκφρων ἐστὶ καὶ παράληρος, ὡς φάναι παγίως, ὅτι τὸ τοιόνδε ἐστὶ δίκαιον ἢ φρόνιμον ἢ καλὸν ἢ συμφέρον; ὃ γὰρ ἂν
198 οὗτος ὁρίσῃ, τἀναντία μεμελετηκὼς ἐκ παίδων ἕτερος ἀκυρώσει. ἐγὼ δ' οὐ τεθαύμακα, εἰ πεφορημένος καὶ μιγὰς ὄχλος, ἐθῶν καὶ νόμων τῶν ὁπωσοῦν εἰσηγμένων ἀκλεὴς δοῦλος, ἀπ' αὐτῶν ἔτι σπαργάνων ὑπακούειν ὡς ἂν δεσποτῶν ἢ τυράννων ἐκμαθών, κατακεκονδυλισμένος τὴν ψυχὴν καὶ μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μὴ δυνάμενος πιστεύει τοῖς ἅπαξ παραδοθεῖσι καὶ τὸν νοῦν ἐάσας ἀγύμναστον ἀδιερευνήτοις καὶ ἀνεξετάστοις συναινέσεσί τε καὶ ἀρνήσεσι χρῆται, ἀλλ' εἰ καὶ τῶν λεγομένων φιλοσόφων ἡ πληθὺς τὸ ἐν τοῖς οὖσι σαφὲς καὶ ἀψευδὲς ἐπιμορφάζουσα θηρᾶν κατὰ στίφη καὶ λόχους διακέκριται καὶ δόγματα ἀσύμφωνα, πολλάκις δὲ καὶ ἐναντία οὐ περὶ ἑνὸς τίθεται τοῦ τυχόντος, ἀλλὰ σχεδὸν περὶ πάντων μικρῶν τε καὶ μεγάλων, ἐν οἷς αἱ
199 ζητήσεις συνίστανται· οἱ γὰρ ἄπειρον τὸ πᾶν εἰσηγούμενοι τοῖς πεπερασμένον εἶναι λέγουσιν ἢ οἱ τὸν κόσμον ἀγένητον τοῖς γενητὸν ἀπο-

---

1 τε καὶ ἔθη Her πόλεων ἐθνῶν τόπων F πόλεων τόπων GU Her: τόπων πόλεων H 1. 2 ἡγεμόνων ὑπηκόων Her 2 ἐπιστημόνων ἰδιωτῶν Her 3 ἀλλὰ om. H 4 αὐτοῦ G κἂν—μακρῷ om. Her χρήσαιτο H καὶ delevi vult. Cohn 5 καὶ ἄφωνα om. Her ἀφανῆ coni. Mang. 6 βραχὺ Turn. Her 7 προπιπτούσας HL 8 πεπολεμῆσθαι U 9 παγίως] βεβαίως Her 10 ποιὸν δέ G¹F Her ἢ καλὸν om. Her 11 post ὁρίσῃ add. ὁ Her ἐκ παίδων μεμελετηκὼς Her 11. 12 ἀκυρώσει. καὶ οὐ θαυμαστόν, εἰ Her 12 δὲ Π οὐ] οὔτε F συμπεφορημένος v 14 ὑπακούειν] μὴ ἀκούειν H 16 παραδοθεῖσιν ἅπαξ Her 17 συνέσεσί Her 17—19 ἀλλ' ἤδη καὶ τῶν φιλοσόφων ἡ πληθὺς μὴ δυνηθεῖσα τὸ ἐν τοῖς οὖσι σαφὲς καὶ ἀψευδὲς ἐξευρεῖν κατὰ Her 19 θήρα U 20 τίθεται scripsi: τίθενται codd. 21 μικρῶν—ἐν om. Her 22 συνίσταται U 22. 23 πεπερασμένοις H 23 λέγων H post λέγουσιν add. ἀντιφέρονται Her ἢ] καὶ Her ἀγεννητον H γεννητὸν H, γεγενημένον U Her

---

15 Demosthenes or. Olynth. III 32: ἔστι δ' οὐδέποτ', οἶμαι, μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας.

φαινομένοις ἢ οἱ χωρὶς ἐπιστάτου καὶ ἡγεμόνος ἀλόγου καὶ ἀπαυτοματιζούσης ἐξάψαντες φορᾶς τοῖς ὑπολαμβάνουσι πρόνοιαν καὶ ἐπιμέλειαν ὅλου καὶ τῶν μερῶν θαυμαστήν τιν' εἶναι ἡνιοχοῦντος καὶ κυβερνῶντος ἀπταίστως καὶ σωτηρίως θεοῦ πῶς ἂν δύναιντο τὰς αὐτὰς
5 καταλήψεις τῶν ὑποκειμένων ποιεῖσθαι πραγμάτων; αἱ δὲ περὶ τὴν 200
τἀγαθοῦ σκέψιν φαντασίαι ἆρ' οὐκ ἐπέχειν μᾶλλον ἢ ὁμολογεῖν βιάζονται τῶν μὲν ἀγαθὸν εἶναι νομιζόντων μόνον τὸ καλὸν καὶ θησαυριζομένων αὐτὸ ἐν ψυχῇ, τῶν δὲ πρὸς πλείω κατακερματιζόντων καὶ ἄχρι σώματος καὶ τῶν ἐκτὸς ἀποτεινόντων; οὗτοι λέγουσι τὰς μὲν τυχηρὰς 201
p. 388 M. εὐπραγίας δορυφόρους εἶναι σώματος, ὑγείαν δὲ καὶ ἰσχὺν καὶ τὸ | ὁλό-
11 κληρον καὶ ἀκρίβειαν αἰσθητηρίων καὶ ὅσα ὁμοιότροπα τῆς βασιλίδος ψυχῆς· τρισὶ γὰρ τῆς τἀγαθοῦ φύσεως κεχρημένης τάξεσι τὴν μὲν τρίτην καὶ ἐξωτάτην τῆς δευτέρας καὶ ὑπεικούσης πρόμαχον εἶναι, τὴν δὲ δευτέραν τῆς πρώτης μέγα πρόβλημα καὶ φυλακτήριον γεγενῆσθαι. καὶ 202
15 περὶ αὐτῶν τούτων μέντοι καὶ βίων διαφορᾶς καὶ τελῶν πρὸς ἃ χρὴ τὰς πράξεις ἁπάσας ἀναφέρεσθαι καὶ μυρίων ἄλλων ὅσα τε ἡ λογικὴ καὶ ἠθικὴ καὶ φυσικὴ πραγματεία περιέχει γεγόνασι σκέψεις ἀμύθητοι, ὧν ἄχρι τοῦ παρόντος οὐδεμία παρὰ πᾶσι τοῖς σκεπτικοῖς συμπεφώνηται. (49.) οὐκ εἰκότως οὖν τῶν δυεῖν θυγατέρων, βουλῆς τε καὶ 203
20 συναινέσεως, ἁρμοσθεισῶν καὶ συνευνασθεισῶν ὁ νοῦς ἀγνοίᾳ ἐπιστήμης χρώμενος εἰσάγεται; λέγεται γὰρ ὅτι „οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὰς καὶ ἀναστῆναι“ (Gen. 19,33.35)· οὔτε γὰρ ὕπνον οὔτε ἐγρήγορσιν οὔτε 204
σχέσιν οὔτε κίνησιν ἔοικε σαφῶς καὶ παγίως καταλαμβάνειν, ἀλλὰ καὶ ὁπότε ἄριστα βεβουλεῦσθαι δοκεῖ, τότε μάλιστα ἀβουλότατος ὢν εὑρίσκεται τῶν
25 πραγμάτων μὴ ὅμοιον τοῖς προσδοκηθεῖσι λαβόντων τὸ τέλος· καὶ ὁπότε 205

---

1 ἢ] καὶ Her 1. 2 αὐτοματιζούσης Her 2 φορὰν GU Her 3 ὅλου] spatium, tum οὐ in U 3—5 θαυμαστήν — πραγμάτων om., alia inseruit Her 3 τινα H 4 πῶς UH: ὡς GF 5. 6 τοῦ ἀγαθοῦ τὴν σκέψιν Her 6 τοῦ ἀγαθοῦ H 7 μόνον τὸ καλὸν om. Her 7. 8 θησαυριζόντων Her 9 οὗτοι] οἵτινες Her τὰς] ὅτι τὰς Her 10 δὲ Arnim: τε codd. Her τὸ] τὴν Turn. 11 prius καὶ codd. Her: καὶ τὴν Mang., om. Turn. 12 τρισὶ γάρ φησι τἀγαθοῦ φύσεως κεχρήμεθα Her τῆς τἀγαθοῦ scripsi: τῆς ἀγαθοῦ H, ἀγαθῶν G, τἀγαθοῦ U, ἀγαθοῦ F 13 ἐξωτάτην τῆς H: ἐξωτάτης U, ἔξω τὰ τῆς G, ἐξωτάτην F, ἔξω τῆς Her, ἐξωτάτω τῆς conicio καὶ ὑπεικούσης om. Her. ὑπεικούσης Turn.: ὑπειλούσης GFH, ἀπειλούσης U εἶναι] ἦν H 14 γεγενῆσθαι om. Her 15 τούτων H: τῶν GUF, om. Her 16 ἁπάσας om. Her 17 alterum καὶ] καὶ ἡ G πράγματα L¹ 19 οὐκ ἀπεικότως conicio δυεῖν GF: δύο UH 20 συναινέσεως Mang.: συνέσεως codd. καὶ συνευνασθεισῶν om. H ἐπιστήμης] παντελεῖ conicio, aut ἐπιστήμης del. (idem secl. Cohn)

συνεπιγράφεσθαί τισιν ὡς ἀληθέσιν ἔδοξε, τὴν ἐπ' εὐχερείᾳ καρποῦται κατάγνωσιν, ἀπίστων καὶ ἀβεβαίων, οἷς πρότερον ὡς βεβαιοτάτοις ἐπίστευε, φαινομένων· ὥστε εἰς τὰ ἐναντία, ὧν ὑπετόπησέ τις, εἰωθότων περιίστασθαι τῶν πραγμάτων ἀσφαλέστατον τὸ ἐπέχειν εἶναι.

206 (50.) Διειλεγμένοι δὴ περὶ τούτων ἱκανῶς ἐπὶ τὰ ἀκόλουθα τῷ λόγῳ τρεψώμεθα. ἔφαμεν τοίνυν ἐκ τοῦ μεθύειν καὶ τὴν πολλοὺς πολλάκις μεγάλα βλάπτουσαν γαστριμαργίαν δηλοῦσθαι, ᾗ τοὺς χρωμένους ἔστιν ἰδεῖν, κἂν τὰς τοῦ σώματος δεξαμενὰς ἀποπληρωθῶσι πάσας, ἔτι
207 κενοὺς τὰς ἐπιθυμίας ὄντας· οὗτοι κἂν ὑπὸ πλήθους ὧν ἐνεφορήσαντο διακορεῖς γενόμενοι πρὸς ὀλίγον χρόνον καθάπερ οἱ πεπονηκότες ἀθληταὶ τὰ σώματα διαπνεύσωσι, πάλιν ἐπαποδύονται τοῖς αὐτοῖς ἀγωνίσμασιν.
208 ὁ γοῦν βασιλεὺς τῆς Αἰγυπτίας χώρας, τοῦ σώματος, τῷ μέθης ὑπηρέτῃ δόξας οἰνοχόῳ δυσχεραῖναι πάλιν οὐκ εἰς μακρὰν καταλλαττόμενος ἐν ταῖς ἱεραῖς βίβλοις εἰσάγεται τοῦ τὰς ἐπιθυμίας ἀναρρηγνύντος πάθους ὑπομνησθεὶς ἐν ἡμέρᾳ γενέσεως φθαρτῆς, οὐκ ἐν ἀφθάρτῳ τοῦ ἀγενήτου φωτός· λέγεται γὰρ ὅτι „ἡμέρα γενέσεως ἦν Φαραώ“ (Gen. 40,20), ἡνίκα ἐκ τοῦ δεσμωτηρίου τὸν ἀρχιοινοχόον ἐπὶ σπονδαῖς μετεπέμψατο·
209 τοῦ γὰρ φιλοπαθοῦς ἴδιον λαμπρὰ τὰ | γενητὰ καὶ φθαρτὰ ἡγεῖσθαι διὰ p. 389 M.
τὸ νυκτὶ καὶ σκότῳ κεχρῆσθαι βαθεῖ πρὸς τὴν τῶν ἀφθάρτων ἐπιστήμην· οὗ χάριν εὐθὺς τὴν ἐξάρχουσαν ἡδονῆς μέθην καὶ τὸν ὑπηρέτην

---

1 εὐχέρειαν G 2. 3 ἐπίστευεν ὡς βεβαιοτάτοις U 3 τὰς ἐναντίων G
5. 6 τοῦ λόγου coni. Mang. 6 τρεψόμεθα G 7 μεγάλα om. G βλάπτουσι H 8 ἀποπληρωθεισῶν F 10 πεπονηκότες H: πεπονηθέντες GUF
11 διαπνεύσουσι U, διαπνεύσας G¹ (διαπνεύσατό τις G²?) 14 τοῦ Mang. (falso ad F provocans): πρὸς τοῦ GUF, πρὸς HL πάθους om. H 15 φθαρτῇ coni. Cohn ἀφθάρτου conicio (ἐν secluso) 15. 16 ἀγεννήτου FH
18 φιλομαθοῦς L, φιλοσωμάτου Turn. λαμπρὸν H γεννητὰ FH
20 ἐξάρχουσαν ἡδονῆς Mang.: ἐξ ἀρχόντων ἡδονὴν codd.

---

16 sqq. *Origenes Comment. in Matth. X 22 p. 471:* ἐτήρησε μὲν οὖν τις τῶν πρὸ ἡμῶν τὴν ἀναγεγραμμένην ἐν Γενέσει τοῦ Φαραὼ γενέθλιον καὶ διηγήσατο, ὅτι ὁ φαῦλος τὰ γενέσεως ἀγαπῶν πράγματα ἑορτάζει γενέθλιον ..... *Selecta in Genesim p. 44:* τῶν μὲν πρὸ ἡμῶν ἐτήρησέ τις, ὅτι φαῦλός ἐστιν ὁ τὰ γενέσεως τιμῶν πράγματα καὶ τὴν ἡμέραν τῆς γενέσεως αὐτοῦ ἀποδεχόμενος . . . *Homilia VIII 3 in Levit. p. 229:* nemo ex omnibus sanctis invenitur diem festum vel convivium egisse in die natalis sui .... soli peccatores super huiusmodi nativitate laetantur. invenimus etenim in veteri quidem testamento Pharaonem regem Aegypti diem natalis sui cum festivitate celebrantem. *Homilia I 8 in librum Regum p. 486.* — cf. etiam *Augustini Quaestionem de Genesi L.*

αὐτῆς δεξιοῦται. (51.) τρεῖς δ' εἰσὶν οἱ τῆς ἀκολάστου καὶ ἀκράτορος 210
ψυχῆς ἐστιοῦχοί τε καὶ θεραπευταί, ἀρχισιτοποιός, ἀρχιοινοχόος, ἀρχιμάγειρος, ὧν ὁ θαυμασιώτατος μέμνηται Μωυσῆς διὰ τούτων· „καὶ ὠργίσθη Φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις, ἐπὶ τῷ ἀρχιοινοχόῳ καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ, καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ ἀρχιδεσμοφύλακι“ (Gen. 40,2.3). ἔστι δὲ καὶ ὁ ἀρχιμάγειρος εὐνοῦχος· λέγεται γὰρ ἑτέρωθι· „κατήχθη δὲ Ἰωσὴφ εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν εὐνοῦχος Φαραώ, ἀρχιμάγειρος“ (Gen. 39,1), καὶ πάλιν· „ἀπέδοντο τὸν Ἰωσὴφ τῷ σπάδοντι Φαραώ, ἀρχιμαγείρῳ“ (Gen. 37,36). τίνος δὴ χάριν οὔτ' 211
ἀνὴρ οὔτε γυνὴ τῶν λεχθέντων οὐδὲν ἁπλῶς ἐπιτέτραπται; ἢ ὅτι σπείρειν μὲν ἄνδρες γονὰς ὑποδέχεσθαι δὲ γυναῖκες ἐκ φύσεως πεπαίδευνται, ὧν τὴν εἰς ταὐτὸ σύνοδον αἰτίαν γενέσεως καὶ τῆς τοῦ παντὸς διαμονῆς εἶναι συμβέβηκεν, ἀγόνου δὲ καὶ ἐστειρωμένης, μᾶλλον δὲ ἐξευνουχισμένης ψυχῆς σιτίοις πολυτελέσι καὶ ποτοῖς καὶ ὄψων περιέργοις παραρτύσεσι χαίρειν μήτε τὰ ἀρετῆς ἄρρενα ὡς ἀληθῶς σπέρματα καταβάλλεσθαι δυναμένης μήτε τὰ καταβληθέντα παραδέξασθαι καὶ ἀναθρέψασθαι, ἀλλ' οἷα λυπρὰν ἄρουραν καὶ λιθώδη πρὸς διαφθορὰν μόνον πεφυκέναι τῶν ἀεὶ ζῆν ὀφειλόντων; δόγμα δὴ τίθεται κοινωφελέστατον, 212
ὅτι πᾶς ὁ δημιουργὸς ἡδονῆς σοφίας ἐστὶν ἄγονος οὔτε ἄρρην ὢν οὔτε θήλεια, διὰ τὸ μήτε διδόναι μήτε λαμβάνειν τὰ πρὸς ἀφθαρσίαν ἱκανὸς εἶναι σπέρματα, μελετᾶν δ' αἰσχίστην κατὰ τοῦ βίου μελέτην, φθείρειν τὰ ἄφθαρτα καὶ σβεννύναι τὰ μένοντα τῆς φύσεως λαμπάδια ἄσβεστα. τῶν τοιούτων οὐδενὶ ἐπιτρέπει Μωυσῆς εἰς ἐκκλησίαν ἀφικνεῖσθαι θεοῦ· 213
λέγει γὰρ ὅτι „θλαδίας καὶ ἀποκεκομμένος οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν κυρίου“ (Deut. 23,1). (52.) τί γὰρ τῷ σοφίας ἀγόνῳ λόγων

---

1 οἱ] οὗ F 2 ἑστιάτορες coni. Mang., εὐνοῦχοι Cohn 2. 3 ἀρχιμάγειφος, ἀρχιοινοχόος H 3 θαυμασιώτατος GF: θαυμάσιος UH 4 δυσὶν] δὲ H 5 ἀρχιδεσμοφύλακι Cohn: ἀρχιμαγείρῳ codd. 6 λέγει H 9 πάδοντι H δὴ GU: δ' εἴη F, δὲ H 10 οὐδὲ U 11 δὲ GF: om. UH, τε conicio 13 ἀγομένης G¹ δ' F 16 δυναμέναις H 17 διαφορὰν G¹U 18 τῶν ἐξοφειῶν. δόγμα H δὴ] δὲ coni. Mang. 19 πῶς H ὁ om. v 20 τὸ] τοῦτο H ἱκανῶς G, ἱκανὰ H, ἱκανὸν Turn. 21 μελέτην H 23 οὐδὲν U

---

18 sqq. *Origenes Comment. in Matthaeum XV 5 p. 656:* εἰ δὲ χρὴ καὶ ἱστοριῶν ἐφάψασθαι τῶν κατὰ τὰς γραφὰς μετὰ τῆς ὑποφαινομένης ἡμῖν εἰς αὐτὰς ἀναγωγῆς, φήσομεν ὅτι εἰσί τινες εὐνοῦχοι τοῦ Φαραώ, ἄγονοι παντὸς καλοῦ, ἵνα οἰνοχοῶσιν αὐτῷ καὶ σιτοποιῶσιν εὐνουχισθέντες. 23—25 N fol. 187r τῶν τοιούτων — κυρίου.

ἀκροάσεως ἱερῶν ὄφελος ἐκτετμημένῳ πίστιν καὶ παρακαταθήκην βιω-
214 φελεστάτων δογμάτων φυλάξαι μὴ δυναμένῳ; τρεῖς δ' ἄρ' εἰσὶν ἀν-
θρώπων γένους ἑστιάτορες, ἀρχισιτοποιός, οἰνοχόος, ὀψαρτυτής, εἰκότως,
ἐπειδὴ τριῶν χρήσεώς τε καὶ ἀπολαύσεως ἐφιέμεθα, σιτίων, ὄψου,
ποτῶν· ἀλλ' οἱ μὲν μόνων τῶν ἀναγκαίων, οἷς πρός τε τὸ ὑγιεινῶς καὶ
μὴ ἀνελευθέρως ζῆν ἐξ ἀνάγκης χρώμεθα, οἱ δὲ ἀμέτρων καὶ σφόδρα
περιττῶν, ἃ τὰς ὀρέξεις ἀναρρηγνύντα καὶ τὰς τοῦ σώματος δεξαμενὰς
πλήθει βαρύνοντα καὶ πιέζοντα μεγάλα καὶ | παντοδαπὰ τίκτειν νοσήματα p. 390 M.
215 φιλεῖ. οἱ μὲν οὖν ἡδονῆς καὶ ἐπιθυμίας καὶ παθῶν ἰδιῶται καθάπερ
οἱ ἐν ταῖς πόλεσι δημοτικοὶ ἀμισῆ καὶ ἀνεπαχθῆ βίον ζῶντες, ἅτε ὀλι-
γοδεεῖς ὄντες, οὐ ποικίλων καὶ περιέργων τὴν τέχνην δέονται ὑπηρετῶν,
ἀλλ' ἀποικίλῳ χρωμένων ὑπηρεσίᾳ, μαγείρων, οἰνοχόων, σιτοποιῶν·
216 οἱ δὲ ἡγεμονίαν καὶ βασιλείαν νομίζοντες εἶναι τὸ ἡδέως ζῆν καὶ πάντα
καὶ μικρὰ καὶ μείζω πρὸς τοῦτ' ἀναφέροντες ἀρχιμαγείροις καὶ ἀρχιοι-
νοχόοις καὶ ἀρχισιτοποιοῖς ὑπηρέταις ἀξιοῦσι χρῆσθαι, τουτέστιν ἄκρως
217 ἐκπεπονηκόσιν ἕκαστον ὧν ἐπετήδευσαν· τὰ μὲν γὰρ ἀμήτων καὶ μελι-
πήκτων καὶ ἄλλων ἀμυθήτων πεμμάτων ποικιλώτατα γένη οὐ μόνον
ταῖς τῆς ὕλης διαφοραῖς, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς κατασκευῆς καὶ τοῖς
σχήμασι πρὸς οὐ μόνον τὴν γεύσεως ἀλλὰ καὶ τὴν ὄψεως ἀπάτην
218 περιειργασμένα οἱ περὶ σιτοποιίαν ἄκροι μελετῶσι· τὰ δὲ περὶ ἐξέτασιν
οἴνου θᾶττον ἀναδιδομένου καὶ μὴ κεφαλαλγοῦς καὶ τοὐναντίον ἀνθίμου
καὶ εὐωδεστάτου, πολλὴν ἢ ὀλίγην ἀναδεχομένου τὴν μεθ' ὕδατος
κρᾶσιν εἰς σφοδρὸν καὶ σύντονον ἢ πρᾷον καὶ ἀνειμένον ἐπιτηδείου
πότον καὶ ὅσα τοιουτότροπα ἀρχιοινοχόων ἐπιτηδεύματα ἐπ' αὐτὸ δὴ
219 τῆς τέχνης ἀφιγμένων τὸ τέλος· ἰχθύας δὲ καὶ ὄρνεις καὶ τὰ παρα-
πλήσια ποικίλως ἀρτῦσαι καὶ κατασκευάσαι καὶ ὅσα ἄλλα ὄψα ἡδῦναι
περιττοὶ τὴν ἐπιστήμην εἰσὶν εὐτρεπεῖς ὀψαρτυταί, μυρία χωρὶς ὧν
ἤκουσαν ἢ εἶδον ἄλλ' ἐκ τῆς συνεχοῦς μελέτης καὶ τριβῆς τῶν εἰς ἄβρο-
220 δίαιτον καὶ τεθρυμμένον τὸν ἀβίωτον βίον ἐπινοῆσαι δεινοί. (53.) ἀλλὰ

---

1 ἐκτετιμημένω F 5 ποτοῦ H μόνον G οἷς] οἱ GU 8 τίκτει UH
9 ἐπιθυμιῶν H 10 ταῖς] τοῖς H 12 ἀλλ' ἀποικίλῳ Mang.: ἀλλὰ ἀποικίλων
GUF, ἀλλὰ ποικίλω H χρῶνται conicio 13 εἶναι νομίζοντες H
παρὰ ante πάντα add. Fl.² 18 τῷ om. L τρόπον H 20 σιτοπονίαν FH
21 ἀναδιδόμενα H ἀνθίμου (vel ἀνθοσμίου) Mang.: ἀναίμου codd. 22 εὐωδεστά-
του UF: ἀωδεστάτου GH 23 εἰς U: καὶ GFH ἐπιτήδειον H 24 πότον
scripsi: ποτὸν codd. 25 ὄρνις F 26 σκευάσαι H 27 εὐτρεπεῖς Mang. e cod.
Coll. S. Trin.: εὐπρεπεῖς ceteri 28 ἢ] καὶ G συνεχοῦς H: συνεχούσης GUF
τῶν GF: τὸν U, τῆς H

γὰρ οὗτοι πάντες ἐδείχθησαν εὐνοῦχοι, σοφίας ἄγονοι· πρὸς ὃν δὲ συμβατηρίους τίθεται σπονδὰς ὁ γαστρὸς βασιλεύς, νοῦς, οἰνοχόος ἦν· φίλοινον γὰρ ὑπερφυῶς τὸ ἀνθρώπων γένος καὶ πρὸς μόνον τοῦτο διαφερόντως ἀκόρεστον, εἴ γε ὕπνου μὲν καὶ ἐδωδῆς καὶ συνουσίας καὶ τῶν ὁμοίων ἀπλήρωτος οὐδείς, ἀκράτου δὲ σχεδὸν ἅπαντες καὶ μάλισθ' οἷς τὸ πρᾶγμα ἀσκεῖται· πιόντες γὰρ ἔτι διψῶσι καὶ ἄρχονται μὲν 221
ἀπὸ τῶν βραχυτέρων κυάθων, προϊόντες δὲ ταῖς μείζοσιν οἰνοχόαις ἐγχεῖν παραγγέλλουσιν· ἐπειδὰν ⟨δ'⟩ ἀκροθώρακες γενόμενοι χλιανθῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν δυνάμενοι τὰς οἰνηρύσεις καὶ τὰς ἀμύστεις καὶ
p. 391 M. τοὺς κρατῆρας ὅλους προσενεγκάμενοι ἀκράτου σπῶσιν ἀθρόως, | μέχρις
11 ἂν ἢ βαθεῖ ὕπνῳ δαμασθῶσιν ἢ τῶν ὄγκων ἀποπληρωθέντων ὑπερβλύσῃ τὸ ἐπεισχεόμενον. ἀλλὰ καὶ τότε ὅμως ἡ ἄπληστος ἐν αὐτοῖς 222
ὄρεξις ὥσπερ ἔτι λιμώττουσα μαιμάζει· „ἐκ γὰρ τῆς ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν“ ᾗ φησι Μωυσῆς „καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρ-
15 ρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς· θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος“ (Deut. 32,32.33)· Σόδομα μέντοι στείρωσις καὶ τύφλωσις ἑρμηνεύεται, ἀμπέλῳ δὲ καὶ τοῖς ἐξ αὐτῆς γινομένοις ἀπεικάζει τοὺς οἰνοφλυγίας καὶ λαιμαργίας καὶ τῶν αἰσχίστων ἡδονῶν ἥττους. ἃ δὲ αἰνίττεται, τοιαῦτ' ἐστίν· εὐφρο- 223
20 σύνης μὲν ἀληθοῦς οὐδὲν ἐμπέφυκε τῇ τοῦ φαύλου ψυχῇ φυτὸν ἅτε οὐχ ὑγιαινούσαις κεχρημένῃ ῥίζαις, ἀλλὰ ἐμπεπρησμέναις καὶ τεφρωθείσαις, ὁπότε ἀνθ' ὕδατος τὰς κεραυνίους φλόγας θεοῦ τὴν κατὰ ἀσεβῶν καλῶς δικάσαντος δίκην ὁ οὐρανὸς ἀσβέστους ἔνιφεν, ἀκράτορος δὲ ἐπιθυμίας τῆς ἐστειρωμένης τὰ καλὰ καὶ πεπηρωμένης πρὸς πάντα
25 τὰ θέας ἄξια, ἣν ἀμπέλῳ παραβέβληκεν, οὐχὶ τῇ καρπῶν ἡμέρων μητρί, ἀλλὰ ἥτις πικρίας καὶ πονηρίας καὶ πανουργίας ὀργῆς τε καὶ

---

2 τίθενται HL 2 ἦν οἰνοχόος transpos. F 3 τοῦτον G 5 μάλιστ' H 8 δ' addidi 9. 10 τὰς — προσενεγκαμενοι om. H 9 οἰνηρύσεις Turn.: οἰνηρεύσεις codd. τὰς ἀμύστεις Turn.: τοὺς ἀμυστεῖς codd. 10 ἀκράτου σπῶσιν U: ἀκράτους πίνωσιν GFH, ἀκράτους πίνουσιν V μέχρι G 11 βαθὺ G post δαμασθῶσιν add. ex lin. 9 οὐκέτι κρατεῖν ἑαυτῶν δυνάμενοι H 12 ἐν om. U 13 μαιμάζει Benzelius: μαρμάζει codd. τῆς Turn.: τοῦ GUF, τὸ H 15 ὁ βότρυς H 17 ἄμπελος H 18 ἀπεικάζειν Turn. prius καὶ om. G 19 τοιαῦτά ἐστιν G 19. 20 ἀφροσύνης F εὐφροσύνη μὲν ἀληθῆ οὐδὲ H 20 τῆς et ψυχῆς H φαύλου] φιλαύτου L 23 ἀρετῶν H ὁ om. H ἔνιφεν F: ἔνηφεν UH, ἐνέφηνεν G ἀκράτορος Mang.: ἀκρότητος GUFL², ἀκρότητα HL¹ 24 τὰ — πεπηρωμένης om. U πεπειρωμένης L λ 25 ἄμπε H 26 μητριᾶ G ἀλλ' H εἴ τις F καὶ πονηρίας F: om. GUH

θυμοῦ καὶ ἀκραχολωτάτων ἠθῶν οἰστικὴ γέγονε, δάκνουσα τὴν ψυχὴν
224 ἔχεων καὶ ἀσπίδων τρόπον ἰοβόλων καὶ παντελῶς ἀνίατα. ὧν ἀποτροπὴν εὐχώμεθα γενέσθαι τὸν πάντα ἵλεω ποτνιώμενοι θεόν, ἵνα καὶ τὴν ἀγρίαν ταύτην ἄμπελον διολέσῃ καὶ τοῖς εὐνούχοις καὶ πᾶσιν ἀγόνοις ἀρετῆς ἀίδιον ψηφίσηται φυγήν, ἀντὶ δὲ τούτων ἥμερα μὲν ταῖς ψυχαῖς ἡμῶν δένδρα τὰ παιδείας ὀρθῆς ἐμφυτεύσῃ, γενναίους δὲ καὶ ἄρρενας ὡς ἀληθῶς καρποὺς καὶ λόγους χαρίσηται δυναμένους μὲν σπείρειν καλὰς πράξεις, δυναμένους δὲ συναύξειν ἀρετάς, ἱκανοὺς δὲ τὴν εὐδαιμονίας ἅπασαν συνέχειν καὶ διαφυλάττειν εἰς ἀεὶ συγγένειαν.

---

1 ἀκροχολωτάτων FH 2 ἐχθρῶν GF τρόπων G ἰοβόλων H: ἰοβόλα GUF 3 εὐχόμεθα FH ἵλεων FH 4 πάσης coni. Mang. 5 ψηφίσεται H 6 δένδρα ἡμῶν GUH δὲ om. H 8 συνάξειν U 9 εὐδαιμονίαν H εἰς om. H subscriptio in G: φίλωνος περὶ μέθης

ΠΕΡΙ ΩΝ ΝΗΨΑΣ Ο ΝΩΕ ΕΥΧΕΤΑΙ ΚΑΙ ΚΑΤΑΡΑΤΑΙ

I p. 392 M. (1.) Τὰ περὶ μέθης καὶ τῆς ἑπομένης αὐτῇ γυμνότητος εἰρημένα 1
τῷ νομοθέτῃ διεξεληλυθότες πρότερον ἁρξώμεθα τοῖς λεχθεῖσι τὸν ἑξῆς
προσαρμόττειν λόγον· περίεστι τοίνυν ἐν τοῖς χρησμοῖς ἀκόλουθα τάδε·
„ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς
αὐτοῦ ὁ νεώτερος“ (Gen. 9,24). τὸ νήφειν οὐ μόνον ψυχαῖς ἀλλὰ καὶ 2
σώμασιν ὠφελιμώτατον ἀνωμολόγηται· τάς τε γὰρ ἐξ ἀμέτρου πλησμονῆς
γινομένας νόσους ἀπωθεῖται καὶ τὰς αἰσθήσεις πρὸς ἄκρας ὀξύτητας
ἀκονᾷ καὶ ὅλα μέντοι τὰ σώματα οὐκ ἐᾷ βαρυνόμενα πίπτειν, ἀλλ'
ἐξαίρει καὶ ἐπικουφίζει καὶ πρὸς τὰς οἰκείους ἐνεργείας ἀνακαλεῖ πᾶσι
τοῖς μέρεσιν ἑτοιμότητα ἐντίκτον· καὶ συνόλως ὅσων δημιουργὸς κακῶν
ἡ μέθη, τοσούτων ἔμπαλιν ἀγαθῶν τὸ νηφάλιον. ὁπότ' οὖν καὶ σώ- 3
μασιν, οἷς ἡ οἴνου πόσις οἰκεῖον, λυσιτελέστατον τὸ νήφειν, οὐ πολὺ
μᾶλλον ψυχαῖς, ὧν φθαρτὴ τροφὴ πᾶσα ἀλλότριον; νηφούσης γὰρ δια-
νοίας τί τῶν παρὰ ἀνθρώποις μεγαλειότερον; τίς δόξα; τίς πλοῦτος; τίς
δυναστεία; τίς ἰσχύς; τί τῶν πάντων ὅσα θαυμάζεται; φέρε μόνον τὸ
ψυχῆς ὄμμα ὅλον ἰσχῦσαι δι' ὅλων διοιχθῆναι καὶ μηδὲν οἷα ὑπὸ ῥεύ-
ματος συγχυθῆναι μέρος ἢ καταμῦσαι· τότε γὰρ μάλιστα ὀξυωπῆσαν,
p. 393 M. σύνεσιν καὶ φρόνησιν αὐτὴν ἐμβλέπον, τοῖς νοητοῖς | ἀγάλμασιν ἐντεύξεται,
ὧν ἡ θέα ψυχαγωγοῦσα πρὸς οὐδὲν ἔτι τῶν αἰσθητῶν ἀπονεύειν ἐάσει.

περὶ ὧν νήψας ὁ νοῦς (Νῶε cum G^2 scripsi) εὔχεται καὶ καταρᾶται F: περὶ ὧν ἀνανήψας ὁ νοῦς (νῶε in mg.) εὔχεται καὶ καταρᾶται G, περὶ τοῦ ἐξένηψε νῶε H 1 αὐτῷ F τὰ ante εἰρημένα add. G 2 ἁρξώμεθα F: ἁρξόμεθα GH 3 περίεστι Mang.: περιέσται codd. 5 αὐτοῦ G: om. FH ψυχῇ H 9 ἐπικουφιζοι H οἰκείους G: οἰκείας FH 10 ἑτοιμότατα ἐμπίπτον H 12 λυσιτελὲς οἰκεῖον τὸ H τὸ om. GF 13 τροφὴ om. GF 14 τῶν GH: τὸ F 15 πάντων] παρόντων FL^2 16 τῆς ψυχῆς H διανοιχθῆναι G 17 καταλῦσαι G 18 ante σύνεσιν add. καὶ G σύνεσ

4 καὶ τί θαυμάζομεν, εἰ τῷ νηφαλίῳ τῆς ψυχῆς καὶ βλέποντι ὀξυωπέστατα τῶν γένεσιν λαχόντων μηδέν ἐστιν ἰσότιμον; καὶ γὰρ οἱ τοῦ σώματος ὀφθαλμοὶ καὶ τὸ αἰσθητὸν φῶς περιττῶς πρὸς ἡμῶν πάντων τετίμηται· πολλοὶ γοῦν τῶν τὰς ὄψεις ἀποβαλόντων καὶ τὸ ζῆν ἑκουσίως προσαπέβαλον κουφότερον κακὸν πηρώσεως θάνατον εἶναι δικάσαντες ἑαυτοῖς. 5
5 ὅσῳ τοίνυν ψυχὴ σώματος κρείττων, τοσούτῳ καὶ νοῦς ὀφθαλμῶν ἀμείνων· ὃς εἴπερ ἀπήμων εἴη καὶ ἀζήμιος πρὸς μηδενὸς τῶν μέθην παράφορον ἐργαζομένων ἀδικημάτων ἢ παθῶν πιεσθείς, ὕπνῳ μὲν ἀποτάξεται λήθην καὶ ὄκνον ἐμποιοῦντι τῶν πρακτέων, ἐγρήγορσιν δὲ ἀσπασάμενος πρὸς τὰ θέας ἄξια πάντα ὀξυδορκήσει, μνήμαις μὲν ὑποβαλλούσαις ἐγει- 10
ρόμενος, πράξεσι δὲ τοῖς γνωσθεῖσιν ἑπομέναις χρώμενος.

6 (2.) Τοῦ μὲν δὴ νήφοντος κατάστασίς ἐστι τοιαύτη. „νεώτερον“ δ' ὅταν φῇ „υἱόν“, οὐχ ἡλικίας ὄνομα ἀναγράφει, νεωτεροποιίαν δὲ ἀγαπῶντος ἐμφαίνει τρόπου διάθεσιν. ἐπεὶ πῶς ἂν ἢ τὰ ἀθέατα κατιδεῖν παρὰ νόμον καὶ δίκην ἐβιάσατο ἢ ἐκλαλῆσαι τὰ ὀφείλοντα ἡσυχάζεσθαι 15
ἢ εἰς τοὐμφανὲς προενεγκεῖν τὰ δυνάμενα οἴκοι συσκιάζεσθαι καὶ τοὺς ψυχῆς ὅρους μὴ ὑπερβαίνειν, εἰ μὴ νεωτέρων πραγμάτων ἥπτετο γελῶν τὰ ἑτέροις συμπίπτοντα, δέον ἐπιστένειν καὶ μὴ χλευάζειν ἐφ' οἷς εἰκὸς
7 ἦν καὶ εὐλαβούμενον τὸ μέλλον σκυθρωπάζειν; πολλαχοῦ μέντοι τῆς νομοθεσίας καὶ τοὺς ἡλικίᾳ προήκοντας νέους καὶ τοὺς μηδέπω γεγηρα- 20
κότας ἔμπαλιν ὀνομάζει πρεσβυτέρους, οὐκ εἰς πολυετίαν ἀφορῶν ἢ βραχὺν καὶ μήκιστον χρόνον, ἀλλ' εἰς ψυχῆς δυνάμεις κινουμένης εὖ τε καὶ
8 χεῖρον· τὸν γοῦν Ἰσμαὴλ εἰκοσαετίαν ἤδη που βεβιωκότα σχεδὸν κατὰ τὴν πρὸς τὸν ἐν ἀρεταῖς τέλειον Ἰσαὰκ σύγκρισιν ὀνομάζει παιδίον· „ἔλαβε“ γάρ φησιν „ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκεν Ἄγαρ, καὶ 25
ἐπέθηκεν ἐπὶ τὸν ὦμον καὶ τὸ παιδίον“, ἡνίκα αὐτοὺς οἴκοθεν Ἀβραὰμ ἐξέ-ε-μψε, καὶ πάλιν „ἔρριψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης“, καὶ „οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου“ (Gen. 21, 14—16)· καίτοι πρὸ μὲν τῆς γενέσεως Ἰσαὰκ τρισκαίδεκα γεγονὼς ἐτῶν Ἰσμαὴλ περιτέτμηται (Gen. 17,25), περὶ δὲ τὴν ἑπταέτιν ἡλικίαν παυσαμένου τῆς ἐν γάλακτι 30

---

1 εἰ] ἢ G^1 1. 2 ὀξυωπεστάτων γένεσιν GF 4 ἀποβαλλόντων F 5 δοξάσαντες coni. Cohn 7 μέθην G^2: μέθη G^1FH 7. 8 παραφόρῳ v 9 ἐγρήγορσι H 10 τὰς θέας H μνήμαις] γνώμαις conicio 12 δὲ H 13. 14 ὄνομα — διάθεσιν om. F 13 δὲ] δὴ H 15 παράνομον G^1F ὀφείλοντα scripsi: ὀφειλόμενα codd. 19 ⟨εἰσοῦντα⟩ vel ⟨αἰσθόμενον⟩ καὶ conicio τὸ μέλλον] μᾶλλον conicio μέλλειν L 20 προσήκοντας H 21 πολυετίαν ⟨καὶ ὀλιγοετίαν⟩ conicio 23 γοῦν] γὰρ H ἡδή που GF: δέ που H. δήπου L 26 ἐπέθηκε H, om. G Ἀβραὰμ FH 27 ἐλάττης H 30. 217.1 παυσαμένου et ἐκείνου Mang.: παυσαμένω et ἐκείνω codd.

τροφῆς ἐκείνου τῷ τὴν ἐν παιδιαῖς ἰσότητα φέρεσθαι νόθος γνησίῳ
p. 394 M. | φυγαδεύεται σὺν τῇ τεκούσῃ. ἀλλ' ὅμως παιδίον νεανίας ὢν ἤδη 9
καλεῖται ὁ σοφιστὴς ἀντεξεταζόμενος σοφῷ· σοφίαν μὲν γὰρ Ἰσαάκ,
σοφιστείαν δὲ Ἰσμαὴλ κεκλήρωται, ὡς, ἐπειδὰν ἑκάτερον χαρακτηρί-
ζωμεν, ἐν τοῖς ἰδίοις λόγοις ἐπιδείκνυμεν. δν γὰρ ἔχει λόγον κομιδῇ
νήπιον παιδίον πρὸς ἄνδρα τέλειον, τοῦτον καὶ σοφιστὴς πρὸς σοφὸν καὶ
τὰ ἐγκύκλια τῶν μαθημάτων πρὸς τὰς ἐν ἀρεταῖς ἐπιστήμας. (3.) καὶ 10
ἐν ᾠδῇ μέντοι μείζονι τὸν λεὼν ἅπαντα, ὁπότε νεωτερίζοι, τὸ τῆς
ἄφρονος καὶ νηπίας ὄνομα ἡλικίας, τέκνα, καλεῖ· „δίκαιος" γάρ φησι
„καὶ ὅσιος ὁ κύριος· ἥμαρτον οὐκ αὐτῷ τέκνα μωμητά· γενεὰ σκολιὰ
καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; οὕτως λαὸς μωρὸς καὶ
οὐχὶ σοφός;" (Deut. 32, 4—6). οὐκοῦν τέκνα ἐναργῶς ὠνόμακε τοὺς 11
μώμους ἔχοντας ἄνδρας ἐν ψυχῇ καὶ μωρίᾳ καὶ ἀνοίᾳ τὰ πολλὰ σφαλλο-
μένους ἐν ταῖς κατὰ τὸν ὀρθὸν βίον πράξεσιν, οὐκ εἰς τὰς ἐν παισὶ
σώματος ἡλικίας ἀπιδών, ἀλλ' εἰς τὸ τῆς διανοίας ἀλόγιστον καὶ πρὸς
ἀλήθειαν βρεφῶδες. οὕτως μέντοι καὶ Ῥαχήλ, ἡ σώματος εὐμορφία, 12
νεωτέρα Λεία, τοῦ κατὰ ψυχὴν κάλλους, ἀναγράφεται· ἡ μὲν γὰρ θνητή,
τὸ δ' ἐστὶν ἀθάνατον, καὶ ὅσα μέντοι τίμια πρὸς αἴσθησιν, ἑνὸς μόνου
τοῦ κατὰ ψυχὴν κάλλους ἀτελέστερα. οἷς ἀκολουθεῖ καὶ τὸν Ἰωσὴφ
νέον τε καὶ νεώτατον αἰεὶ λέγεσθαι· καὶ γάρ, ὅταν ἐπιστατῇ τῆς ποίμνης
μετὰ τῶν νόθων ἀδελφῶν, νέος προσαγορεύεται (Gen. 37, 2), καὶ ὅταν
εὔχηται ὁ πατὴρ αὐτῷ, φησίν· „υἱὸς ηὐξημένος νεώτατος πρὸς μὲ ἀνά-
στρεψον" (Gen. 49, 22). οὗτος δέ ἐστιν ὁ τῆς περὶ τὸ σῶμα ἁπάσης 13
ὑπέρμαχος δυνάμεως καὶ ὁ τῆς τῶν ἐκτὸς ἀφθονίας ἀκολάκευτος ἑταῖρος,
ὁ τῆς πρεσβυτέρας ψυχῆς πρεσβύτερον καὶ τιμιώτερον ἀγαθὸν μήπω
τέλειον εὑρημένος. εἰ γὰρ εὕρητο, κἂν ὅλην Αἴγυπτον ἀμεταστρεπτὶ
φεύγων ᾤχετο· νυνὶ δὲ ἐπὶ τῷ τρέφειν αὐτὴν καὶ τιθηνοκομεῖν μάλιστα

---

1 τῶ H: om. GF, διὰ τὸ conicio παιδειαῖς F 3 σοφία G 4 ἐπειδὴ γὰρ ἑκάτερον H 5 ἐν H: ἢ GF τοῖς ἰδία λόγοις GF: τισι διαλόγοις H ἐπιδείξομεν conicio 10 οὐκ om. G 11 ἀνταποδίδοται G οὕτως H: οὕτος F, οὕτω G 12 τέκνα Benzelius: τὲ GF, om. H 13 ἀνοία H: ἐν οἷα G, ἐννοίᾳ F, ἀγνοίᾳ coni. Mang. 14 βίον] λόγον conicio 15 ἀλόγιστον H: λογιστὸν G^1, λογιστικὸν G^2, εὐόλισθον F 16 οὕτω H 17 τοῦ G^2: om. G^1FH ψυχὴν κάλλους GF: ψυχῆς κάλλος H 18 μέντοι τί τίμια H 19 κάλλους Mang.: καλῶν GF, καλοῦ H 20 νεώτερον F ἀεὶ G 22 αὐτοῦ coni. Mang. 24 ἀκολακεύτως G 25 ⟨τὸ⟩ τῆς conicio 26 τελείως conicio εὕροιτο H, εὕρετο conicio κἂν Cohn: καὶ codd. 27 τρέφοντι H, τρέφειν τε Turn.

σεμνύνεται, ἧς τὸ μάχιμον καὶ ἡγεμονεῦον ὅταν ἴδῃ ὁ ὁρῶν καταπεπον-
14 τωμένον καὶ διεφθαρμένον, ὕμνον εἰς τὸν θεὸν ᾄδει. νέος μὲν οὖν
τρόπος ὁ μήπω δυνάμενος μετὰ τῶν γνησίων ἀδελφῶν ποιμαίνειν, τὸ δ'
ἐστὶ τῆς κατὰ ψυχὴν ἀλόγου φύσεως ἄρχειν τε καὶ ἐπιτροπεύειν, ἀλλ'
ἔτι μετὰ τῶν νόθων, ⟨οἷς⟩ τὰ δοκήσει πρὸ τῶν γνησίων καὶ τῷ εἶναι 5
15 παραριθμουμένων ⟨ἀγαθῶν⟩ τετίμηται. νεώτατος δέ, κἂν ἐπίδοσιν καὶ
αὔξησιν πρὸς τὸ ἄμεινον λάβῃ, παρὰ τῷ τελείῳ νενόμισται μόνον ἀγαθὸν
ἡγουμένῳ τὸ καλόν· οὗ χάριν προτρέπων φησί· „πρὸς μὲ ἀνάστρεψον,"
ἴσον τῷ πρεσβυτέρας γνώμης ὀρέχθητι, μὴ πάντα νεωτέριζε, ἤδη ποτὲ
τὴν ἀρετὴν δι' αὐτὴν μόνην | στέρξον, μὴ καθάπερ παῖς ἄφρων τῇ τῶν p. 395 M.
τυχηρῶν λαμπρότητι περιαυγαζόμενος ἀπάτης καὶ ψευδοῦς δόξης ἀνα- 11
16 πίμπλασο. (4.) ὡς μὲν τοίνυν πολλαχοῦ νέον οὐκ εἰς τὴν σώματος
ἀκμήν, ἀλλ' εἰς τὴν ψυχῆς νεωτεροποιίαν ἀφορῶν εἴωθε καλεῖν, ἐπι-
δέδεικται. ὡς δὲ καὶ πρεσβύτερον οὐ τὸν γήρᾳ κατεσχημένον, ἀλλὰ τὸν
17 γέρως καὶ τιμῆς ἄξιον ὀνομάζει, δηλώσομεν. τίς οὖν ἀγνοεῖ τῶν ἐντε- 15

---

1 ἤδη G 3 ἀδελφῶν scripsi: ἀρετῶν GF, εὑρετῶν H 5 νόθων Mang.: ἀγαθῶν codd. οἷς addidi τῷ] τὸ G 6 ἀγαθῶν addidi 10 αὐ-τὴν v 11 ἀπάσης ψευδοῦς G 13 τὴν τῆς ψυχῆς H 14 κατισχημένον F 14. 15 τὸν ἐνγέρως H δηλώσωμεν L

---

14 sqq. *Origenes Selecta in Genesim p. 36 (ad Gen. 18, 11):* μήποτε ἐπὶ δικαίων μόνων τὸ „προβεβηκότες ἡμερῶν" τέτακται· ὅπερ ἐὰν οὕτως ἔχῃ, οὐδεὶς φαῦλος προβέβηκε. — *Homilia in Genesim III 3 p 67:* quanti ante eos longioribus annorum spatiis vitam duxere nongentis et eo amplius annis, aliqui non multo minus usque ad diluvium vixere: et nulli ex his presbyteri appellati sunt. non enim hoc nomine in Abraham senecta corporis, sed cordis maturitas appellata est. sic et ad Mosen dominus dicit: elige tibi presbyteros, quos tu ipse scis presbyteros esse ..... numquid is qui senilem corporis gerebat aetatem non omnium oculis perspicuus erat, quod esset presbyter, id est senex? quid ergo soli Mosi, tanto ac tali prophetae, specialis ista mandatur inspectio, ut illi eligantur non quos ceteri homines norunt, sed quos propheta deo plenus elegerit? non enim erga eos de corpore, non de aetate, sed de mente iudicium est. — *Homilia in Genesim IV 4 p. 72:* quantum ad aetatem corporis pertinet, multi ante ipsos numerosioribus annis duxerant vitam, nemo tamen presbyter appellatus est. unde videtur nomen hoc sanctis non longaevitatis ratione, sed maturitatis ascribi. — *Homilia in Iosuam XVI p. 435:* Etiam ante nos quidam observantes notarunt in scripturis, quia presbyteri vel seniores non ex eo appellantur, quod longaevam duxerint vitam, sed pro maturitate sensus et gravitate vitae veneranda hac appellatione decorentur .... si enim prolixitate appellandus, qui presbyter vel senior videretur, quem magis oportebat alium hoc nomine censeri quam primum Adam vel certe Mathusalem aut Noe, qui utique longe pluribus quam ceteri annis in hoc mundo vixisse declarantur? sed nunc videamus quod ex illis quidem nullus refertur a

τυχηκότων ταῖς ἱερωτάταις βίβλοις, ὅτι σχεδὸν τῶν προγόνων ἑαυτοῦ πάντων ὁ σοφὸς Ἀβραὰμ ὀλιγοχρονιώτατος εἰσάγεται; κἀκείνων μέν, οἶμαι, οἳ μακροβιώτατοι γεγόνασιν, οὐδὲ εἷς, οὑτοσὶ δὲ ἀναγέγραπται πρεσβύτερος· φασὶ γοῦν οἱ χρησμοί, ὅτι „Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς καὶ κύριος εὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα“ (Gen. 24,1). τοῦτό μοι δοκεῖ τὸ προκείμενον αἰτίας ἀπόδοσις εἶναι, δι' ἣν πρεσβύτερος ἐλέχθη ὁ σοφός· ἐπιφροσύνη γὰρ θεοῦ τὸ λογικὸν τῆς ψυχῆς μέρος ὅταν εὖ διατεθῇ καὶ μὴ καθ' ἓν εἶδος ἀλλὰ κατὰ πάσας τὰς ἐπιβολὰς εὐλογιστῇ, πρεσβυτέρᾳ χρώμενον γνώμῃ καὶ αὐτὸ δήπου πρεσβύτερόν ἐστιν. οὕτως καὶ τοὺς συνέδρους τοῦ θεοφιλοῦς τὸν δέκα ἑβδομάδων ἀριθμὸν εἰληχότας πρεσβυτέρους ὀνομάζειν ἔθος· λέγεται γάρ· „συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς αὐτὸς σὺ οἶδας ὅτι οὗτοί εἰσι πρεσβύτεροι“ (Num. 11, 16). οὐκοῦν οὐ τοὺς ὑπὸ τῶν τυχόντων γέροντας νομιζομένους ὡς ἱεροφάντας, ἀλλ' οὓς ὁ σοφὸς οἶδε μόνος, τῆς τῶν πρεσβυτέρων ἠξίωσε προσρήσεως· οὓς μὲν γὰρ ἂν οὗτος ἀποδοκιμάσῃ καθάπερ ἀργυραμοιβὸς ἀγαθὸς ἐκ τοῦ τῆς ἀρετῆς νομίσματος, κεκιβδηλευμένοι νεωτεροποιοὶ τὰς ψυχὰς ἅπαντες· οὓς δ' ἂν γνωρίμους ἐθελήσῃ ποιήσασθαι, δόκιμοί τε καὶ τὸ φρόνημα πρεσβύτεροι κατὰ τὸ ἀναγκαῖόν εἰσιν. (5.) ἐνὶ μέντοι νόμου διατάγματι τοῖς ἀκούειν ἐπισταμένοις ἑκάτερον ὧν εἶπον ἐναργέστερον φανεῖται δεδηλωκώς· „ἐὰν γὰρ γένωνται“ φησίν „ἀνθρώπῳ δύο γυναῖκες, ἠγαπημένη καὶ μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ 18 19 20 21

---

2 σοφώτατος v Ἀβραὰμ H 4 φασὶ γοῦν Cohn: φασὶν οὖν codd. φασὶν — πρεσβύτερος om. H Ἀβραὰμ G 5 Ἀβραὰμ codd. κατὰ] καὶ L 6 τὸ GF: τὸν H, τῶν v προσκείμενον F, προκειμένων v 7 ἐλέγχθη H 9 ἐπιβουλὰς G εὐλογιστῇ G¹F (ση s. s. G²): εὐλογισθῇ H γνώμη χρώμενον H δήπου H: δήμου GF 10 οὕτω FH τὸν δέκα Mang: τὸν ἕνδεκα GF, δι' ὃν ἕνδεκα H, λαοῦ ἕνδεκα v (Turn.) 11 εἰληφότας FL² 14 ὑπὸ] ἀπὸ F 15 ἀξιῶσαι GF 17 κιβδηλευόμενοι H, καὶ κιβδηλευόμενοι L ἁπάντων H 18 τὸ om. L φρόνιμα H 19 εἰσὶ H 20 ὧν F: ὧν ἂν GH 20. 21 δεδηλωκός G² 22 καὶ τέκωσιν — μισουμένη om. GH

---

scriptura presbyter aut senex appellatus, sed is qui longe brevioris temporis vitam duxit, primus in scripturis sanctis Abraham presbyter vel senior appellatur. dictum est etiam ad Moysen a domino: elige tibi ab omni populo presbyteros, quos tu nosti quia presbyteri sunt. — *Hieronymus Comment. in Isai. cap. III,2:* qui scierit in scripturis sanctis presbyteros merito et sapientia eligi, non aetate ... nam et Moysi praecipitur, ut eligat presbyteros, quos scit esse presbyteros ... nullus alius prius appellatus est presbyter, id est senex, nisi Abraham, qui multo paucioribus annis vixisse convincitur.

γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης, ᾗ ἂν ἡμέρᾳ κληροδοτῇ τοῖς υἱοῖς τὰ ὑπάρχοντα, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον· ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἐὰν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ καὶ τούτῳ
22 καθήκει τὰ πρωτοτόκια“ (Deut. 21,15—17). | παρατετήρηκας ἤδη, ὅτι p. 396 M.
τὸν μὲν τῆς στεργομένης υἱὸν οὐδέποτε πρωτότοκον ἢ πρεσβύτερον καλεῖ, τὸν δὲ τῆς μισουμένης πολλάκις· καίτοι τοῦ μὲν τὴν γένεσιν προτέρου, τοῦ δὲ ἐκ τῆς στυγουμένης ὑστέρου δεδήλωκεν εὐθὺς ἀρχόμενος τῆς προστάξεως· „ἐὰν γὰρ τέκωσι“ φησίν „ἡ ἠγαπημένη καὶ ἡ μισουμένη.“
ἀλλ' ὅμως τὸ μὲν τῆς προτέρας γέννημα, κἂν πολυχρονιώτερον ᾖ, νεώτερον παρ' ὀρθῷ λόγῳ δικάζοντι νενόμισται, τὸ δὲ τῆς ὑστέρας, κἂν ἐν τοῖς κατὰ τὴν γένεσιν χρόνοις ὑστερίζῃ, τῆς μείζονος καὶ πρεσβυτέρας
23 μοίρας ἠξίωται. διὰ τί; ὅτι τῶν γυναικῶν τὴν μὲν στεργομένην ἡδονῆς, τὴν δὲ στυγουμένην φρονήσεως εἶναί φαμεν σύμβολον· τῆς μὲν γὰρ ὁ πολὺς ὅμιλος ἀνθρώπων τὴν συνουσίαν ὑπερφυῶς ἀγαπᾷ δελέατα καὶ φίλτρα ἐξ ἑαυτῆς ἐπαγωγότατα ἐνδιδούσης ἀπὸ γενέσεως ἀρχῆς ἄχρι πανυστάτου γήρως, τῆς δὲ ἐκτόπως τὸ αὐστηρὸν καὶ περίσεμνον διαμεμίσηκε καθάπερ οἱ ἄφρονες παῖδες τὰς τῶν γονέων καὶ τρεφόντων ὠφε-
24 λιμωτάτας μὲν ἀτερπεστάτας δὲ ὑφηγήσεις. τίκτουσι δ' ἀμφότεραι, ἡ μὲν τὸν φιλήδονον, ἡ δ' αὖ τὸν φιλάρετον ἐν ψυχῇ τρόπον. ἀλλ' ὁ μὲν φιλήδονος ἀτελὴς καὶ ὄντως ἀεὶ παῖς ἐστι, κἂν εἰς πολυετίας αἰῶνα μήκιστον ἀφίκηται, ὁ δ' αὖ φιλάρετος ἐν γερουσίᾳ τῆς φρονήσεως ἐξ ἔτι
25 σπαργάνων, τὸ τοῦ λόγου δὴ τοῦτο, ἀγήρως ὢν τάττεται· παρὸ καὶ λίαν ἐμφαντικῶς εἴρηκεν ἐπὶ τοῦ τῆς μισουμένης ὑπὸ τῶν πολλῶν ἀρετῆς γεγονότος, ὅτι „οὗτός ἐστιν ἀρχὴ τέκνων“, καὶ τάξει καὶ ἡγεμονίᾳ δήπου πρῶτος ὤν, „καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια“ νόμῳ φύσεως, οὐκ
26 ἀνομίᾳ τῇ παρ' ἀνθρώποις. (6.) ἑπόμενος οὖν αὐτῷ καὶ ὥσπερ ἐπὶ προτεθέντα σκοπὸν ἀφιεὶς εὐστόχως τὰ βέλη κατὰ ἀκολουθίαν εἰσάγει

---

5 ἐὰν] ἂν v τοῦτο G 8. 9 πρότερον et ὕστερον conicio
9 ὑστάτου H alterum τῆς GF: ἀπὸ τῆς H 13 γέννησιν H ὑστερίζῃ Turn.: ὑστερίζοι codd. 14 μοίρας GFL²: ῥώμης HL¹ στέργομεν H
16 ὑπερφυῶς H: ὑπὸ φύσεως F, om. G 17 ἐπαγωγότατα Turn.: ἀγωγιώτατα G, ἀγαγότα HL¹, ἀγιώτατα F, ἀγνότατα L² 18 γέρως F 19 καὶ om. G
21 prius τὸν] τὴν H ὁ] ἡ H 22 οὕτως G αἰῶνας G 23 ἀφίκηται scripsi: ἀφίκοιτο codd. ἑξέτι GH 25 ἐπὶ GF: ὑπὸ H τοῦ ⟨ἐκ⟩ conicio 26 ἀρχιτέκτων F 27 τοῦτο G 28 αὐτῷ] τούτῳ conicio
29 κατ' G

τὸν Ἰακὼβ γενέσει μὲν τοῦ Ἡσαῦ νεώτερον — ὅτι ἀφροσύνη μὲν ἐκ πρώτης ἡλικίας ἐστὶν ἡμῖν σύντροφος, ὀψίγονος δ' ὁ τοῦ καλοῦ ζῆλος —, δυνάμει δὲ πρεσβύτερον· παρὸ καὶ τῶν πρωτοτοκίων ὁ μὲν Ἡσαῦ ἐξίσταται, μεταποιεῖται δ' οὗτος εἰκότως. τούτοις συνάδει καὶ τὰ ἐπὶ τῶν υἱῶν 27
Ἰωσὴφ ἐκ πολλῆς περισκέψεως ἀνεζητημένα, ἡνίκα ἐνθουσιῶν ὁ σοφὸς ἀντικρὺς παρεστηκότων οὐκ ἐπιτίθησι ταῖς κεφαλαῖς ἐξ ἐναντίας καὶ κατ' εὐθὺ τὰς χεῖρας ἐπενεγκών, ἀλλ' ἐναλλάξας, ὅπως τῇ μὲν εὐωνύμῳ τοῦ πρεσβυτέρου δοκοῦντος εἶναι, τοῦ δὲ νεωτέρου τῇ δεξιᾷ ψαύσῃ (Gen. 48, 13. 14). καλεῖται δ' ὁ μὲν [ἐν] γενέσει πρεσβύτερος Μανασσῆς, ὁ δὲ 28
νεώτερος Ἐφραΐμ· ταῦτα δ' εἰ μεταληφθείη τὰ ὀνόματα εἰς Ἑλλάδα γλῶτταν, μνήμης καὶ ἀναμνήσεως εὑρεθήσεται σύμβολα· ἑρμηνεύεται γὰρ
p. 397 M. | Μανασσῆς μὲν „ἐκ λήθης“ — τὸ δ' ἐστὶν ὀνόματι ἑτέρῳ καλούμενον ἀνάμνησις· ὁ γὰρ ὧν ἐπελάθετο εἰς ἀνάμνησιν ἐρχόμενος ἔξω πρόεισι τῆς λήθης —, Ἐφραΐμ δὲ καρποφορία, μνήμης πρόσρησις οἰκειοτάτη, διότι
καρπὸς ὠφελιμώτατος καὶ τῷ ὄντι ἐδώδιμος ψυχαῖς τὸ ἄληστον ἐν μνήμαις ἀδιαστάτοις. μνῆμαι μὲν οὖν ἠνδρωμένοις ἤδη καὶ παγίοις συντυγχά- 29
νουσι, παρὸ καὶ νεώτεραι ἐνομίσθησαν ὀψὲ φυόμεναι· λήθη δὲ καὶ ἀνάμνησις ἐπαλλήλως σχεδὸν ἐκ πρώτης ἡλικίας ἑκάστῳ σύνεισιν, οὗ ἕνεκα τὰ χρόνου πρεσβεῖα εὕρηνται καὶ ἐπ' εὐωνύμοις παρὰ σοφῷ ταξιαρχοῦντι
τάττονται· τῶν δὲ ἀρετῆς αἱ μνῆμαι κοινωνήσουσι πρεσβείων, ἃς ὁ θεοφιλὴς δεξιωσάμενος τῆς ἀμείνονος παρ' ἑαυτῷ μοίρας ἀξιώσει.

Νήψας οὖν ὁ δίκαιος καὶ γνοὺς ὅσα „ἐποίησεν αὐτῷ ὁ νεώτερος 30
αὐτοῦ υἱός“ ἀρὰς χαλεπωτάτας τίθεται· τῷ γὰρ ὄντι ὅταν ὁ νοῦς νήψῃ, κατὰ τὸ ἀκόλουθον εὐθὺς αἰσθάνεται ὅσα ἡ νεωτεροποιὸς ἐν αὐτῷ κακία
πρότερον εἰργάζετο, ἃ μεθύων ἀδυνάτως καταλαβεῖν εἶχε. (7.) τίνι 31
μέντοι καταρᾶται, σκεπτέον· ἓν γάρ τι καὶ τοῦτο τῶν ἐρεύνης ἀξίων ἐστίν, ἐπειδήπερ οὐ τῷ δοκοῦντι ἡμαρτηκέναι παιδί, ἀλλὰ τῷ ἐκείνου μὲν υἱῷ, ἑαυτοῦ δὲ υἱωνῷ, οὗ φανερὸν οὐδὲν εἴς γε τὸ παρὸν ἀδίκημα,

---

1 Ἡσαῦ codd. 2 ἡμῖν ἐστι H 3 πρεσβύτερος FH Ἡσαῦ codd. 4 υἱῶν om. G 5 ἀναζητημένα G, ἀνεζητημένων F 7 κατευθὺ codd. ἀλλ' om. F 9 ἐν seclusi 9. 10 νεώτερος δ' v 12 τὸ H: τῶ GF ὀνόματι Mang.: ὄνομα τῶ codd. καλούμενος H 13 ὁ γὰρ — ἐρχόμενος om. H ὢν F 15. 16 μνήμαις Mang.: ταῖς codd., τοῖς v 16 ἀδιάστατον coni. Mang. παγίοις H: παγίσι GF 16. 17 τυγχάνουσι H 19 χρόνου Mang.: χρόνῳ codd. εὕρηνται Turn.: εὕρηται codd. 19 ἐπ' εὐωνύμοις Turn.: ἐπωνύμοις GF, εὐωνύμοις H 20 πρεσβειῶν GF 22 αὐτῷ G: om. ceteri νεωτεροποιὸς F 23 αὐτοῦ scripsi: αὐτῷ codd., αὐτῷ v 24 ἐν om. H 26 τι] τοι F 28 οὗ H: οὐ GF εἴς γε] ἴστε G γε scripsi: τε codd.

32 οὐ μικρὸν οὐ μέγα, δεδήλωκεν· ὁ μὲν γὰρ ἐκ περιεργίας ἰδεῖν τὸν πατέρα γυμνὸν ἐθελήσας καὶ γελάσας ἃ εἶδε καὶ ἐκλαλήσας τὰ δεόντως ἡσυχασθέντα ὁ υἱὸς ἦν τοῦ Νῶε Χάμ, ὁ δὲ ἐφ' οἷς ἕτερος ἠδίκησε τὰς αἰτίας ἔχων καὶ τὰς ἀρὰς καρπούμενος Χαναάν ἐστι· λέγεται γὰρ „ἐπικατάρατος Χαναάν· παῖς οἰκέτης [δοῦλος δούλων] ἔσται τοῖς ἀδελφοῖς 5
33 αὐτοῦ“ (Gen. 9, 25). τί γὰρ ἡμάρτηκεν, ὡς ἔφην, οὗτος; ἀλλ' ἐσκέψαντο μὲν ἐφ' ἑαυτῶν ἴσως οἷς ἔθος ἀκριβοῦν τὰς ῥητὰς καὶ προχείρους ἀποδόσεις ἐν τοῖς νόμοις· ἡμεῖς δὲ πειθόμενοι τῷ ὑποβάλλοντι ὀρθῷ λόγῳ τὴν ἐγκειμένην ἀπόδοσιν διερμηνεύσωμεν ἐκεῖνα ἀναγκαίως
34 προειπόντες· (8.) σχέσις καὶ κίνησις διαφέρουσιν ἀλλήλων· ἡ μὲν γάρ 10
ἐστιν ἠρεμία, φορὰ δὲ ἡ κίνησις· ἧς εἴδη δύο, τὸ μὲν μεταβατικόν, τὸ
δὲ περὶ τὸν αὐτὸν τόπον εἱλούμενον. σχέσει μὲν οὖν | ἀδελφὸν ἕξις, p. 398 M.
35 κινήσει δ' ἐνέργεια. τὸ δὲ λεγόμενον παραδείγματι οἰκείῳ γνωριμώτερον
γένοιτ' ἄν· τέκτονα καὶ ζωγράφον καὶ γεωργὸν καὶ μουσικὸν καὶ τοὺς
ἄλλους τεχνίτας, κἂν ἡσυχίαν ἄγωσι μηδὲν τῶν κατὰ τὰς τέχνας ἐνερ- 15
γοῦντες, οὐδὲν ἧττον τοῖς εἰρημένοις ἔθος καλεῖν ὀνόμασιν, ἐπεὶ τὴν ἐν
36 ἑκάστοις ἐμπειρίαν καὶ ἐπιστήμην ἀνειληφότες ἔχουσιν. ἐπειδὰν δὲ ὁ
τεκτονικὸς ξύλων ὕλην ἐργάζηται λαβών, ὁ δὲ ζωγράφος τὰ οἰκεῖα κερασάμενος χρώματα ἐπὶ τοῦ πίνακος διαγράφῃ τοὺς τύπους ὧν ἂν διανοῆται, ὁ δ' αὖ γεωργὸς ἀνατέμνων γῆς αὔλακας καταβάλλῃ τὰ σπέρ- 20
ματα, κλη̃ματίδας δὲ καὶ μοσχεύματα δένδρων ἐμφυτεύῃ, ἅμα δὲ τροφὴν ἀναγκαιοτάτην ἄρδῃ καὶ ἐποχετεύῃ τοῖς φυτευθεῖσι καὶ τοῖς ἄλλοις ὅσα γεωργικὰ πᾶσιν ἐγχειρῇ, ὁ δ' αὖ μουσικὸς αὐλοῖς καὶ κιθάραις καὶ τοῖς ἄλλοις ὀργάνοις μέτρα καὶ ῥυθμοὺς καὶ πάσας μέλους ἰδέας ἁρμόττῃ — δύναται δὲ καὶ δίχα τῶν χειροκμήτων τῷ τῆς φύσεως ὀργάνῳ χρῆσθαι 25
διὰ φωνῆς ἡρμοσμένης πᾶσι τοῖς φθόγγοις — καὶ τῶν ἄλλων ἕκαστος τεχνιτῶν εἴπερ ἐγχειρεῖ, τοῖς κατὰ τὰς ἐπιστήμας ἕτερα ἐξ ἀνάγκης

---

2 ἐκλαλήσας Mang.: ἐκγελάσας G, ἐγγελάσας FH 2. 3 δέοντα ἡσυχασθῆναι conicio 3 τοῦ] τῶ F 4 καρπούμενος] ποιούμενος L 5 δοῦλος δούλων seclusit Mang. δουλῶν G^1F, δουλεύων G^2 6 αὐτοῦ v ἡμάρτηκεν scripsi: ἡμάρτησεν codd. ὡς om. G 8 ἐν τοῖς νόμοις ἀποδόσεις H 9 ἐγκειμένην H: οἰκουμένην GF, ἐναποκειμένην conicio διερμηνεύσομεν H 11 ἐρημία G^1 12 τρόπον F 13 δ' H: δὲ G, δ' ἡ F 15. 16 ἐνεργοῦντας H 16 τοῖς om. L 17 G ἐν om. G 18 ἐργάζεσθαι G 20 ἀνατέμνων H: ἀνατέμνη GF, ἀνατεμὼν conicio καταβάλη G 21 alterum δὲ H: τε GF 22 ἐποχετεύει G 22—24 ὅσα — ἄλλοις om. F 23 γεωργικὰ Turn.: γεωργεῖ καὶ GH 24 ἁρμόττειν G 25 δύναται scripsi (et parenthesin statui): δύνηται codd. χειροκμήτων scripsi: χειροτμήτων codd. 27 ἐγχειρεῖ GF: ἐγχορεῖ H, ἐγχωρεῖ L

οἰκεῖα τοῖς προτέροις ὀνόματα προσγίνεται, τῷ μὲν τέκτονι τὸ τεκτονεῖν, τῷ δὲ ζωγράφῳ τὸ ζωγραφεῖν ἤδη, καὶ τὸ γεωργεῖν μέντοι τῷ γεωργῷ, καὶ τὸ αὐλεῖν ἢ κιθαρίζειν ἢ ᾄδειν ἤ τι τῶν παραπλησίων ποιεῖν τῷ μουσικῷ. τίσιν οὖν οἱ ψόγοι καὶ οἱ ἔπαινοι παρακολουθοῦσιν; 37
ἆρ' οὐχὶ τοῖς ἐνεργοῦσι καὶ δρῶσι; κατορθοῦντες μὲν γὰρ ἔπαινον, ψόγον δ' ἔμπαλιν καρποῦνται διαμαρτάνοντες. οἱ δ' ἄνευ τοῦ τι ποιεῖν ἐπιστήμονες αὐτὸ μόνον, ἀκίνδυνον γέρας εἰληφότες ἡσυχίαν ἠρεμοῦσιν. (9.) ὁ αὐτὸς τοίνυν λόγος ἐφαρμόττει καὶ τοῖς κατ' ἀφροσύνην καὶ συνό- 38
λως τοῖς κατ' ἀρετήν τε καὶ κακίαν· οἱ φρόνιμοί τε καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ δίκαιοι τὰς ψυχὰς μυρίοι γεγόνασι φύσεως μὲν εὐμοιρίᾳ, νομίμοις δ' ὑφηγήσεσι, πόνοις δ' ἀηττήτοις καὶ ἀοκνοτάτοις χρησάμενοι, τὸ δὲ κάλλος τῶν ἐν ταῖς διανοίαις ἀγαλμάτων οὐκ ἴσχυσαν ἐπιδείξασθαι διὰ πενίαν ἢ ἀδοξίαν ἢ νόσον σώματος ἢ τὰς ἄλλας κῆρας ὅσαι τὸν ἀνθρώπινον περιπολοῦσι βίον. οὐκοῦν οὗτοι μὲν ὥσπερ δεδεμένα καὶ 39
καθειργμένα ἐκτήσαντο ἀγαθά, ἕτεροι δ' εἰσὶν οἳ λελυμένοις καὶ ἀφέτοις καὶ ἐλευθέροις ἐχρήσαντο πᾶσι τὰς εἰς ἐπίδειξιν ὕλας ἀφθονωτάτας προσλαβόντες· ὁ μὲν φρόνιμος ἰδίων τε καὶ κοινῶν προστασίαν πραγμάτων, 40
οἷς σύνεσιν καὶ εὐβουλίαν ἐνεπιδείξεται· ὁ δὲ σώφρων τὸν εἰς ἀσωτίαν δεινὸν ἐπᾶραι καὶ παρακαλέσαι τυφλὸν πλοῦτον, ἵνα βλέποντα ἀποδείξῃ· ὁ δὲ δίκαιος ἀρχήν, δι' ἧς τὸ κατ' ἀξίαν ἀπονέμειν ἑκάστῳ τῶν ὄντων ἀκωλύτως δυνατὸς ἔσται· ὁ δ' ἀσκητὴς εὐσεβείας ἱερωσύνην καὶ χωρίων
p. 399 M. | ἱερῶν καὶ τῆς ἐν τούτοις ἁγιστείας ἐπιμέλειαν. ἄνευ δὲ τούτων ἀρεταὶ 41
μέν εἰσιν, ἀκίνητοι δὲ ἀρεταὶ καὶ ἡσυχίαν ἄγουσαι, καθάπερ ὁ τεθησαυρισμένος ἐν ἀφανέσι γῆς μυχοῖς ἄργυρός τε καὶ χρυσὸς οὐδὲν χρήσιμος. πάλιν τοίνυν κατὰ τὰ ἐναντία μυρίους ἔστιν ἰδεῖν ἀνάνδρους, ἀκολάστους, 42
ἄφρονας, ἀδίκους, ἀσεβεῖς ἐν ταῖς διανοίαις ὑπάρχοντας, τὸ δὲ κακίας

---

1 τῷ] τὸ H 4 τίς H οἱ ante ἔπαινοι om. H παρακολουθῶσιν G 6 οἱ δ' ἄνευ τοῦ τι Turn.: οἱ δ' ἄνευ τι τοῦ G^2HL^1 (οἷς δ' ἂν ἔστι s. s. L^2), οἱ δ' ἄν ἐστι τοῦ G^1, οἷς δ' ἄν ἐστι τὸ F 8 ἐφαρμόττειν G 9 prius τε FN: δὲ GH alterum τε om. F 12 διακονίαις L^2 14 περιπολοῦσι H: περιπνοῦσι G, περιπνέουσι FN δεδεμένας F 15 ἠτήσαντο N τάγαθά N 17 προστασίαν scripsi: περιουσίαν codd. N, ἐπιστασίαν coni. Mang., παρουσίαν Cohn 18 σύνεστι F ἐπιδείξεται GF 20 συνόντων coni. Mang., ὑπηκόων conicio 21 ἀκωλύτων GFN εὐσεβείας Mang.: εὐσέβειαν codd. N 22 ἱερῶν H: ἢ ἱερέων GFN ἀριστείας N ἄνευ δὲ τούτων H: τε ἂν ἐν τούτων G, τε ἀνένδοτον τούτων FN 24 ⟨εἰς⟩ οὐδὲν coni. Mang. 26 ὑπερμάχοντας H

8—22 N fol. 187ᵛ: ὁ αὐτὸς — τούτων.

ἑκάστης αἴσχος ἀδυνατοῦντας ἐπιδείκνυσθαι δι' ἀκαιρίαν τῶν εἰς τὸ ἁμαρτάνειν καιρῶν, ἐπειδὰν δὲ τοῦ δύνασθαι πολλὴ καὶ μεγάλη κατασκήψῃ φορά, γῆν καὶ θάλατταν ἄχρι τερμάτων ἀμυθήτων ἀναπιμπλάντας κακῶν καὶ μηδέν, μὴ μικρὸν μὴ μέγα, ἀζήμιον ἐῶντας, ἀλλὰ ῥύμῃ μιᾷ ἀνα-
43 τρέποντάς τε καὶ φθείροντας· ὥσπερ γὰρ τοῦ πυρὸς ἡ δύναμις ἀπουσίᾳ μὲν ὕλης ἡσυχάζει, παρουσίᾳ δὲ ἀνακαίεται, οὕτως καὶ ὅσαι πρὸς ἀρετὴν ἢ κακίαν ψυχῆς δυνάμεις ἀφορῶσι, σβέννυνται μὲν ἀκαιρίαις, καθάπερ
44 ἔφην, καιρῶν, τυχηραῖς δ' εὐπορίαις ἀναφλέγονται. (10.) τίνος δὴ ταῦθ' εἵνεκα εἶπον ἢ τοῦ διδάξαι χάριν, ὅτι ὁ μὲν υἱὸς τοῦ Νῶε Χὰμ ἠρεμούσης κακίας ἐστὶν ὄνομα, ὁ δὲ υἱωνὸς ἤδη καὶ κινουμένης; ἑρμηνεύεται
45 γὰρ θέρμη μὲν Χάμ, σάλος δὲ Χαναάν. θέρμη δὲ ἐν μὲν σώματι πυρετὸν ἐμφαίνει, κακίαν δὲ ἐν ψυχαῖς· ὡς γάρ, οἶμαι, καταβολὴ πυρετοῦ νόσος ἐστὶν οὐ μέρους ἀλλ' ὅλου σώματος, οὕτως ὅλης τῆς ψυχῆς ἀρρώστημά ἐστι κακία. ἀλλ' ὁτὲ μὲν ἠρεμεῖ, ὁτὲ δὲ κινεῖται· τὴν δὲ κίνησιν
46 αὐτῆς ὀνομάζει σάλον, ὃς Ἑβραίων γλώττῃ Χαναὰν καλεῖται. νομοθετῶν δὲ οὐδεὶς ἐπιτίμιον ὁρίζει κατὰ ἀδίκων ἠρεμούντων, ἀλλὰ δὴ κινουμένων καὶ τοῖς κατὰ ἀδικίαν ἔργοις χρωμένων, καθάπερ οὐδὲ τῶν δακετῶν οὐδὲν ἀνὴρ μέτριος κτείνειν ἂν ἐθελήσαι μὴ μέλλον δάκνειν· λόγῳ γὰρ
47 ὑπεξαιρετέον ψυχῆς ὠμότητα φύσει [καὶ] κατὰ πάντων φονῶσαν. εἰκότως οὖν ὁ δίκαιος τὰς ἀρὰς τῷ υἱωνῷ Χαναὰν δόξει τίθεσθαι· δόξει δὲ εἶπον, ὅτι δυνάμει τῷ υἱῷ Χὰμ δι' ἐκείνου καταρᾶται· κινηθεὶς γὰρ πρὸς τὸ ἁμαρτάνειν Χὰμ αὐτὸς γίνεται Χαναάν. ἓν γὰρ τὸ ὑποκείμενον κακία, ἧς τὸ μὲν ἐν σχέσει, τὸ δὲ ἐν κινήσει θεωρεῖται· πρεσβύτερον δὲ κινήσεως σχέσις, ὡς ἐγγόνου λόγον ἔχειν τὸ κινούμενον πρὸς τὸ ἰσχό-

---

1 ἑκάστης GH: ἐσχάτης F ἀπορίαν conicio 2 δὲ H: δὴ GF 3 θάλασσαν G ἄχρι scripsi (vel πᾶσαν ἄχρι): ἃς μέχρι GF, τὰς μέχρι H, μέχρι ν ἀναπιμπλάντες GF 4 μηδὲν μικρὸν G 6 παρουσία Vat. Regin. (Turn.): περιουσία codd. ἀνατρέπεται G οὕτω Π 7 σβέννυνται H: σβέννυται GF ἀκαιρίας G, ἀκαιρίως F, ἀπορίαις conicio 8 εὐκαιρίαις coni. Mang. 9 ἕνεκα F 10 ⟨ἐνεργούσης⟩ ἤδη conicio 11 γὰρ om. H δὲ ἐν μὲν H: μὲν ἐν μέσῳ G, δὲ ἐν μέσῳ F 12 προσβολὴ coni. Mang. 13 ὅλου ⟨τοῦ⟩ coni. Cohn 14 ἔσται H ἄλλοτε G 14—15 μὲν—ὃς om. G 15 γλώσσῃ G 16 ἐπιτιμᾶν GFL² ἠρεμίας H ἀλλ' ἤδη conicio κινουμένω H 17 ἀδικίας GF 18 ἐθελήσαι Cohn (ἐθελήσειε Mang.): ἐθελήσῃ codd. λόγῳ scripsi: λόγου codd. 19 ὑπεξαιρετὸν GF καὶ seclusi 20 τῶν υἱωνῶν F υἱωνῷ] υἱῷ H 21. 22 δι' ἐκείνου—Χὰμ om. F 24 ἐκγόνου conicio

---

5. 6 Vat. Regin. 77 fol. 669v Φίλωνος: τοῦ πυρὸς—ἀνακαίεται 8 sqq. cf. Origenis Homiliam XX 2 in Numeros p. 348.

μενον· παρὸ καὶ τοῦ Χὰμ υἱὸς ὁ Χαναὰν φυσικῶς ἀναγράφεται, σάλος 48
p. 400 M. ἠρεμίας, ἵνα καὶ | τὸ ἑτέρωθι λεχθὲν ἐπαληθεύῃ τὸ „ἀποδιδοὺς ἀνομίας πατέρων ἐπὶ υἱούς, ἐπὶ τρίτους καὶ ἐπὶ τετάρτους“ (Exod. 20,5)· ἐπὶ γὰρ τὰ ἀποτελέσματα καὶ ὡς ἂν ἔγγονα τῶν λογισμῶν στείχουσιν αἱ τιμωρίαι, κατ' αὐτοὺς ἐκείνων, εἰ μηδεμία προσγένοιτο πρᾶξις ἐπίληπτος, ἀποδιδρασκόντων τὰ ἐγκλήματα. διὰ τοῦτο μέντοι κἀν τῷ νόμῳ τῆς 49
λέπρας ὁ μέγας πάντα Μωυσῆς τὴν μὲν κίνησιν καὶ ἐπὶ πλέον αὐτῆς φορὰν καὶ χύσιν ἀκάθαρτον, τὴν δ' ἠρεμίαν καθαρὰν ἀναγράφει· λέγει γὰρ ὅτι „ἐὰν διαχέηται ἐν τῷ δέρματι, μιανεῖ ὁ ἱερεύς. ἐὰν δὲ κατὰ χώραν μείνῃ τὸ τηλαύγημα καὶ μὴ διαχέηται, καθαριεῖ“ (Lev. 13,22.23)· ὥστε τὴν μὲν ἡσυχίαν καὶ μονὴν κακιῶν καὶ παθῶν τῶν κατὰ ψυχὴν — ταῦτα γὰρ αἰνίττεται διὰ τῆς λέπρας — οὐχ ὑπαίτιον εἶναι, τὴν δὲ κίνησιν καὶ φορὰν ὕποχον δέοντως. τὸ παραπλήσιον καὶ ἐν τοῖς πρὸς 50
τὸν Κάιν χρησθεῖσι λογίοις περιέχεται σημειωδέστερον· λέγεται γὰρ πρὸς αὐτόν· ὦ οὗτος, „ἥμαρτες, ἡσύχασον“ (Gen. 4,7), τοῦ μὲν ἁμαρτάνειν, ὅτι κινεῖσθαι καὶ ἐνεργεῖν κατὰ τὴν κακίαν ἦν, ὄντος ἐνόχου, τοῦ δ' ἡσυχάζειν, ὅτι ἴσχεσθαι καὶ ἠρεμεῖν, ἀνυπαιτίου καὶ σωτηρίου.

11.) Ταῦτα μὲν οὖν ἱκανῶς γε, οἶμαι, προείρηται. τὰς δ' ἀρὰς 51
[ἔχοντα], ὃν ἔχουσι λόγον, ἴδωμεν· „ἐπικατάρατος“ φησί „Χαναάν· παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ“· καὶ „εὐλογητὸς κύριος ὁ θεὸς Σήμ, καὶ ἔσται Χαναὰν δοῦλος αὐτοῖς“ (Gen. 9, 25. 26). ἔφαμεν πάλαι, 52
ὅτι Σὴμ ἐπώνυμός ἐστιν ἀγαθοῦ, καλούμενος οὐκ ὀνόματος εἴδει, ἀλλ'

---

2 ἐπαληθεύηται conicio 3 tertium ἐπὶ om. v quartum ἐπὶ G: ἐπεὶ FH 4 ἔχγονα conicio στίχουσιν F 5 καθ' αὐτοὺς conicio 7 Μωσῆς Vat πλεῖον Vat 8 λέγει] φησὶ Vat 9 διάχητε H 11 καὶ μονὴν Vat: ἐκτὸς εἶναι μόνην codd., εἰκότως εἶναι μονὴν Mang. κακιῶν Vat: κακῶν codd. εἶν 12 ταῦτα Vat: τοῦτο codd. 13 ὕποχον G^1: ὕποσχον F, ὑπάρχοντι G^2, ὑποσχὼν in mg. L, om. H, ὑπαίτιον Vat, ὑπόδικον coni. Mang. 13. 14 πρὸς τὸν Κάιν Vat· περὶ τῆς τοῦ παντὸς γενέσεως codd. 14 χρησθεῖσι om. Vat λόγοις Vat 15 αὐτόν Vat: τὸν φαῦλον codd. ὦ οὗτος om. Vat ἁμαρτεῖν Vat 16 κακὰ H^1 τὴν Vat: om. codd. ἦν Vat: om. codd. 16. 17 bis ὅτι GF Vat: ἐν τῷ H, ὅ τι coni. Cohn 17 ἀνυπαίτιον καὶ σωτήριον Vat 18 τὰς] τὰ H ἀρετὰς L^1 19 ἔχοντα seclusi vel ἐξῆς conicio (ἐχομένως coni. Cohn) 20 αὐτοῦ v κύριος om. L

6—17 Vat. gr. 1611 fol. 232 Φίλωνος (= Corderii Catena in Lucam p. 426): ἔτι ἐν τῷ νόμῳ — ἀνυπαίτιον καὶ σωτήριον.

ὅλον τὸ γένος αὐτοῦ ὄνομα, παρόσον τὸ ἀγαθὸν ὀνομαστὸν μόνον καὶ εὐφημίας καὶ εὐκλείας ἄξιον, ὡς ἔμπαλιν ἀνώνυμον καὶ δυσώνυμον τὸ
53 κακόν. τίνος οὖν τὸν τῆς φύσεως τἀγαθοῦ μεμοιραμένον εὐχῆς ἀξιοῖ; τίνος; καινοτάτης καὶ παρηλλαγμένης, ἣ θνητὸς οὐδεὶς ὑπηρετῆσαι δυνατός, ἀφ' ἧς σχεδὸν ὥσπερ ἀπ' ὠκεανοῦ ῥέουσιν αἱ ἄφθονοι καὶ ἀέναοι πλημμυροῦσαι καὶ ἀναχεόμεναι τῶν καλῶν πηγαί. τὸν γὰρ κύριον καὶ θεὸν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ πάντων ἰδίᾳ θεὸν κατ' ἐξαίρετον
54 χάριν τοῦ Σὴμ ἀνακαλεῖ. καὶ ὅρα· τίνας ὑπερβολὰς τοῦτο οὐχ ὑπερβάλλει; σχεδὸν γὰρ ἰσότιμος ὁ τούτου λαχὼν γίνεται κόσμῳ· ὅτε γὰρ τὸ ἐπιστατοῦν καὶ κηδόμενον ἀμφοῖν ταὐτόν, καὶ τὰ ἐπιτροπευόμενα κατ'
55 ἀναγκαῖον εὐθύς ἐστιν ἰσότιμα. μήποτε δὲ καὶ ἐπιδαψιλεύεται τὰ τῶν δωρεῶν· τοῦ μὲν γὰρ | αἰσθητοῦ κόσμου δεσπότης καὶ εὐεργέτης ἀνείρηται p. 401 M.
διὰ τοῦ κύριος καὶ θεός, τοῦ δὲ νοητοῦ ἀγαθοῦ σωτὴρ καὶ εὐεργέτης αὐτὸ μόνον, οὐχὶ δεσπότης ἢ κύριος· φίλον γὰρ τὸ σοφὸν θεῷ μᾶλλον
56 ἢ δοῦλον. παρὸ καὶ σαφῶς ἐπὶ Ἀβραὰμ φάσκει· „μὴ ἐπικαλύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ φίλου μου“ (Gen. 18, 17); ὁ δὲ ἔχων τὸν κλῆρον τοῦτον πέραν ὅρων ἀνθρωπίνης εὐδαιμονίας προελήλυθε· μόνος γὰρ εὐγενὴς ἅτε θεὸν ἐπιγεγραμμένος πατέρα καὶ γεγονὼς εἰσποιητὸς αὐτῷ μόνος υἱός· οὐ πλούσιος, ἀλλὰ πάμπλουτος, ἐν ἀφθόνοις καὶ γνησίοις, οὐ χρόνῳ παλαιουμένοις, καινουμένοις δὲ καὶ ἡβῶσιν ἀεὶ τρυφῶν ἀγαθοῖς μόνοις·
57 οὐκ ἔνδοξος, ἀλλ' εὐκλεής, τὸν μὴ κολακείᾳ νοθούμενον, ἀλλὰ βεβαιούμενον ἀληθείᾳ καρπούμενος ἔπαινον· μόνος βασιλεύς, παρὰ τοῦ πανηγεμόνος λαβὼν τῆς ἐφ' ἅπασιν ἀρχῆς τὸ κράτος ἀνανταγώνιστον· μόνος ἐλεύθερος, ἀφειμένος ἀργαλεωτάτης δεσποίνης, κενῆς δόξης, ἣν ὑπέραυχον οὖσαν ἀπὸ τῆς ἀκροπόλεως ἄνωθεν ὁ ἐλευθεροποιὸς καθεῖλε θεός.
58 τούτῳ δὴ τῷ τοσούτων καὶ οὕτως ὑπερβαλλόντων καὶ ἀθρόων ἀξιωθέντι ἀγαθῶν τί προσήκει ποιεῖν ἢ λόγοις καὶ ᾠδαῖς καὶ ὕμνοις τὸν εὐεργέτην ἀμείβεσθαι; τοῦτ' ἔσθ', ὡς ἔοικεν, ὃ αἰνίττεται διὰ τοῦ „εὐλογημένος

---

1 αὐτοῦ F: αὐτὸ GH, αὐτῷ Mang. παρ' ὅσον codd. τὸ GF: καὶ τὸ H 2 τὸ] τὸν F 3 μεμοιρασμένον H εὐχῆς] εὐλογίας coni. Mang. 5 ἀέναοι G: ἀένναοι FH 6 πλημμυροῦσαι G 8 ὅρα H: ὅτι GF τοῦτο om. L 9 τούτου GF: τοῦτο H 9 ὅτε scripsi: ὅταν codd. 11 ἐπιδαψιλεύηται L 15. 16 bis Ἀβραὰμ FH 15 ἀποκαλύψω F 16 ἀπὸ om. G 17 προσελήλυθε GF, παρελήλυθε L 18 εἷς ποιητὴς FH 19 οὐ] ὁ H 20 μόνοις H: νόμοις GFL^2; γρ. μόνος mg. H, L^1 21 κολακείαν G ὠθούμενον G^1, ὠνούμενον G^2 24 ἀφειμένος Mang.: ἀφιέμενος codd. δεσποίνης G: δὲ ποινῆς F, δὴ ποινῆς H 26 τῷ scripsi: τῶν codd. καὶ ἀθρόων om. F 27 λόγους H, ut vid. 28 ἐοικώς H, εἰκὸς Turn. ὃ H: om. GF διὰ τοῦ scripsi: αὐτοῦ GF, αὐτῶ H, ἐν τῷ coni. Mang.

κύριος ὁ θεὸς Σήμ", ἐπειδὴ τῷ τὸν θεὸν ἔχοντι κλῆρον εὐλογεῖν καὶ ἐπαινεῖν αὐτὸν ἁρμόττει μόνον τοῦτ' ἀντιπαρασχεῖν δυναμένῳ, τὰ δ' ἄλλα ἀνὰ κράτος πάνθ' ἁπλῶς ἀδυνατοῦντι.

(12.) Τῷ μὲν δὴ Σὴμ εὔχεται ταῦτα· τῷ δ' Ἰάφεθ ὁποῖα, θεασώ- 59
μεθα· „πλατύναι" φησίν „ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σήμ, καὶ γενέσθω Χαναὰν δοῦλος αὐτοῖς" (Gen. 9, 27). τοῦ ἀγαθὸν ἡγουμένου τὸ καλὸν μόνον ἔσταλται καὶ συνῆκται τὸ τέλος 60
— ἑνὶ γὰρ μυρίων ὄντων τῶν περὶ ἡμᾶς τῷ ἡγεμόνι νῷ συνέζευκται —, τοῦ δὲ τρισὶν ἐφαρμόζοντος αὐτὸ γένεσιν, τῷ περὶ ψυχήν, τῷ περὶ σῶμα, τῷ περὶ τὰ ἐκτός, ἅτ' εἰς πολλὰ καὶ ἀνόμοια κατακερματιζόμενον εὑρύνεται. διόπερ οἰκείως εὔχεται τούτῳ προσγενέσθαι πλάτος, ὅπως καὶ 61
ταῖς περὶ ψυχὴν ἀρεταῖς, φρονήσει καὶ σωφροσύνῃ καὶ ἑκάστῃ τῶν ἄλλων, χρῆσθαι δύναιτο καὶ ταῖς σώματος, ὑγείᾳ καὶ εὐαισθησίᾳ δυνάμει τε καὶ ῥώμῃ καὶ ταῖς τούτων συγγενέσιν, ἔτι μέντοι καὶ τοῖς ἐκτὸς πλεονεκτήμασιν, ὅσα εἰς πλοῦτον καὶ δόξαν ἀπόλαυσίν τε καὶ χρῆσιν
p. 402 M. τῶν ἀναγκαίων ἡδονῶν ἄγεται. | (13.) περὶ μὲν τοῦ πλάτους ταῦτα. 62
τίνα δὲ ἐν τοῖς οἴκοις εὔχεται τοῦ Σὴμ κατοικῆσαι, σκεπτέον· σαφῶς γὰρ οὐ μεμήνυκεν. ἔνεστι μὲν δὴ φάναι, ὅτι τὸν ἡγεμόνα τοῦ παντός. τίς γὰρ οἶκος παρὰ γενέσει δύναιτ' ἂν ἀξιοπρεπέστερος εὑρεθῆναι θεῷ πλὴν ψυχῆς τελείως κεκαθαρμένης καὶ μόνον τὸ καλὸν ἡγουμένης ἀγαθόν, τὰ δὲ ἄλλα ὅσα νενόμισται ἐν δορυφόρων καὶ ὑπηκόων λόγῳ ταττούσης; κατοικεῖν δὲ ἐν οἴκῳ λέγεται ὁ θεὸς οὐχ ὡς ἐν τόπῳ — περιέχει γὰρ 63
τὰ πάντα πρὸς μηδενὸς περιεχόμενος —, ἀλλ' ὡς πρόνοιαν καὶ ἐπιμέλειαν ἐκείνου τοῦ χωρίου διαφερόντως ποιούμενος· παντὶ γὰρ τῷ δεσπόζοντι οἰκίας ἡ ταύτης κατὰ τὸ ἀναγκαῖον ἀνῆπται φροντίς. εὐχέσθω 64
δὴ πᾶς θεῷ, ὅτῳ τὸ θεοφιλὲς ὤμβρησεν ἀγαθόν, οἰκήτορος λαχεῖν τοῦ πανηγεμόνος, ὃς τὸ βραχὺ τοῦτο οἰκοδόμημα, τὸν νοῦν, ἐξαίρων εἰς ὕψος ἀπὸ γῆς τοῖς οὐρανοῦ συνάψει πέρασι. καὶ τὸ ῥητὸν μέντοι συνᾄδειν 65
ἔοικεν· ὁ γὰρ Σὴμ ὡσανεὶ ῥίζα καλοκἀγαθίας ὑποβέβληται, δένδρον δ' ἡμεροτοκοῦν ἐκ ταύτης ὁ σοφὸς Ἀβραὰμ ἀνέδραμεν, οὗ τὸ αὐτήκοον καὶ αὐτομαθὲς γένος, Ἰσαάκ, ὁ καρπὸς ἦν, ἀφ' οὗ πάλιν αἱ διὰ πόνων

---

2 τοῦτο G 3 ἀνὰ κράτος fort. in lin. 2 post ἐπαινεῖν transpon. 9 τρισὶν GF ἐφαρμόττοντος G αὐτὸ Turn.: αὐτῷ H, ἑαυτῷ GF 11 ὅπως] οὕτως G 12 ψυχῆς GF 13 δύναται L¹ ὑγείᾳ scripsi: ὑγείαις codd. 16 ἄγεται] ἀναφέρεται conicio 21 νενόμισται] νέμονται F 22 λέγεται ἐν οἴκῳ H 23 περιεχόμενος H: om. GF 25 ἡ F: ἢ G, ἦ H ἐχέσθω H 26 ὤβρισεν F 28 οὐρανίοις G συνάψῃ L 29 ὁ μὲν γὰρ G 30 Ἀβραὰμ H

ἀρεταὶ κατασπείρονται, ὧν ἀθλητής ἐστιν ὁ τὴν πρὸς πάθη πάλην γεγυμ-
66 νασμένος Ἰακώβ, ἀγγέλοις ἀλείπταις, λόγοις, χρώμενος. οὗτος τῶν δώ-
δεκα κατάρχει φυλῶν, ἃς οἱ χρησμοὶ „βασίλειον καὶ ἱεράτευμα θεοῦ“
(Exod. 19, 6) φασιν εἶναι κατὰ τὴν πρὸς τὸν πρῶτον Σὴμ εὐλογίαν,
οὗ τοῖς οἴκοις ἦν εὐχὴ τὸν θεὸν ⟨ἐν⟩οικῆσαι· βασίλειον γὰρ ὁ βασι-
67 λέως δήπουθεν οἶκος, ἱερὸς ὄντως καὶ μόνος ἄσυλος. ἴσως μέντοι τὰ
τῆς εὐχῆς καὶ ἐπὶ τὸν Ἰάφεθ ἀναφέρεται, ὅπως ἐν τοῖς οἴκοις τοῦ Σὴμ
ποιῆται τὰς διατριβάς· τῷ γὰρ καὶ τὰ σώματος καὶ τὰ ἐκτὸς πλεονεκ-
τήματα ἀγαθὰ ἡγουμένῳ καλὸν εὔξασθαι πρὸς μόνον τὸ ψυχῆς ἀνα-
δραμεῖν καὶ μὴ μέχρι τοῦ παντὸς αἰῶνος ἀληθοῦς δόξης διαμαρτεῖν, ἃ
κοινὰ καὶ τῶν ἐπαρατοτάτων καὶ κακίστων ἐστίν, ὑγίειαν ἢ πολυχρη-
ματίαν ἢ ὅσα ὁμοιότροπα, νομίσαντα εἶναι ἀγαθά, τῆς ἀψευδοῦς τῶν
ἀγαθῶν μερίδος οὐδενὶ φαύλῳ συνταττομένης· ἀκοινώνητον γὰρ φύσει
68 κακῷ τὸ ἀγαθόν. διὰ τοῦτ' ἐν ψυχῇ μόνῃ τεθησαύρισται, ἧς τοῦ
κάλλους οὐδενὶ μέτεστι τῶν ἀφρόνων· τοῦτο ὅ γε προ⟨φητικὸς⟩ λόγος
τὸν σπουδαῖον ἔγραψεν εὔχεσθαί τινι τῶν ἑαυτοῦ γνωρίμων λέγοντα
„πρὸς μὲ ἀνάστρεψον“ (Gen. 49, 22), ἵνα ἐπὶ τὴν αὐτοῦ γνώμην ἐπα-
νελθών, | τὸ καλὸν ὡς ἀγαθὸν μόνον δεξιωσάμενος, τὰς τῶν ἑτεροδόξων p. 403 M.
παραδράμῃ περὶ τἀγαθοῦ φήμας. ἐν οὖν τοῖς οἴκοις τῆς ψυχῆς τοῦ
λέγοντος μόνον εἶναι τὸ καλὸν ἀγαθὸν κατοικησάτω, παροικήσας ἐν τοῖς
69 τῶν ἑτέρων, οἷς καὶ τὰ σωματικὰ καὶ τὰ ἐκτὸς τετίμηται. εἰκότως
μέντοι καὶ δοῦλον τὸν ἄφρονα τῶν ἀρετῆς μεταποιουμένων ἀνέγραψεν,
ἵν' ἡ κρείττονος ἐπιστασίας ἀξιωθεὶς ἀμείνονι βίῳ χρήσηται ἢ ἐπιμένων
τῷ ἀδικεῖν μετ' εὐμαρείας αὐτοκράτορι ἡγεμόνων ἀρχῇ τῶν δεσποτῶν
κολάζηται.

---

1 τὰ πάθη G^2 πάλην G^2 (Turn.): πάλιν G^1FH 2 ὁ Ἰακώβ F 4 εὐλογίαν scripsi: ἀκολουθίαν codd. 5 ⟨ἐν⟩ τοῖς coni. Mang. ἐνοικῆσαι scripsi: οἰκῆσαι codd. 5. 6 βασίλειος H 8 ποιεῖται F prius καὶ τὰ H: κατὰ GF 9 τῆς ψυχῆς G 9. 10 ἀναδραμεῖν H: ἀναμεῖναι GF 11 ὑγίειαν codd.: ὑγείαν v 14 κακῷ FH: κακῶν GL ἐν ψυχῇ GF: εὐχῇ H 15 τοῦτο Mang.: τούτων HFL, τοῦτον H προφητικὸς λόγος Cohn: πρόλογος codd., ἱερὸς λόγος coni. Mang. 15. 16 τῶν σπουδαίων H 16 ἔγραψεν scripsi (vel τῶν σπουδαίων ἔγραψεν ἕνα conicio): ἔγραψε μὲν codd. 18 ἑτέρων δοξῶν F 19 γνώμας coni. Mang. οἴκοις] ὅροις L^2 20 ἀγαθὸν F: κἀγαθὸν GH 22 τῶν τῆς ἀρετῆς H 23 κρειττόνως F χρήσεται H 24 τῷ] τὸ G 25 subscriptio in G: περὶ ὧν ἀνανήψας ὁ νοῦς εὔχεται καὶ καταρᾶται.

ΠΕΡΙ ΣΥΓΧΥΣΕΩΣ ΔΙΑΛΕΚΤΩΝ

I p. 404 M. (1.) Περὶ μὲν δὴ τούτων ἀρκέσει τὰ εἰρημένα. σκεπτέον δὲ ἑξῆς 1
οὐ παρέργως, ἃ περὶ τῆς τῶν διαλέκτων συγχύσεως φιλοσοφεῖ· λέγει
γὰρ ὧδε· „καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. καὶ
ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν τῇ γῇ
Σεναὰρ καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον· δεῦτε
πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς
ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. καὶ εἶπον· δεῦτε
οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ
οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτῶν ὄνομα πρὸ τοῦ διασπαρῆναι ἐπὶ πρόσ-
ωπον πάσης τῆς γῆς. καὶ κατέβη κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν
πύργον ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. καὶ εἶπε κύριος· ἰδοὺ
γένος ἓν καὶ χεῖλος ἓν πάντων· καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ
ἐκλείψει ἐξ αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν· δεῦτε καὶ κατα-
βάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος
τὴν φωνὴν τοῦ πλησίον. καὶ διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόσ-
ωπον πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν
πύργον. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ σύγχυσις, ὅτι ἐκεῖ συνέχεε
κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος
p. 405 M. ἐπὶ πρόσωπον πάσης τῆς γῆς“ (Gen. 11,1—9). (2.) | οἱ μὲν δυσχε- 2
ραίνοντες τῇ πατρίῳ πολιτείᾳ, ψόγον καὶ κατηγορίαν αἰεὶ τῶν νόμων
μελετῶντες, τούτοις καὶ τοῖς παραπλησίοις ὡς ἂν ἐπιβάθραις τῆς ἀθεό-

---

περὶ συγχύσεως διαλέκτων GFH: τοῦ αὐτοῦ περὶ συγχύσεως διαλέκτων P 2 φιλοσοφεῖ GFL²: φιλοσοφοῦσι HPL¹ 3 πᾶσιν δ καὶ G 5 Σεναὰρ] σάαρ L 7 ἡ] εἰς F ἡ ἄσφαλτος et πηλὸς (om. ὁ) ex § 103 conicio 8 πόλιν καὶ om. P 9 ἑαυτῶν FHP: ἑαυτῷ G, ἑαυτοῖς v 13 ἐκλείψοι P ἐξ GF: ἀπ' HP ἐπίθωνται P, ἐπείθωνται H 14 αὐτῶν ἐκεῖ P¹ 15. 16 προσώπου G 17 αὐτοῦ G: αὐτοῖς F, αὐτῆς HP 20 ἀεὶ G

τητος αὐτῶν, οἱ δυσσεβεῖς, χρῶνται φάσκοντες· ἔτι νῦν σεμνηγορεῖτε περὶ τῶν διατεταγμένων ὡς τοὺς ἀληθείας κανόνας αὐτῆς περιεχόντων;
3 ἰδοὺ γὰρ αἱ ἱεραὶ λεγόμεναι βίβλοι παρ' ὑμῖν καὶ μύθους περιέχουσιν, ἐφ' οἷς εἰώθατε γελᾶν, ὅταν ἄλλων διεξιόντων ἀκούητε. καίτοι τί δεῖ τοὺς πολλαχόθι τῆς νομοθεσίας ἐσπαρμένους ἀναλέγεσθαι ὥσπερ σχολὴν ἄγοντας καὶ ἐνευκαιροῦντας διαβολαῖς, ἀλλ' οὐ μόνον τῶν ἐν χερσὶ καὶ
4 παρὰ πόδας ὑπομιμνήσκειν; εἷς μὲν οὖν ἐστιν ὁ ἐοικὼς τῷ συντεθέντι ἐπὶ τῶν Ἀλωειδῶν, οὓς ὁ μέγιστος καὶ δοκιμώτατος τῶν ποιητῶν Ὅμηρος διανοηθῆναί φησι τρία τὰ περιμήκιστα τῶν ὀρῶν ἐπιφορῆσαι καὶ ἐπιχῶσαι ἐλπίσαντας τὴν εἰς οὐρανὸν ὁδὸν τοῖς ἀνέρχεσθαι βουλομένοις εὐμαρῆ διὰ τούτων ἔσεσθαι πρὸς αἰθέριον ὕψος ἀρθέντων· ἔστι δὲ τὰ περὶ τούτων ἔπη τοιαῦτα·

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη,

5 Ὄλυμπος δὲ καὶ Ὄσσα καὶ Πήλιον ὀρῶν ὀνόματα. πύργον δὲ ὁ νομοθέτης ἀντὶ τούτων εἰσάγει πρὸς τῶν τότε ἀνθρώπων κατασκευαζόμενον θελησάντων ὑπ' ἀνοίας ἅμα καὶ μεγαλαυχίας οὐρανοῦ ψαῦσαι. πῶς γὰρ οὐ φρενοβλάβεια δεινή; καὶ γὰρ εἰ τὰ τῆς συμπάσης μέρη γῆς ἐποικοδομηθείη προκαταβληθέντι βραχεῖ θεμελίῳ καὶ ἀνεγερθείη τρόπον κίονος ἑνός, μυρίοις τῆς αἰθερίου σφαίρας ἀπολειφθήσεται διαστήμασι, καὶ μάλιστα κατὰ τοὺς ζητητικοὺς τῶν φιλοσόφων, οἳ τοῦ παντὸς κέντρον

---

1 αὐτῶν v 3 λεγόμενοι G ἡμῖν F 5 ἐπαρμένους F 6 ἀλλὰ (vel ἀλλ' ἢ) μόνον coni. Mang. μόνων HP χερσὶ] χρήσει F 8 Ἀλωειδῶν scripsi: ἀλλοειδῶν G¹F, Ἀλλευαδῶν G², Ἀλωαδῶν H, Ἀλωαδῶν P 13 ὀμλύμπω (sic) H, ὀλύμπω P ἀτὰρ HP (in P post ά ras.) 14 εἰνοσίφυλον H 16 κατασκευαζομένων G 17 μεγαλαυχίας scripsi (idem coni. Cohn): μεγαλουργίας codd. πῶς γὰρ οὐ Mang.: πᾶσα γὰρ οὖν codd. 21 ζητικοὺς G

---

7 *Origenes Contra Celsum IV 21 p. 515:* ἐπεὶ δ' οἴεται Μωυσέα τὸν ἀναγράψαντα τὰ περὶ τοῦ πύργου καὶ τῆς τῶν διαλέκτων συγχύσεως παραφθείραντα τὰ περὶ τῶν Ἀλωαδῶν ἱστορούμενα τοιαῦτα περὶ τοῦ πύργου ἀναγεγραφέναι, λεκτέον . . . . ., *Cyrillus Contra Julianum p. 134 sqq. (Juliani imperatoris librorum contra Christianos quae supersunt coll. C. J. Neumann p. 181 sqq.), cf. potissimum:* ὁ μὲν γὰρ Μωυσῆς αἰτίαν ἀποδέδωκε κομιδῇ μυθώδη τῆς περὶ τὰς διαλέκτους ἀνομοιότητος . . . . . εἶτα τούτοις ἀξιοῦτε πιστεύειν ἡμᾶς, ἀπιστεῖτε δὲ ὑμεῖς τοῖς ὑφ' Ὁμήρου λεγομένοις ὑπὲρ τῶν Ἀλωαδῶν, ὡς ἄρα τρία ἐπ' ἀλλήλοις ὄρη θεῖναι διενοοῦντο, „ἵν' οὐρανὸς ἀμβατὸς εἴη". φημὶ μὲν γὰρ ἐγὼ καὶ τοῦτο εἶναι παραπλησίως ἐκείνῳ μυθῶδες. ὑμεῖς δὲ ἀποδεχόμενοι τὸ πρότερον ἀνθ' ὅτου πρὸς θεῶν ἀποδοκιμάζετε τὸν Ὁμήρου μῦθον; ἐκεῖνο γὰρ οἶμαι δεῖν σιωπᾶν πρὸς ἄνδρας ἀμαθεῖς, ὅτι . . . . πύργον οἰκοδομεῖν οὐ δυνήσονται πρὸς τὸν οὐρανὸν ἀφικνούμενον, κἂν ἐκπλινθεύσωσι τὴν γῆν πᾶσαν . . . . . 13. 14 Hom. λ 315. 316.

εἶναι τὴν γῆν ἀνωμολόγησαν. (3.) ἕτερος δέ τις συγγενὴς τούτῳ περὶ 6
τῆς τῶν ζῴων ὁμοφωνίας πρὸς μυθοπλαστῶν ἀναγράφεται· λέγεται γάρ,
ὡς ἄρα πάνθ' ὅσα ζῷα χερσαῖα καὶ ἔνυδρα καὶ πτηνὰ τὸ παλαιὸν ὁμό-
φωνα ἦν, καὶ ὅνπερ τρόπον ἀνθρώπων Ἕλληνες μὲν Ἕλλησι, βαρβάροις
δὲ βάρβαροι νῦν οἱ ὁμόγλωττοι διαλέγονται, τοῦτον τὸν τρόπον καὶ πάντα
πᾶσι περὶ ὧν ἢ δρᾶν ἢ πάσχειν τι συνέβαινεν ὡμίλει, ὡς καὶ ἐπὶ ταῖς
κακοπραγίαις συνάχθεσθαι κἄν, εἴ πού τι λυσιτελὲς ἀπαντῴη, συνευφραί-
νεσθαι. τάς τε γὰρ ἡδονὰς καὶ ἀηδίας ἀλλήλοις ἀναφέροντα διὰ τοῦ 7
p. 406 M. ὁμοφώνου συνήδετο καὶ συναηδίζετο, | κἀκ τούτου τὸ ὁμοιότροπον καὶ
ὁμοιοπαθὲς εὑρίσκετο, μέχριπερ κορεσθέντα τῆς τῶν παρόντων ἀγαθῶν
ἀφθονίας, ὃ πολλάκις γίνεσθαι φιλεῖ, πρὸς τὸν τῶν ἀνεφίκτων ἔρωτα
ἐξώκειλε καὶ περὶ ἀθανασίας ἐπρεσβεύετο γήρως ἔκλυσιν καὶ τὴν εἰς αἰεὶ
νεότητος ἀκμὴν αἰτούμενα, φάσκοντα καὶ τῶν παρ' αὐτοῖς ἓν ἤδη ζῴων
τὸ ἑρπετόν, ὄφιν, τετυχηκέναι ταύτης τῆς δωρεᾶς· ἀποδυόμενον γὰρ τὸ
γῆρας πάλιν ἐξ ὑπαρχῆς ἀνηβᾶν· ἄτοπον δ' εἶναι ἢ τὰ κρείττω τοῦ
χείρονος ἢ ἑνὸς τὰ πάντα λειφθῆναι. δίκην μέντοι τοῦ τολμήματος 8
ἔδωκε τὴν προσήκουσαν· ἑτερόγλωττα γὰρ εὐθὺς ἐγένετο, ὡς ἐξ ἐκείνου
μηκέτ' ἀλλήλων ἐπακοῦσαι δυνηθῆναι χάριν τῆς ἐν ταῖς διαλέκτοις, εἰς
ἃς ἡ μία καὶ κοινὴ πάντων ἐτμήθη, διαφορᾶς. (4.) ὁ δ' ἐγγυτέρω 9
ταληθοῦς προσάγων τὸν λόγον τὰ ἄλογα τῶν λογικῶν διέζευξεν, ὡς ἀν-
θρώποις μόνοις μαρτυρῆσαι τὸ ὁμόφωνον. ἔστι δέ, ὥς γέ φασι, καὶ
τοῦτο μυθῶδες. καὶ μὴν τήν γε φωνῆς εἰς μυρίας διαλέκτων ἰδέας
τομήν, ἣν καλεῖ γλώττης σύγχυσιν, ἐπὶ θεραπείᾳ λέγουσιν ἁμαρτημάτων
συμβῆναι, ὡς μηκέτ' ἀλλήλων ἀκροώμενοι κοινῇ συναδικῶσιν, ἀλλὰ
τρόπον τινὰ [ἄλλοι] ἀλλήλοις κεκωφωμένοι * * * κατὰ συμπράξεις ἐγχειρῶσι τοῖς αὐτοῖς. τὸ δὲ οὐκ ἐπ' ὠφελείᾳ φαίνεται συμβῆναι· καὶ γὰρ 10
αὖθις οὐδὲν ἧττον κατὰ ἔθνη διῳκισμένων καὶ μὴ μιᾷ διαλέκτῳ χρω-
μένων γῇ καὶ θάλαττα πολλάκις ἀμυθήτων κακῶν ἐπληρώθη. οὐ γὰρ
αἱ φωναί, ἀλλὰ αἱ ὁμότροποι τῆς ψυχῆς πρὸς τὸ ἁμαρτάνειν ζηλώσεις

---

1 ἕτερος codd.: ἕτερον v τις συγγενὴς G: τι συγγενὲς HP, τι F (om. συγγενὲς) τούτῳ HP: τῶ GF 2 συμφωνίας HP 5 βάρβαροι νῦν οἱ GF: νῦν βάρβαροι HP 6 τι fort. del. 7 συνάχθεσθαι Turn.: συνέχεσθαι codd. εἴ] ἤ G ἀπαντῴη FP: ἁπάντων εἴ G, ἁπάντων Π 9 καὶ] ἢ F κἀκ GF: καὶ HP τούτων v τὸ om. F 12 γέρως GF ἀεὶ G 13 νεότητα Π 16 ληφθῆναι GF 17 ἐγένετο Vat. 379: ἐγίνετο ceteri 19 δὲ HP 20. 21 ἀνθρωπίνοις F 21 γέ GF: τε HP, om. v 22 τήν scripsi: τῆς codd. 24—26 ἀλλὰ — ἐγχειρῶσι om. F 25 ἄλλοι seclusi (vel ἄλλοι ἄλλοις scrib.) ἀλλήλους G μὴ solum supplet Mang. 29 φωναὶ] ὁμοφωνίαι coni. Mang. ὁμοιότροποι coni. Mang.

11 τοῦ συναδικεῖν αἴτιαι· καὶ γὰρ οἱ ἐκτετμημένοι γλῶτταν νεύμασι καὶ
βλέμμασι καὶ ταῖς ἄλλαις τοῦ σώματος σχέσεσι καὶ κινήσεσιν οὐχ ἧττον
τῆς διὰ λόγων προφορᾶς ἃ ἂν θελήσωσιν ὑποσημαίνουσι· χωρὶς τοῦ καὶ
ἔθνος ἓν πολλάκις οὐχ ὁμόφωνον μόνον ἀλλὰ καὶ ὁμόνομον καὶ ὁμοδίαι-
τον τοσοῦτον ἐπιβῆναι κακίας, ὥστε τοῖς ἀνθρώπων ἁπάντων ἁμαρτή-
12 μασιν ἰσοστάσια δύνασθαι πλημμελεῖν· ἀπειρίᾳ τε διαλέκτων μυρίοι πρὸς
τῶν ἐπιτιθεμένων οὐ προϊδόμενοι τὸ μέλλον προκατελήφθησαν, ὡς ἔμ-
παλιν ἐπιστήμῃ τοὺς ἐπικρεμασθέντας ἴσχυσαν φόβους τε καὶ κινδύνους
ἀπώσασθαι· ὥστε λυσιτελὲς μᾶλλον ἢ βλαβερὸν εἶναι τὴν ἐν διαλέκτοις
κοινωνίαν, ἐπεὶ καὶ μέχρι νῦν οἱ καθ' ἑκάστην χώραν, καὶ μάλιστα τῶν
αὐτοχθόνων, δι' οὐδὲν οὕτως ὡς διὰ τὸ ὁμόγλωσσον ἀπαθεῖς κακῶν
13 διατελοῦσι. κἂν εἰ μέντοι τις ἀνὴρ πλείους ἀναμάθοι διαλέκτους, εὐδό-
κιμος εὐθὺς παρὰ τοῖς ἐπισταμένοις ἐστὶν ὡς ἥδη φίλιος ὤν. οὐ βραχὺ
γνώρισμα κοινωνίας ἐπιφερόμενος τὴν ἐν τοῖς ὀνόμασι | συνήθειαν, ἀφ' p. 407 M.
ἧς τὸ ἀδεὲς εἰς τὸ μηδὲν ἀνήκεστον παθεῖν ἔοικε πεπορίσθαι. τί οὖν
ὡς κακῶν αἴτιον τὸ ὁμόγλωττον ἐξ ἀνθρώπων ἠφάνιζε, δέον ὡς ὠφελι-
14 μώτατον ἱδρῦσθαι; (5.) τοὺς δὴ ταῦτα συντιθέντας καὶ κακοτεχνοῦντας
ἰδίᾳ μὲν διελέγξουσιν οἱ τὰς προχείρους ἀποδόσεις τῶν ἀεὶ ζητουμένων
ἐκ τῆς φανερᾶς τῶν νόμων γραφῆς ἀφιλονείκως ⟨ταμιευόμενοι⟩, οὐκ ἀντι-
σοφιζόμενοί ποθεν, ἀλλ' ἑπόμενοι τῷ τῆς ἀκολουθίας εἱρμῷ προσπταίειν
οὐκ ἐῶντι, ἀλλὰ κἄν, εἴ τινα ἐμποδὼν εἴη, ῥᾳδίως ἀναστέλλοντι, ὅπως
15 αἱ τῶν λόγων διέξοδοι γίνωνται ἄπταιστοι. φαμὲν τοίνυν ἐκ τοῦ „τὴν
γῆν εἶναι πᾶσαν χεῖλος ἓν καὶ φωνὴν μίαν“ κακῶν ἀμυθήτων καὶ μεγάλων
συμφωνίαν δηλοῦσθαι, ὅσα τε πόλεις πόλεσι καὶ ἔθνεσιν ἔθνη καὶ χώραις
χῶραι ἀντεπιφέρουσι, καὶ ὅσα μὴ μόνον εἰς ἑαυτοὺς ἀλλὰ καὶ εἰς τὸ θεῖον
ἀσεβοῦσιν ἄνθρωποι· καίτοι ταῦτα πληθῶν ἐστιν ἀδικήματα. σκεπτόμεθα
δ' ἡμεῖς καὶ ἐφ' ἑνὸς ἀνδρὸς τὸ ἀδιεξήγητον τῶν κακῶν πλῆθος, καὶ μάλισθ'
16 ὅταν τὴν ἀνάρμοστον καὶ ἐκμελῆ καὶ ἄμουσον ἴσχῃ συμφωνίαν. (6.) τὰ μὲν
δὴ τυχηρὰ τίς οὐκ οἶδεν, ὅταν πενία καὶ ἀδοξία σώματος νόσοις ἢ πηρώσεσι
συνενεχθῶσι. καὶ πάλιν ταῦτα ψυχῆς ἀρρωστήμασιν ἔκφρονος ὑπὸ μελαγ-

---

1 οἱ G: om. FHP νεύσεσι G 3 θέλωσιν HP 5 ὥσπερ F 6 πλημμελεῖν GP εὐπορία HP 7 προϊδόμενοι scripsi: προειδόμενοι codd. προκατελείφθησαν P 9 ταῖς διαλέκτοις HP 10 ⟨τὴν⟩ τῶν conicio 12. 13 εὐδοκίμους F 13 φίλος HP 15 πεπορεῖσθαι F, πεπόρισται G 16 κακὸν GF 17 συντεθέντας FH 19 ταμιευόμενοι addidi 20 ἀληθείας HP 22 γίνωνται L: γίνονται H, γίνοιντο GFP 24 τε καὶ πόλεις L 26 σκεπτώμεθα v 27 μάλιστ' H 28 ἴσχῃ scripsi: σχοίη codd. 29 πενίᾳ καὶ ἀδοξίᾳ v παρώσεσι H, πηρώσε (sic) F 30 συναχθῶσι G, συνεχθῶσι F

χολίας ἢ μακροῦ γήρως ἤ τινος βαρείας ἄλλης κακοδαιμονίας γεγενημένης ἀνακραθῶσι; καὶ γὰρ ἓν μόνον τῶν εἰρημένων βιαίως ἀντιστατῆσαν ἱκανὸν ἀνατρέψαι καὶ καταβαλεῖν καὶ τὸν λίαν ὑπέρογκόν ἐστιν· ὅταν δὲ ἀθρόα ὥσπερ προστάξει μιᾷ κατὰ τὸν αὐτὸν χρόνον ἐνὶ πάντα σωρηδὸν ἐπιθῆται τὰ σώματος, τὰ ψυχῆς, τὰ ἐκτός, τίνα οὐχ ὑπερβάλλει σχετλιότητα; πεσόντων γὰρ δορυφόρων ἀνάγκη καὶ τὸ δορυφορούμενον πίπτειν. δορυφόροι μὲν οὖν σώματος πλοῦτος, εὐδοξία, τιμαί, ὀρθοῦντες αὐτὸ καὶ εἰς ὕψος αἴροντες καὶ γαῦρον ἀποδεικνύντες, ὡς τἀναντία, ἀτιμία, ἀδοξία, πενία, πολεμίων τρόπον καταράττουσι. πάλιν τε δορυφόροι ψυχῆς ἀκοαὶ καὶ ὄψεις ὄσφρησίς τε καὶ γεῦσις καὶ ξύμπαν τὸ αἰσθήσεως στῖφος, ἔτι μέντοι ὑγίεια καὶ ἰσχὺς δύναμίς τε καὶ ῥώμη· τούτοις γὰρ ὥσπερ ἑστῶσι καὶ κραταιῶς ἐρηρεισμένοις εὐερκέσιν οἴκοις ὁ νοῦς ἐμπεριπατῶν καὶ ⟨ἐν⟩διαιτώμενος ἀγάλλεται πρὸς μηδενὸς ταῖς ἰδίαις ὁρμαῖς χρῆσθαι κωλυόμενος, ἀλλ' εὐμαρεῖς καὶ λεωφόρους ανα-
p. 408 M. πεπταμένας ἔχων τὰς διὰ πάντων ὁδούς. τὰ δὲ | τοῖς δορυφόροις τούτοις ἐχθρὰ ἀντικάθηται, πήρωσις αἰσθητηρίων καὶ νόσος, ὡς ἔφην, οἷς ἡ διάνοια συγκατακρημνισθῆναι πολλάκις ἐμέλλησε. καὶ τὰ μὲν τυχηρὰ ταῦτα ἀργαλέα σφόδρα καὶ σχέτλια ἐξ ἑαυτῶν, πρὸς δὲ τὴν ⟨τῶν⟩ ἐκ προνοίας σύγκρισιν κουφότερα πολλῷ. (7.) τίς οὖν ἡ τῶν ἑκουσίων κακῶν συμφωνία, πάλιν ἐν μέρει σκοπῶμεν· τριμεροῦς ἡμῶν τῆς ψυχῆς ὑπαρχούσης τὸ μὲν νοῦς καὶ λόγος, τὸ δὲ θυμός, τὸ δὲ ἐπιθυμία κεκληρῶσθαι λέγεται. κηραίνει δὲ καθ' αὑτό τε ἕκαστον ἰδίᾳ καὶ πρὸς ἄλληλα πάντα κοινῇ, ἐπειδὰν ὁ μὲν νοῦς ὅσα ἀφροσύναι καὶ δειλίαι ἀκολασίαι τε καὶ ἀδικίαι σπείρουσι θερίσῃ, ὁ δὲ θυμὸς τὰς ἐκμανεῖς καὶ παραφόρους λύττας καὶ ὅσα ἄλλα ὠδίνει κακὰ τέκῃ, ἡ δὲ ἐπιθυμία τοὺς ὑπὸ νηπιότητος ἀεὶ κούφους ἔρωτας καὶ τοῖς ἐπιτυχοῦσι σώμασί τε καὶ πράγμασι προσιπταμένους ἐπιπέμψῃ πανταχόσε· τότε γὰρ ὥσπερ ἐν σκάφει

---

1 ἄλλης βαρείας HP 2 ἀνακραθῇ coni. Cohn 3 ἱκανῶς GF ἀναστρέψαι PL 4 ἐνὶ GF: ἔνι HP, ἐνῇ v 5 ἐπιθῆται scripsi: ἐπιθεῖναι codd. σώματος P: σώματα GFH τὰ ante ψυχῆς om. GF 7 εὐδοξίαι P (ι vid. add. man. 2) v 7. 8 τιμαῖς ὠθοῦντες G 8 αὐτὸ εἰς G 10 ἀκοὴ καὶ ὄψις coni. Mang. ὄψις P 10. 11 τὸ ξύμπαν H 11 αἰσθήσεων coni. Mang. 12 ὡς παρεκστῶσι HP εὐεργέσιν GF οἴκοις GF: ὄρκοις HP, ὄροις v 13 ἐνδιαιτώμενος Mang.: διαιτώμενος codd. 14 post λεωφόρους add. καὶ Mang. 17 κατακρημνησθῆναι GH ἐμέλησε GF 18 τῶν add. Mang. 20 τῆς ψυχῆς bis habet F 21. 22 συγκεκληρῶσθαι G 22 τε om. v καὶ bis habet H 24 τὰς om. HP 25 ὠδίνει] ὀδύνη G 26 νηπιότητος GF: νεότητος HP 27 προσιπτάμενος G τότε] τὸ G

ναυτῶν, ἐπιβατῶν, κυβερνητῶν κατά τινα φρενοβλάβειαν ἐπ' ἀπωλείᾳ τούτου συμφρονησάντων καὶ οἱ ἐπιβουλεύσαντες αὐτῇ νηὶ οὐχ ἥκιστα συναπώλοντο. βαρύτατον γὰρ κακῶν καὶ σχεδὸν ἀνίατον μόνον ἡ πάντων τῶν ψυχῆς μερῶν πρὸς τὸ ἁμαρτάνειν συνεργία, μηδενὸς οἷα ἐν πανδήμῳ συμφορᾷ δυνηθέντος ὑγιαίνειν, ἵνα τοὺς πάσχοντας ἰᾶται, ἀλλὰ καὶ τῶν ἰατρῶν ἅμα τοῖς ἰδιώταις καμνόντων, οὓς ἡ λοιμώδης νόσος
23 ἐφ' ὁμολογουμένῃ συμφορᾷ πιέσασα κατέχει. τοῦ παθήματος τούτου ⟨σύμβολον⟩ ὁ μέγας ἀναγραφεὶς παρὰ τῷ νομοθέτῃ κατακλυσμός ἐστι, τῶν τε ἀπ' οὐρανοῦ καταρρακτῶν τοὺς κακίας αὐτῆς λάβρῳ φορᾷ χειμάρρους ἐπομβρούντων καὶ τῶν ἀπὸ γῆς, λέγω δὲ τοῦ σώματος, πηγῶν ἀναχεουσῶν τὰ πάθους ἑκάστου ῥεύματα πολλὰ ὄντα καὶ μεγάλα, ἅπερ εἰς ταὐτὸν τοῖς προτέροις συνιόντα καὶ ἀναμιγνύμενα κυκᾶταί τε καὶ τὸ
24 δεδεγμένον ἅπαν τῆς ψυχῆς στροβεῖ χωρίον δίναις ἐπαλλήλοις. „ἰδὼν" γάρ φησι „κύριος ὁ θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ ἐπιμελῶς τὰ πονηρὰ πάσας τὰς ἡμέρας" ἔγνω τὸν ἄνθρωπον, λέγω δὲ τὸν νοῦν, μετὰ τῶν περὶ αὐτὸν ἑρπετῶν τε καὶ πτηνῶν καὶ τῆς ἄλλης ἀλόγου τῶν ἀτιθάσων θηρίων πληθύος ἐφ' οἷς ἀνίατα ἠδικήκει τίσασθαι (Gen. 6, 5—7)·
25 ἡ δὲ τιμωρία κατακλυσμός. ἦν γὰρ ἔφεσις ἁμαρτημάτων καὶ πολλὴ τοῦ ἀδικεῖν μηδενὸς κωλύοντος φορά, ἀλλὰ προσαναρρηγνυμένων ἀδεῶς ἁπάντων εἰς χορηγίας ἀφθόνους τοῖς πρὸς τὰς ἀπολαύσεις ἑτοιμοτάτοις, καὶ μήποτ' εἰκότως· οὐ γὰρ ἕν τι μέρος διέφθαρτο τῆς ψυχῆς, ἵνα τοῖς ἄλλοις ὑγιαίνουσι σῴζεσθαι δύναιτο, ἀλλ' οὐδὲν ἄνοσον οὐδὲ ἀδιάφθαρτον αὐτῆς κατελείπετο· | ἰδὼν γὰρ ὅτι πᾶς τις, φησί, διανοεῖται [πᾶς] p. 409 M.
λογισμός, οὐχὶ μόνος εἷς, τὴν ἁρμόττουσαν ὁ ἀδέκαστος δικαστὴς ἐπή-
26 γαγε τιμωρίαν. (8.) οὗτοί εἰσιν οἱ ἐπὶ τῆς ἁλμυρᾶς φάραγγος ὁμαιχμίαν πρὸς ἀλλήλους θέμενοι. κοῖλον γὰρ καὶ τραχὺ καὶ φαραγγῶδες τὸ κακιῶν ⟨καὶ⟩ παθῶν χωρίον, ἁλμυρὸν τῷ ὄντι καὶ πικρὰς φέρον

---

2 συμφρονησάντων F: συμφωνησάντων GHP αὐτῇ νηὶ scripsi: αὐτὴν ἢ G, αὐτὴν ἢ F, αὐτῇ HP ἧττον coni. Mang. 3 κακὸν GF 4 συνέργεια H 5 συμφορᾷ HP: φορᾷ GF, φθορᾷ conicio 8 σύμβολον (vel σημεῖον) add. Mang. 9 τῶν post οὐρανοῦ add. G λαύρῳ F 12 ἀναμιγνύμενα HPL¹: ἅμα μιγνύμενα GFL² 13 δεδεμένον G στροβοῖ F 16 νοῦν] νῦν Turn. 17 ἀτιθάσσων F 18 ἠδικήκει F: ἠδίκει GHP 19 γὰρ om. GF 22 μήποτ' H: μήποτ' οὐκ GFP, μήποτ' οὐκ ἀπεικότως conicio 23. 24 δύναιτο — ὅτι om. F 23 ἀδιάφθορον coni. Mang. 24 κατελίπετο G, κατελέλειπτο conicio πᾶς seclusi (om. v) vel scrib. τὰ πονηρὰ 25 λογισμὸς ἡμῶν νοσεῖ τὴν F 28 κακίστων P, corr. in mg. καὶ add. Mang. ἁλμυρὰς F φέρων GF

ὠδῖνας, ὧν ὁ σοφὸς Ἀβραὰμ τὸ ἐνώμοτον καὶ ἔνσπονδον οὔθ' ὅρκων
οὔτε σπονδῶν ἐπάξιον εἰδὼς καθαιρεῖ· λέγεται γὰρ ὅτι „πάντες οὗτοι
συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ θάλασσα τῶν ἁλῶν"
(Gen. 14, 3). ἢ οὐχ ὁρᾷς τοὺς ἑστειρωμένους σοφίαν καὶ τυφλοὺς διά- 27
νοιαν, ἣν ὀξυδερκεῖν εἰκὸς ἦν, Σοδομίτας κατὰ γλῶτταν, ἀπὸ νεανίσκου
ἕως πρεσβυτέρου πάνθ' ὁμοῦ τὸν λεὼν ἐν κύκλῳ τὴν οἰκίαν τῆς ψυχῆς
περιθέοντας, ἵνα τοὺς ξενωθέντας ἱεροὺς καὶ ὁσίους λόγους αὐτῇ, φρουροὺς
καὶ φύλακας ὄντας, αἰσχύνωσι καὶ διαφθείρωσι, καὶ μηδένα τὸ παράπαν
μήτε τοῖς ἀδικοῦσιν ἐναντιοῦσθαι μήτε τοῦ τι ποιεῖν ἄδικον ἀποδιδράσκειν
ἐγνωκότα; οὐ γὰρ οἱ μέν, οἱ δ' οὔ, „πᾶς δ'", ὥς φησιν, „ὁ λαὸς περιε- 28
κύκλωσαν ἅμα τὴν οἰκίαν, νέοι τε καὶ πρεσβῦται" (Gen. 19, 4) κατὰ
τῶν θείων καὶ ἱερῶν λόγων συνομοσάμενοι, οὓς καλεῖν ἔθος ἀγγέλους.
(9.) ἀλλ' ὅ γε θεοπρόπος Μωυσῆς θράσει πολλῷ ῥέοντας αὐτοὺς ὑπαν- 29
τιάσας ἐφέξει, κἂν τὸν θρασύτατον καὶ δεινότατον εἰπεῖν ἐν ἑαυτοῖς βασι-
λέα λόγον προστησάμενοι μιᾷ ῥύμῃ κατατρέχωσι, συναύξοντες τὰ οἰκεῖα
καὶ ποταμοῦ τρόπον πλημμύροντες· „ἰδοὺ" γάρ φησιν „ὁ τῆς Αἰγύπτου
βασιλεὺς ἐπὶ τὸ ὕδωρ ἀφικνεῖται. σὺ δὲ στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ
χεῖλος τοῦ ποταμοῦ" (Exod. 7, 15). οὐκοῦν ὁ μὲν φαῦλος ἔξεισιν ἐπὶ 30
τὴν τῶν ἀδικημάτων καὶ παθῶν ἀθρόων φοράν, ἅπερ ὕδατι ἀπεικάζεται·
ὁ δὲ σοφὸς πρῶτον μὲν κτᾶται γέρας παρὰ τοῦ ἑστῶτος ἀεὶ θεοῦ
συγγενὲς αὐτοῦ τῇ ἀκλινεῖ καὶ ἀρρεπεῖ πρὸς πάντα δυνάμει λαβών·
εἴρηται γὰρ „σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ" (Deut. 5, 31), ἵνα ἐνδοιασμὸν 31
καὶ ἐπαμφοτερισμόν, ἀβεβαίου ψυχῆς διαθέσεις, ἀποδυσάμενος τὴν ὀχυρω-
τάτην καὶ βεβαιοτάτην διάθεσιν, πίστιν, ἐνδύσηται. ἔπειτα δὲ ἑστώς, τὸ
παραδοξότατον, ὑπαντᾷ· „στήσῃ" γάρ ⟨φησιν⟩ „ὑπαντιάζων"· καίτοι τὸ
μὲν ὑπαντᾶν ἐν κινήσει, κατὰ δ' ἠρεμίαν τὸ ἵστασθαι θεωρεῖται. λέγει 32
δὲ οὐ τὰ μαχόμενα, τὰ δὲ τῇ φύσει μάλιστα ἀκολουθοῦντα· ὅτῳ γὰρ ἠρε-
μεῖν πέφυκεν ἡ γνώμη καὶ ἀρρεπῶς ἱδρῦσθαι, συμβαίνει πᾶσιν ἀνθ-
ίστασθαι τοῖς σάλῳ καὶ κλύδωνι χαίρουσι καὶ τὸν γαληνιάσαι δυνάμενον

---

2 καθαιρεῖ Mang.: καθαίρει codd. 3 ἁλικὴν G 5 ὀξυδορκεῖν G Σοδομῖται G ἀπὸ] ἐπὶ G 7 αὐτῇ FHP: αὐτὴ G, αὐτῆς Mang. φρουρὰς F 8 tertium καὶ om. HP μηδενὸς v 10 ἐγνωκότος v 12 θείων καὶ ἱερῶν scripsi: θείων ἔργων καὶ codd. καὶ λόγων om. F καλεῖν GF: καθελῆν H, καθελεῖν P 13 θεότροπος HPL¹ θράσει om. GF 15 post οἰκεῖα add. ῥεύματα Mang. 16 πλημμυροῦντες conicio 17 στήσῃ F: στήσης G, στῆθι HP 18 τοῦ ποταμοῦ om. HP 19 ante ἀθρόων add. καὶ v 23 ἀβεβαίου — ἀποδυσάμενος om. G 24 post διάθεσιν add. καὶ HP ἔστω G 25 φησιν addidi καίτοι codd.: καὶ v 29 γαληνιάσαι HP: γαληνίσαι GF

33 χειροποιήτῳ χειμῶνι κυμαίνουσιν. (10.) εὖ μέντοι γε ἔχει παρὰ | τὸ p. 410 M.
χεῖλος τοῦ ποταμοῦ τὴν ἐναντίωσιν συνίστασθαι· χείλη δὲ στόματος μέν
ἐστι πέρατα, φραγμὸς δέ τις γλώττης, δι' ὧν φέρεται τὸ τοῦ λόγου
34 ῥεῦμα, ὅταν ἄρξηται κατέρχεσθαι. λόγῳ δὲ καὶ οἱ μισάρετοι καὶ φιλο-
παθεῖς συμμάχῳ χρῶνται πρὸς τὴν τῶν ἀδοκίμων δογμάτων εἰσήγησιν 5
καὶ πάλιν οἱ σπουδαῖοι πρός τε τὴν τούτων ἀναίρεσιν καὶ πρὸς τὸ τῶν
35 ἀμεινόνων καὶ ἀψευδῶς ἀγαθῶν κράτος ἀνανταγώνιστον. ὅταν μέντοι
πάντα κάλλων ἀνασείσαντες ἐριστικῶν δογμάτων ὑπ' ἐναντίας ῥύμης λόγων
ἀνατραπέντες ἀπόλωνται, τὸ ἐπινίκιον δικαίως καὶ προσηκόντως ὁ σοφὸς
36 ἆσμα χορὸν ἱερώτατον στησάμενος ἐμμελῶς ἄσεται· „εἶδε“ γάρ φησιν 10
„Ἰσραὴλ τοὺς Αἰγυπτίους“ οὐχ ἑτέρωθι „τεθνεῶτας“ ἀλλὰ παρὰ „τὸ
χεῖλος τοῦ ποταμοῦ“ (Exod. 14, 30), θάνατον λέγων οὐ τὴν ἀπὸ σώ-
ματος ψυχῆς διάκρισιν, ἀλλὰ τὴν ἀνοσίων δογμάτων καὶ λόγων φθοράν,
οἷς ἐχρῶντο διὰ στόματος καὶ γλώττης καὶ τῶν ἄλλων φωνητηρίων
37 ὀργάνων. λόγου δὲ θάνατός ἐστιν ἡσυχία, οὐχ ἣν οἱ ἐπιεικέστεροι ποι- 15
ούμενοι σύμβολον αἰδοῦς μετέρχονται — δύναμις γὰρ καὶ ἥδε ἐστὶν ἀδελφὴ
τῆς ἐν τῷ λέγειν ταμιευομένη μέχρι καιροῦ τὰ λεκτέα —, ἀλλ' ἣν οἱ
ἐξησθενηκότες καὶ ἀπειρηκότες διὰ τὴν τῶν ἐναντίων ἰσχὺν ὑπομένουσιν
38 ἄκοντες λαβὴν οὐδεμίαν ἔθ' εὑρίσκοντες. ὧν τε γὰρ ἂν ἐφάψωνται,
διαρρεῖ, καὶ οἷς ἂν ἐπιβῶσιν, οὐχ ὑπομένει, ὡς πρὶν ἢ στῆναι πίπτειν 20
ἀναγκάζεσθαι, ὥσπερ ἡ ἔλιξ, τὸ ὑδρηρὸν ὄργανον, ἔχει· κατὰ γάρ μέσον
αὐτὸ γεγόνασι βαθμοί τινες, ὧν ὁ γεωπόνος, ὅταν ἐθελήσῃ ποτίσαι τὰς
ἀρούρας, ἐπιβαίνει μέν, περιολισθαίνει δ' ἀναγκαίως· ὑπὲρ δὴ τοῦ μὴ
πίπτειν συνεχῶς πλησίον ἐχυροῦ τινος ταῖς χερσὶ περιδράττεται, οὗ ἐνει-
λημμένος τὸ ὅλον σῶμα ἀπηώρηκεν αὐτοῦ· ⟨ὥστε⟩ ἀντὶ μὲν ποδῶν 25
χερσίν, ἀντὶ δὲ χειρῶν ποσὶ χρῆσθαι· ἵσταται μὲν γὰρ ἐπὶ χειρῶν, δι'
ὧν εἰσιν αἱ πράξεις, πράττει δ' ἐν ποσίν, ἐφ' ὧν εἰκὸς ἵστασθαι.

---

1 χειροποιείτω F 2 ἐναντίωσιν] συνάντησιν coni. Mang. 4 προέρχεσθαι conicio 4. 5 φιλοπαθεῖς Mang.: φιλομαθεῖς codd. 5 ἀδοκίμων Turn.: δοκίμων codd. 6 τούτων GF: ψευδῶν HP καὶ om. G 7 ἀψευδῶς scripsi: ἀψευδῶν GHP, ψευδῶν F 8 κάλον G 9 ἀπώλονται G 10 εὐμελῶς HP ἄσατε G 12 τοῦ ποταμοῦ] τῆς θαλάσσης conicio 13 φοράν HP 14 ἐχθρῶν τε διὰ G 17 ταμιευομένης G, ταμιευομένοις F 19 λαβὴν Turn.: βλάβην codd. ἂν Richter: ἐὰν codd. 20 ἂν HP: ἐὰν GF 21 ἕλιγξ H ὑδρηλὸν HP μέσου G 22 αὐτὸ G: αὐτῷ F, αὐτῶν HP, αὐτῆς v βασμοί GF 24 πλησίον] ποσὶν conicio ἐχυροῦ om. F τινὸς ἐχυροῦ transpos. G οὗ Turn.: ὡς GF, ᾧ HP 25 αὐτοῦ Turn. ὥστε addidi μὲν GF: μὲν γὰρ HP χειρῶν δὲ F 26 χρῆσθαι GFH: χρῆται Pv 27 πράττειν G

(11.) πολλοὶ δ' οὐ δυνάμενοι τὰς πιθανὰς τῶν σοφιστῶν εὑρέσεις ἀνὰ 39
κράτος ἐλεῖν τῷ μὴ σφόδρα περὶ λόγους διὰ τὴν ἐν τοῖς ἔργοις συνεχῆ
μελέτην γεγυμνάσθαι κατέφυγον ἐπὶ τὴν τοῦ μόνου σοφοῦ συμμαχίαν
καὶ βοηθὸν αὐτὸν ἱκέτευσαν γενέσθαι· καθὰ καὶ τῶν Μωυσέως γνωρίμων
τις ἐν ὕμνοις εὐχόμενος εἶπεν· „ἄλαλα γενέσθω τὰ χείλη τὰ δόλια“
(Psalm. 30, 19). πῶς δ' ἂν ἡσυχάσαι, εἰ μὴ πρὸς μόνου τοῦ καὶ τὸν 40
λόγον αὐτὸν ἔχοντος ὑπήκοον ἐπιστομισθείη; τὰς μὲν οὖν εἰς τὸ ἁμαρ-
τάνειν συνόδους ἀμεταστρεπτὶ φευκτέον, τὸ δὲ ἔνσπονδον πρὸς τοὺς φρο-
p. 411 M. νήσεως καὶ | ἐπιστήμης ἑταίρους βεβαιωτέον. παρὸ καὶ τοὺς λέγοντας 41
„πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί ἐσμεν“ (Gen. 42, 11)
τεθαύμακα τῆς εὐαρμόστου συμφωνίας· ἐπεὶ καὶ πῶς οὐκ ἐμέλλετε,
φήσαιμ' ἄν, ὦ γενναῖοι, πολέμῳ μὲν δυσχεραίνειν, εἰρήνην δὲ ἀγαπᾶν,
ἕνα καὶ τὸν αὐτὸν ἐπιγεγραμμένοι πατέρα οὐ θνητὸν ἀλλ' ἀθάνατον,
ἄνθρωπον θεοῦ, ὃς τοῦ ἀιδίου λόγος ὢν ἐξ ἀνάγκης καὶ αὐτός ἐστιν
ἄφθαρτος; οἱ μὲν γὰρ πολλὰς ἀρχὰς τοῦ κατὰ ψυχὴν γένους συστησά- 42
μενοι, τῷ πολυθέῳ λεγομένῳ κακῷ προσνείμαντες ἑαυτούς, ἄλλοι πρὸς
ἄλλων τιμὰς τραπόμενοι ταραχὰς καὶ στάσεις ἐμφυλίους τε καὶ ξενικὰς
ἐδημιούργησαν τὸν ἀπ' ἀρχῆς γενέσεως ἄχρι τελευτῆς βίον πολέμων
ἀκηρύκτων καταπλήσαντες. οἱ δὲ ἑνὶ γένει χαίροντες καὶ ἕνα πατέρα 43
τὸν ὀρθὸν τιμῶντες λόγον, τὴν εὐάρμοστον καὶ πάμμουσον συμφωνίαν
ἀρετῶν τεθαυμακότες, εὔδιον καὶ γαληνὸν βίον ζῶσιν, οὐ μὴν ἀργὸν καὶ
ἀγενῆ τινα, ὡς ἔνιοι νομίζουσιν, ἀλλὰ σφόδρα ἀνδρεῖον καὶ λίαν ἠκονη-
μένον κατὰ τῶν σπονδὰς λύειν ἐπιχειρούντων καὶ σύγχυσιν ὁρκίων αἰεὶ
μελετώντων· τοὺς γὰρ εἰρηναίους φύσει πολεμικοὺς εἶναι συμβέβηκεν
ἀντικαθημένους καὶ ἀνθεστῶτας τοῖς τὸ εὐσταθὲς τῆς ψυχῆς ἀνατρέ-
πουσι. (12.) μαρτυρεῖ δέ μου τῷ λόγῳ πρῶτον μὲν ἡ ἑκάστου τῶν 44
φιλαρέτων διάνοια διακειμένη τὸν τρόπον τοῦτον, ἔπειτα δὲ καὶ τοῦ προ-
φητικοῦ θιασώτης χοροῦ, ὃς καταπνευσθεὶς ἐνθουσιῶν ἀνεφθέγξατο· „ὦ
μῆτερ, ἡλίκον με ἔτεκες, ἄνθρωπον μάχης καὶ ἄνθρωπον ἀηδίας πάσης
τῆς γῆς; οὐκ ὠφείλησα, οὐδὲ ὠφείλησάν μοι, οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν

---

1 ῥήσεις coni. Mang. 4 Μωυσέος codd. 5 γενέσθαι GP 7 οὖν om. H
8. 9 τὸ δὲ — βεβαιωτέον om. F 9 ἑτέρους H παρὸ H: παρ' ὃ GFP 13 καὶ
om. G 14 θεοῦ ἄνθρωπον G 15 τῆς et γενέσεως coni. Mang.
15. 16 συνιστάμενοι HPL[1] 18 ἐδημιούργησαν τὸν scripsi: ἐδημιουργήσαντο codd.
βίου L 20 συμφωνίαν om. F 22 ἀγεννῆ FP νομίζωσιν G
23 ἀεὶ G 24 μεμελετώντων H 26 τῶν om. GF 27. 28 προφήτου F 29 με] μὲν G 30 ὠφείλησα, οὐδὲ om. G ὠφείλησα F: ὠφέλησα HP ὠφείλησάν μοι scripsi: ὠφείλεσάν μοι GF, ὠφέλησάν με HP

45 ἀπὸ καταρῶν αὐτῶν“ (Ier. 15, 10). ἀλλ᾽ οὐ πᾶς σοφὸς· πᾶσι φαύλοις
ἐχθρός ἐστιν ἄσπονδος, οὐ τριηρῶν ἢ μηχανημάτων ἢ ὅπλων ἢ στρατιω-
46 τῶν παρασκευῇ πρὸς ἄμυναν χρώμενος, ἀλλὰ λογισμοῖς; ὅταν γὰρ τὸν
ἐν τῇ ἀπολέμῳ εἰρήνῃ συνεχῇ καὶ ἐπάλληλον ἀνθρώπων ἁπάντων ἴδιον
καὶ κοινόν, μὴ κατὰ ἔθνη καὶ χώρας ἢ πόλεις καὶ κώμας αὐτὸ μόνον, 5
ἀλλὰ καὶ κατ᾽ οἰκίαν καὶ ἕνα ἕκαστον τῶν ἐν μέρει συγκροτούμενον
πόλεμον θεάσηται, τίς ἐστιν ὅ γε μὴ παραινῶν, κακίζων, νουθετῶν, σω-
φρονίζων, οὐ μεθ᾽ ἡμέραν μόνον ἀλλὰ καὶ νύκτωρ, τῆς ψυχῆς αὐτῷ
47 ἠρεμεῖν μὴ δυναμένης διὰ τὸ μισοπόνηρον φύσει; πάντα γὰρ ὅσα ἐν
πολέμῳ δρᾶται κατ᾽ εἰρήνην· συλῶσιν, ἁρπάζουσιν, ἀνδραποδίζονται, 10
λεηλατοῦσι, | πορθοῦσιν, ὑβρίζουσιν, αἰκίζονται, φθείρουσιν, αἰσχύνουσι, p. 412 M.
48 δολοφονοῦσιν, ἄντικρυς, ἢν ὧσι δυνατώτεροι, κτείνουσι. πλοῦτον γὰρ ἣ
δόξαν ἕκαστος αὐτῶν σκοπὸν προτεθειμένος ἐπὶ τοῦτον ὥσπερ βέλη τὰς
τοῦ βίου πράξεις ἁπάσας ἀφιεὶς ἰσότητος ἀλογεῖ, τὸ ἄνισον διώκει, κοι-
νωνίαν ἀποστρέφεται, μόνος τὰ πάντων ἔχειν ἀθρόα ἐσπούδακε, μισάν- 15
θρωπος καὶ μισάλληλός ἐστιν, ὑποκρινόμενος εὔνοιαν, κολακείας νόθης
ἑταῖρος ὤν, φιλίας γνησίου πολέμιος, ἀληθείας ἐχθρός, ὑπέρμαχος ψεύ-
δους, βραδὺς ὠφελῆσαι, ταχὺς βλάψαι, διαβαλεῖν προχειρότατος, ὑπερ-
ασπίσαι μελλητής, δεινὸς φενακίσαι, ψευδορκότατος, ἀπιστότατος, δοῦλος
49 ὀργῆς, εἴκων ἡδονῇ, φύλαξ κακῶν, φθορεὺς ἀγαθῶν. (13.) ταῦτα καὶ 20
τὰ τοιαῦτα τῆς ᾀδομένης καὶ θαυμαζομένης εἰρήνης περιμάχητα κειμή-
λια, ἅπερ ἡ ἑκάστου τῶν ἀφρόνων ἀγαλματοφοροῦσα διάνοια τέθηπε καὶ
προσκυνεῖ. ἐφ᾽ οἷς εἰκότως καὶ πᾶς σοφὸς ἄχθεται, καὶ πρός γε τὴν

---

1 αὐτῶν om. HP ἀλλ᾽ οὐ G^1FL^2: ἀλλὰ G^2HPL^1, ἀρ᾽ οὐ conicio 2 ἢ ὅπλων om. L 2. 3 στρατιωτικῶν F 3 ἄμειναν F ἀλλὰ λογισμοῖς Benzelius: ἐπιλογισμοῖς codd. 4 συνεχῶς HP 5 κεινὸν F, κοινῇ L^2 ἢ] καὶ conicio (cf. De gig. § 51) 6 τῶν] τὸν F 7 θεάσητε H τίς L: τοῖς GFHP ὅ γε F: ὅτε GHP παραινῶν scripsi: παροῦσι codd., παρανοοῦσι Mang. 11 αἰσχύνουσιν H 12 ἢν] ἢ F 15 ἔχειν τὰ πάντων HP 16 νωθὴς G 18 διαβάλλειν H 19 μελητής P, ἀμελητής F ἀπιστότατος om. G

---

3 sqq. cf. ad lin. 23 23 sqq. *Origenes Homilia XIV, 5 in Ieremiam p. 211:* τῶν πρὸ ἐμοῦ δέ τις ἐπέβαλε τῷ τόπῳ λέγων ὅτι ταῦτα ἔλεγεν οὐ πρὸς τὴν μητέρα τὴν σωματικήν, ἀλλὰ πρὸς τὴν μητέρα τὴν γεννῶσαν προφήτας. τίς δὲ γεννᾷ προφήτας; ἡ σοφία τοῦ θεοῦ . . . . εἴρηται οὖν „οἴμοι ἐγώ, μῆτερ“ ἐμὴ σοφία, „ὡς τίνα με ἔτεκες ἄνδρα διακζόμενον;“ τίς εἰμι ἐγώ, ὅτι εἰς τοσοῦτον γεγέννημαι, ἵνα δικάζωμαι, ἵνα διακρίνωμαι διὰ τοὺς ἐλέγχους, διὰ τὰς ἐπιπλήξεις, διὰ τὴν διδασκαλίαν πρὸς πάντας τοὺς ἐπὶ τῆς γῆς;

μητέρα καὶ τιθήνην ἑαυτοῦ, σοφίαν, εἴωθε λέγειν· „ὦ μῆτερ, ἡλίκον με ἔτεκες“, οὐ δυνάμει σώματος, ἀλλὰ τῇ πρὸς ⟨τὸ⟩ μισοπόνηρον ἀλκῇ, ἄνθρωπον ἀηδίας καὶ μάχης, φύσει μὲν εἰρηνικόν, διὰ δὲ τοῦτο καὶ πολεμικὸν κατὰ τῶν αἰσχυνόντων τὸ περιμάχητον κάλλος εἰρήνης. „οὐκ ὠφείλησα, 50
οὐδὲ ὠφειλησάν μοι“· οὔτε γὰρ αὐτοὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε ἐχρήσαντο, οὔτε ἐγὼ τοῖς ἐκείνων κακοῖς, ἀλλὰ κατὰ τὸ Μωυσέως γράμμα „ἐπιθύμημα οὐδενὸς αὐτῶν ἔλαβον“ (Num. 16, 15), σύμπαν τὸ τῆς ἐπιθυμίας αὐτῶν γένος θησαυρισαμένων παρ' ἑαυτοῖς ὡς μέγιστον ὄφελος ὑπερβάλλον βλάβος. „οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ τῶν ἀρῶν ἃς 51
ἐτίθεντό μοι“, δυνάμει δὲ κραταιοτάτῃ τῶν θείων ἐνειλημμένος δογμάτων οὔτε κακούμενος ἐκάμφθην, ἀλλὰ ἐρρωμένως ὠνείδισα τοῖς ἐξ ἑαυτῶν μὴ καθαιρομένοις· „ἔθετο γὰρ ἡμᾶς ὁ θεὸς εἰς ἀντιλογίαν τοῖς γείτοσιν 52
ἡμῶν“, ὡς καὶ ἐν ὕμνοις που λέλεκται (Psalm. 79, 7), πάντας τοὺς ὀρθῆς γνώμης ἐφιεμένους. ἀλλ' οὐκ ἀντιλογικοὶ φύσει γεγόνασιν, ὅσοι τὸν ἐπιστήμης καὶ ἀρετῆς ζῆλον ἔσχον ἀεί, τοῖς γείτοσι ψυχῆς ἀντιφιλονεικοῦντες, ἐλέγχοντες μὲν τὰς συνοίκους ἡδονάς, ἐλέγχοντες δὲ τὰς ὁμοδιαίτους ἐπιθυμίας, δειλίας τε καὶ φόβους, τὸ παθῶν καὶ κακιῶν στῖφος δυσωποῦντες, ἐλέγχοντες μέντοι καὶ πᾶσαν αἴσθησιν, περὶ μὲν ὧν εἶδον ὀφθαλμούς, περὶ ὧν δὲ ἤκουσαν ἀκοάς, ὀσμάς τε περὶ ἀτμῶν καὶ γεύσεις περὶ χυμῶν, ἔτι δὲ ἁφὰς περὶ τῶν κατὰ τὰς προσπιπτούσας τῶν ἐν τοῖς σώμασι δυνάμεων ἰδιότητας, καὶ μὲν δὴ τὸν προφορικὸν
p. 413 M. λόγον, περὶ ὧν διεξελθεῖν | ἔδοξε; τίνα γὰρ ἢ πῶς ἢ διὰ τί ἡ αἴσθησις 53
ἦσθετο ἢ ὁ λόγος διηρμήνευσεν ἢ τὸ πάθος διέθηκεν, ἄξιον ἐρευνᾶν μὴ παρέργως καὶ τῶν σφαλμάτων διελέγχειν ἕκαστον. ὁ δὲ μηδενὶ 54
τούτων ἀντιλέγων, ἅπασι δὲ ἑξῆς συνεπινεύων ἑαυτὸν λέληθεν ἀπατῶν καὶ ἐπιτειχίζων ψυχῇ βαρεῖς γείτονας, οἷς ἄμεινον ὑπηκόοις ἢ ἄρχουσι χρῆσθαι· ἡγεμονεύοντες μὲν γὰρ πολλὰ πημανοῦσι καὶ μεγάλα βασιλευούσης παρ' αὐτοῖς ἀνοίας, ὑπακούοντες δὲ τὰ δέονθ' ὑπηρετήσουσι

---

1 με] μὲν G 2 πρὸς] περὶ conicio τὸ addidi 4 ὠφέλησα HP 5 ὠφείλησάν μοι G: ὠφέλεσάν μοι F, ὠφέλησάν με HP γὰρ om. v τῆς ἐμῆς F 6 μωσέως GF, μωυσέος HP 9 ὑπερβάλον F 11 οὔτε] scrib. οὐ vel post ἐκάμφθην lacuna statuenda κακούμενος scripsi: ἐκκακούμενος codd. ἐκνάμφην H, ἐκνάμφθην P αὐτῶν HP 12 μὴ καθαιρουμένοις G, μοι καταρωμένοις v 14 ἀλλ'] ἀρ' conicio 15 τὸν] τὴν P ζῆλον GFL²: λόγον HL¹, λάλον P 17 δειλίας] fort. λύπας ⟨καὶ πᾶν⟩ τὸ conicio 19 εἶδον — ὧν om. G 20 γεύσεις F 21 ἰδιοτήτων conicio 23 διερμήνευσεν GF 25 ἁπαιτῶν (ι in ras.) F 26 ψυχῇ Turn.: ψυχῆς codd. 27 μὲν om. HP ποιμανοῦσι G 28 ἀνίας HP¹ ὑπηρετοῦσι HP

55 πειθηνίως οὐκεῖθ' ὁμοίως ἀπαυχενίζοντες. οὕτως μέντοι τῶν μὲν ὑπακούειν μαθόντων, τῶν δ' οὐκ ἐπιστήμῃ μόνον ἀλλὰ καὶ δυνάμει τὴν ἀρχὴν λαβόντων πάντες οἱ δορυφόροι καὶ ὑπέρμαχοι ψυχῆς συμφρονήσουσι λογισμοὶ καὶ τῷ πρεσβυτάτῳ τῶν ἐν αὐτοῖς προσελθόντες ἐροῦσιν· „οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν μεθ' ἡμῶν, οὐ διαπεφώνηκεν αὐτῶν οὐδὲ εἷς“ (Num. 31, 49), ἀλλ' ὥσπερ τὰ μουσικῆς ὄργανα ἄκρως ἡρμοσμένα πᾶσι τοῖς φθόγγοις, οὕτως ἡμεῖς πάσαις ταῖς ὑφηγήσεσι συνηχήσαμεν, ἐκμελὲς ἢ ἀπῳδὸν οὐδὲν οὔτε ῥῆμα εἰπόντες οὔτ' ἔργον διαπραξάμενοι, ὡς τὸν ἕτερον τῶν ἀμούσων χορὸν πάντα ἄφωνον καὶ νεκρὸν ἀποδεῖξαι γελασθέντα τὴν τῶν σωματικῶν τροφὴν Μαδιὰμ καὶ τὸν ἔκγονον αὐτῆς δερμάτινον ὄγκον
56 Βεελφεγὼρ ὄνομα ὑπνοῦντα (Num. 25,3). γένος γάρ ἐσμεν „τῶν ἐπιλέκτων τοῦ“ τὸν θεὸν ὁρῶντος „Ἰσραήλ“, ὧν „διεφώνησεν οὐδὲ εἷς“ (Exod. 24,11), ἵνα τὸ τοῦ παντὸς ὄργανον, ὁ κόσμος πᾶς, ταῖς ἁρμονίαις μουσικῶς
57 μελῳδῆται. διὰ τοῦτο καὶ Μωυσῆς τῷ πολεμικωτάτῳ λόγῳ, ὃς καλεῖται Φινεές, γέρας εἰρήνην φησὶ δεδόσθαι (Num. 25, 12), ὅτι ζῆλον τὸν ἀρετῆς λαβὼν καὶ πόλεμον πρὸς κακίαν ἀράμενος ὅλην ἀνέτεμε γένεσιν * * * ἑξῆς τοῖς βουλομένοις, διακύψασι καὶ διερευνησαμένοις ἀκριβῶς ὄψει πρὸ ἀκοῆς σαφεστέρῳ χρησαμένοις μάρτυρι, πιστεῦσαι, ὅτι γέμει
58 τὸ θνητὸν ἀπιστίας, ἐκ μόνου τοῦ δοκεῖν ἠρτημένον. θαυμάσιος μὲν οὖν ἡ λεχθεῖσα συμφωνία, θαυμασιωτάτη δὲ καὶ πάσας τὰς ἁρμονίας ὑπερβάλλουσα ἡ κοινὴ πάντων, καθ' ἣν ὁ λαὸς ἅπας ὁμοθυμαδὸν εἰσάγεται λέγων· „πάντα ὅσα εἶπεν ὁ θεός, ποιήσομεν καὶ ἀκουσόμεθα“
59 (Deut. 5, 27)· οὗτοι γὰρ οὐκέτι ἐξάρχοντι πείθονται λόγῳ, ἀλλὰ τῷ τοῦ παντὸς ἡγεμόνι θεῷ, δι' ὃν πρὸς τὰ ἔργα φθάνουσι μᾶλλον ἢ τοὺς
| λόγους ἁπαντῶντες· τῶν γὰρ ἄλλων ἐπειδὰν ἀκούσωσι πραττόντων p. 414 M.
οὗτοι, τὸ παραδοξότατον, ὑπὸ κατοκωχῆς ἐνθέου πράξειν φασὶ πρότερον,

---

1 ἐπαυχενίζοντες P οὕτω HP μὲν om. H 3. 4 συμφωνήσουσι conicio 4 λογισμοῖς G 6 ⟨ἀπ'⟩ αὐτῶν conicio 7 ἀλλὰ GF πᾶσαι HP 8 ἐκμενὲς H 9 οὐδὲν οὔτε scripsi: οὐδὲ codd. οὔτ' codd.: οὐδ' v 10 πάντη HP γελασθέντα] τελεσθέντα coni. Mang., ἀγαπήσαντα vel γελάσαντες conicio 11 τροφὸν coni. Mang. ἔγγονον v 12 Βεελφαγὼρ v ὑπνοῦντα] διαφωνοῦντα coni. Mang. τὸ ἐπίλεκτον coni. Mang. 16 εἰρήνην GF: εἰρήνη H, εἰρήνης Pv 18 lacunam statui ἑξ ἧς coni. Cohn et ante τοῖς lacunam statuit 19 πρὸ HP: πρὸς GF ad πιστεῦσαι add. δεῖ vel χρὴ Mang. 20 ἠρτισμένον G 23 ποιήσομεν καὶ ἀκουσόμεθα Turn.: ποιήσωμεν καὶ ἀκουσώμεθα codd. 24 τῷ om. GF 25 ὃν GFP: ὧν H, ὃ conicio 27 κατοκωχῆς scripsi: κατακωχῆς codd. ἐκ θεοῦ v

εἶτα ἀκούσεσθαι, ἵνα μὴ διδασκαλίᾳ καὶ ὑφηγήσει δοκῶσιν, ἀλλὰ ἐθελουργῷ καὶ αὐτοκελεύστῳ διανοίᾳ πρὸς τὰ καλὰ τῶν ἔργων ὑπαντᾶν· ἐργασάμενοι δὲ ἀκούσεσθαί φασιν, ὅπως ἐπικρίνωσι τὰ πραχθέντα, εἰ λόγοις θείοις καὶ ἱεραῖς παραινέσεσι συνᾴδει.

(14.) Τοὺς δὲ συνομοσαμένους ἐπ' ἀδικήμασιν „ἀπὸ ἀνατολῶν" φησι 60
„κινήσαντας εὑρεῖν πεδίον ἐν τῇ γῇ Σεναὰρ κἀκεῖ κατοικῆσαι" (Gen. 11,2), φυσικώτατα· διττὸν γὰρ εἶδος τῆς κατὰ τὴν ψυχὴν ἀνατολῆς, τὸ μὲν ἄμεινον, τὸ δὲ χεῖρον, ἄμεινον μέν, ὅταν ἡλιακῶν ἀκτίνων τρόπον ἀνάσχῃ τὸ ἀρετῶν φέγγος, χεῖρον δ', ὅταν αἱ μὲν ἐπισκιασθῶσι, κακίαι δὲ ἀνάσχωσι. παράδειγμα τοῦ μὲν προτέρου τόδε· „καὶ ἐφύτευσεν ὁ θεὸς 61
παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς" (Gen. 2, 8), οὐ χερσαίων φυτῶν, ἀλλ' οὐρανίων ἀρετῶν, ἃς ἐξ ἀσωμάτου τοῦ παρ' ἑαυτῷ φωτὸς ἀσβέστους εἰσαεὶ γενησομένας ὁ φυτουργὸς ἀνέτειλεν. ἤκουσα μέντοι καὶ 62
τῶν Μωυσέως ἑταίρων τινὸς ἀποφθεγξαμένου τοιόνδε λόγιον· „ἰδοὺ ἄνθρωπος ᾧ ὄνομα ἀνατολή" (Zach. 6,12)· καινοτάτη γε πρόσρησις, ἐάν γε τὸν ἐκ σώματος καὶ ψυχῆς συνεστῶτα λέγεσθαι νομίσῃς· ἐὰν δὲ τὸν ἀσώματον ἐκεῖνον, θείας ἀδιαφοροῦντα εἰκόνος, ὁμολογήσεις ὅτι εὐθυβολώτατον ὄνομα ἐπεφημίσθη τὸ ἀνατολῆς αὐτῷ· τοῦτον μὲν γὰρ πρεσ- 63
βύτατον υἱὸν ὁ τῶν ὅλων ἀνέτειλε πατήρ, ὃν ἑτέρωθι πρωτόγονον ὠνόμασε, καὶ ὁ γεννηθεὶς μέντοι, μιμούμενος τὰς τοῦ πατρὸς ὁδούς, πρὸς παραδείγματα ἀρχέτυπα ἐκείνου βλέπων ἐμόρφου τὰ εἴδη. (15.) τοῦ 64
δὲ χείρονος ἀνατολῆς εἴδους ὑπόδειγμα τὸ λεχθὲν ἐπὶ τοῦ βουλομένου τὸν ἐπαινούμενον ὑπὸ θεοῦ καταράσασθαι· πρὸς γὰρ ἀνατολαῖς εἰσάγεται κἀκεῖνος οἰκῶν, αἵτινες ὁμωνυμοῦσαι ταῖς προτέραις ἐναντιότητα καὶ μάχην πρὸς αὐτὰς ἔχουσιν· „ἐκ Μεσοποταμίας" γάρ φησι „μετεπέμψατό 65

---

6 κινήσαντες GF Σεννὰρ HP 9 κακίαι GF: κἀκεῖναι HP 10 τοῦ μὲν] μὲν οὖν τοῦ conicio πρότερον F 12. 13 ἀσβέστου GF 13 εἰς ἀεὶ GH ἠκούσαμέν τε καὶ PL 14 Μωυσέως P: Μωυσέος GFH, Μωσέως Eus τινὸς om. G λόγιον Eus: λόγον codd. 15 γε om. Eus πρόρρησις P 16 γε Eus: μή γε codd., μέν γε v 17 θείαν ἰδέαν φοροῦντα, ἱκανῶς ὁμολογήσεις Eus 18 τὸ] τῷ F ἀνατολὴ plerique codd. Eus 19 ὅλων Eus: ὄντων codd. 21 τὰ Eus: om. codd. 22 ἐπὶ GFP: ὑπὸ H 23 τὸν G^2: om. G^1FHP ἐπαινούμενον] εὐλογούμενον coni. Mang. τοῦ θεοῦ HP

13—21 Eus. Pr. ev. XI 15 καὶ πάλιν ἐπιλέγει· Ἤκουσα μέντοι—τὰ εἴδη. ταῦτά μοι ἀπὸ τοῦ Ἑβραίου Φίλωνος ἐνταῦθα κείσθω ληφθέντα ἐκ συγγράμματος, ᾧ τέθειται ἐπιγραφή· περὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι.

με Βαλάκ, ἐξ ὀρέων ἀπὸ ἀνατολῶν, λέγων· δεῦρο ἄρασαί μοι ὃν μὴ ἀρᾶται ὁ θεός“ (Num. 23, 7. 8). ἑρμηνεύεται δὲ Βαλὰκ ἄνους, εὐθυ-
βολώτατα· πῶς | γὰρ οὐκ ἄνοια δεινὴ τὸ ὃν ἐλπίσαι ἀπατᾶσθαι καὶ p. 415 M.
γνώμην αὐτοῦ τὴν βεβαιοτάτην ἀνθρώπων σοφίσμασι παρατρέπεσθαι;
66 διὰ τοῦτο καὶ Μεσοποταμίαν οἰκεῖ καταπεποντωμένης ὥσπερ ἐν μεσαι- 5
τάτῳ ποταμοῦ βυθῷ τῆς διανοίας αὐτοῦ καὶ μὴ δυναμένης ἀνανήξασθαι
καὶ ἀνακῦψαι· τοῦτο δὲ τὸ πάθος ἀνατολὴ μὲν ἀφροσύνης, κατάδυσις δὲ
67 εὐλογιστίας ἐστίν. οἱ τὴν ἀσύμφωνον οὖν ἁρμοζόμενοι συμφωνίαν ἀπὸ
ἀνατολῶν κινεῖσθαι λέγονται. πότερον ἄρα γε τῶν ⟨κατ' ἀρετὴν ἢ τῶν⟩
κατὰ κακίαν; ἀλλ' εἰ μὲν τῶν κατ' ἀρετήν, παντελὴς ὑπογράφεται διά- 10
ζευξις· εἰ δὲ τῶν κατὰ κακίαν, ἡνωμένη τις κίνησις, καθάπερ ἐπὶ χει-
ρῶν ἔχει, οὐκ ἰδίᾳ κατὰ ἀπάρτησιν, ἀλλ' ἐν ἁρμονίᾳ τινὶ τῷ ὅλῳ σώματι
68 συγκινουμένων. ἀρχὴ γὰρ καὶ ἀφορμὴ φαύλῳ πρὸς τὰς παρὰ φύσιν
ἐνεργείας τὸ κακίας χωρίον· ὅσοι δὲ μετανάσται μὲν ἀρετῆς ἐγένοντο,
ταῖς δ' ἀφροσύνης ἐχρήσαντο ἀφορμαῖς, οἰκειότατον εὑρόντες οἰκοῦσι 15
τόπον, ὃς Ἑβραίων μὲν γλώττῃ Σενααρ, Ἑλλήνων δὲ ἐκτιναγμὸς καλεῖται·
69 σπαράττεται γὰρ καὶ κλονεῖται καὶ τινάττεται πᾶς ὁ τῶν φαύλων βίος,
κυκώμενος ἀεὶ καὶ ταραττόμενος καὶ μηδὲν ἴχνος ἀγαθοῦ γνησίου θησαυ-
ριζόμενος ἐν ἑαυτῷ. καθάπερ γὰρ τῶν ἀποτιναττομένων ὅσα μὴ ἐνώσει
διακρατεῖται πάντα ἐκπίπτει, τοῦτόν μοι δοκεῖ καὶ ἡ τοῦ συμπεπνευκότος 20
ἐπὶ τῷ ἀδικεῖν ἐκτετινάχθαι τὸν τρόπον ψυχή· πᾶσαν γὰρ ἰδέαν ἀρετῆς
ἀπορρίπτει, ὡς μήτε σκιὰν μήτε εἴδωλον αὐτῆς ἐμφαίνεσθαι τὸ παράπαν.
70 (16.) τὸ γοῦν φιλοσώματον γένος τῶν Αἰγυπτίων οὐκ ἀπὸ τοῦ ὕδατος,

---

2 ἄνους HPL¹: ὁ νοῦς GFL² 3 οὐκ ἄνοια δεινὴ scripsi (ἄνοια δεινὴ om. οὐκ Mang): οἷα δεῖν ἢ GFL², οὐ δεινὸν HPL¹, οἱόντε ἦν Turn. 5 καταπεποντωμένης Turn.: καταπεποντωμένην F, καταπεποντισμένος G, καταπεποντωμένος HP 7 ἀνακαλύψαι PL 8 εὐλογίας HP 9 ἄρα γε om. HP κατ' ἀρετὴν ἢ τῶν addidi 10 εἰ GF: ἡ HP 11 εἰ GF: ἡ HP 13 καὶ ἀφορμὴ scripsi: καὶ ἀφροσύνη GF, ἡ ἀφροσύνη HP 14 ἐγίνοντο G 16 post ἐκτιναγμὸς add. ὀδόντων Mang. 17 τινάσσεται G 19 τῶν GF: ἐκ τῶν HP 20 ἐκπίπτει P: ἐκπέμπει GFH, quod servari potest, si legas τὸ ἀποτιναττόμενον 21 τῷ] τὸ G τὸν om. GF 22 αὐτῆς scripsi: αὐτῇ codd. 23. 243,1 οὐκ—τῶν om. HP

---

5 sqq. *Origenes Homilia XV 1 in Numeros p. 326:* si quis ergo inter ista flumina fuerit Babylonis, si quis rheumatibus libidinis inundatur et luxuriae aestibus circumluitur, iste non dicitur stare .... quales autem isti sunt montes, talem habent et orientem. habet enim et ortum luminis sui ille, qui convertit se sicut angelum lucis. 15. 16 *Origenes Contra Celsum V 30 p. 600* (Philocalia ed. Robinson p. 184): καὶ οὗτοι ἐπὰν κινήσωσιν ἀπὸ τῶν ἀνατολῶν ἑαυτοὺς ἀλλότρια ἀνατολῶν φρονοῦντες, εὑρισκέτωσαν πεδίον ἐν γῇ Σενναάρ, ὅπερ ἑρμηνεύεται ὀδόντων ἐκτιναγμός ....

ἀλλ' „ὑπὸ τὸ ὕδωρ" φεῦγον, τουτέστιν ὑπὸ τὴν τῶν παθῶν φοράν,
εἰσάγεται, καὶ ἐπειδὰν ὑποδράμῃ τὰ πάθη, τινάττεται καὶ κυκᾶται, τὸ
μὲν εὐσταθὲς καὶ εἰρηναῖον ἀποβάλλον ἀρετῆς, τὸ δὲ ταραχῶδες ἐπα-
ναιρούμενον κακίας· λέγεται γὰρ ὅτι „ἐξετίναξε τοὺς Αἰγυπτίους κατὰ
μέσον τῆς θαλάσσης φεύγοντας ὑπὸ τὸ ὕδωρ" (Exod. 14, 27). οὗτοί 71
εἰσιν οἱ μηδὲ τὸν Ἰωσὴφ εἰδότες, τὸν ποικίλον τοῦ βίου τῦφον, ἀλλ'
ἀποχεκαλυμμένοις χρώμενοι τοῖς ἁμαρτήμασιν, οὐδὲ ἴχνος ἢ σκιὰν καὶ
εἴδωλον καλοκἀγαθίας ταμιευσάμενοι· „ἀνέστη" γάρ φησι „βασιλεὺς 72
ἕτερος ἐπ' Αἴγυπτον", ὃς οὐδὲ τὸ πανύστατον καὶ νεώτατον αἰσθητὸν
ἀγαθὸν „ᾔδει τὸν Ἰωσήφ" (Exod. 1, 8), ὅστις οὐ μόνον τελειότητας
ἀλλὰ καὶ προκοπάς, οὐδὲ ἐνάργειαν τὴν οἵαν δι' ὁράσεως ἀλλὰ καὶ
διδασκαλίαν τὴν δι' ἀκοῆς ἐγγινομένην ἀνῄρει λέγων· „δεῦρο ἄρασαί
μοι τὸν Ἰακώβ, καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ" (Num. 23, 7),
ἴσον τῷ ἐλθέ, ἀμφότερα κατάλυσον, ὅρασίν τε καὶ ἀκοὴν ψυχῆς, ἵνα
μηδὲν ἀληθὲς καὶ γνήσιον καλὸν μήτε ἴδῃ μήτε ἀκούσῃ· ὁράσεως μὲν
γὰρ Ἰσραήλ, Ἰακὼβ δὲ ἀκοῆς σύμβολον. ὁ μὲν δὴ τῶν τοιούτων νοῦς 73
p. 416 M. ἀπορρίπτει πᾶσαν τὴν ἀγαθοῦ | φύσιν τρόπον τινὰ τιναττόμενος, ἔμπαλιν
δ' ὁ τῶν ἀστείων, ἀμιγοῦς καὶ ἀκράτου μεταποιούμενος τῆς τῶν ἀγαθῶν
ἰδέας, ἀποτινάττει καὶ ἀποβάλλει τὰ φαῦλα· θέασαι γοῦν τὸν ἀσκητὴν 74
οἷά φησιν· „ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ' ὑμῶν ἐκ
μέσου ὑμῶν, καὶ καθαρίσασθε καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀνα-
στάντες ἀναβῶμεν εἰς Βαιθήλ" (Gen. 35, 2. 3), ἵνα, κἂν Λάβαν ἔρευναν
αἰτῆται, ἐν ὅλῳ τῷ οἴκῳ μὴ εὑρεθῇ τὰ εἴδωλα (Gen. 31, 35), ⟨ἀλλὰ⟩
πράγματα ὑφεστηκότα καὶ ὄντως ὑπαρκτά, ἑστηλιτευμένα ἐν τῇ τοῦ
σοφοῦ διανοίᾳ, ὧν καὶ τὸ αὐτομαθὲς γένος Ἰσαὰκ κληρονομεῖ· τὰ γὰρ
ὑπαρκτὰ μόνος οὗτος παρὰ τοῦ πατρὸς λαμβάνει (Gen. 25, 5).

(17.) Παρατήρει δ' ὅτι οὐ φησιν ἐλθεῖν αὐτοὺς εἰς τὸ πεδίον ἐν 75
ᾧ κατέμειναν, ἀλλὰ εὑρεῖν ἀναζητήσαντας πάντως καὶ σκεψαμένους τὸ
ἐπιτηδειότατον ἀφροσύνης χωρίον· τῷ γὰρ ὄντι πᾶς ἄφρων οὐ παρ'
ἑτέρου λαμβάνει ἑαυτῷ τὰ δὲ κακὰ ζητῶν ἀνευρίσκει, μὴ μόνοις ἀρκού-
μενος τούτοις ἐφ' ἅπερ ἡ μοχθηρὰ φύσις δι' ἑαυτῆς βαδίζει, ἀλλὰ καὶ

---

1 φορῶν P^1 3 εὐσταλὲς HP 7 οὐδὲν G ἢ σκιὰν καὶ Turn.: ἢ σκιὰ καὶ HP, σκιᾶς GF 11 ἐνάργειαν F: ἐναργίαν G, ἐνέργειαν HP 14 τῷ] τὸ GH 15 κάλλος conicio μήτ' εἶδη F 17 ταραττόμενος P 19 φαῦλα Mang.: φύλλα codd. θέασαι FL^2: θέασον $GHPL^1$ γοῦν scripsi: οὖν codd. 22 ἐρευνᾶν HP 23 αἰτῆτε HP, ποιῆται conicio εὑρεθῆναι HP ἀλλὰ add. Mang. 25 ὧν] ἃ Mang. 27 παρατηρήσεις L 29 ἀφροσύνῃ conicio 30 λαμβάνει, ἐξ ἑαυτοῦ (ἐν ἑαυτῷ Cohn) δὲ τὰ κακὰ conicio μόνοις Mang.: μόνον codd.

76 προστιθεὶς τὰ ἐκ τοῦ κακοτεχνεῖν τέλεια γυμνάσματα. καὶ εἴθε μέντοι πρὸς ὀλίγον ἐνδιατρίψας αὐτοῖς χρόνον μετανίστατο. νυνὶ δὲ καὶ καταμένειν ἀξιοῖ· λέγεται γὰρ ὅτι εὑρόντες τὸ πεδίον κατῴκησαν ὡς ἐν πατρίδι, οὐχ ὡς ἐπὶ ξένης παρῴκησαν. ἧττον γὰρ ἦν δεινὸν συντυχόντας ἁμαρτήμασιν ὀθνεῖα αὐτὰ καὶ ὥσπερ ἀλλοδαπὰ νομίσαι, ἀλλὰ μὴ οἰκεῖα καὶ συγγενῆ ὑπολαβεῖν εἶναι· παρεπιδημήσαντες γὰρ κἂν ἀπέστησαν αὖθις,
77 κατοικήσαντες δὲ βεβαίως καταμένειν εἰσάπαν ἔμελλον. διὰ τοῦτο οἱ κατὰ Μωυσῆν σοφοὶ πάντες εἰσάγονται παροικοῦντες· αἱ γὰρ τούτων ψυχαὶ στέλλονται μὲν ἀποικίαν οὐδέποτε τὴν ἐξ οὐρανοῦ, εἰώθασι δὲ ἕνεκα τοῦ φιλοθεάμονος καὶ φιλομαθοῦς εἰς τὴν περίγειον φύσιν ἀπο-
78 δημεῖν. ἐπειδὰν οὖν ἐνδιατρίψασαι σώμασι τὰ αἰσθητὰ καὶ θνητὰ δι' αὐτῶν πάντα κατίδωσιν, ἐπανέρχονται ἐκεῖσε πάλιν, ὅθεν ὡρμήθησαν τὸ πρῶτον, πατρίδα μὲν τὸν οὐράνιον χῶρον ἐν ᾧ πολιτεύονται, ξένην δὲ τὸν περίγειον ἐν ᾧ παρῴκησαν νομίζουσαι· τοῖς μὲν γὰρ ἀποικίαν στειλαμένοις ἀντὶ τῆς μητροπόλεως ἡ ὑποδεξαμένη δήπου πατρίς, ἡ δ' ἐκπέμψασα μένει τοῖς ἀποδεδημηκόσιν, εἰς ἣν καὶ ποθοῦσιν ἐπανέρ-
79 χεσθαι. | τοιγαροῦν εἰκότως Ἀβραὰμ ἐρεῖ τοῖς νεκροφύλαξι καὶ ταμίαις p. 417 M.
τῶν θνητῶν, ἀναστὰς ἀπὸ τοῦ νεκροῦ βίου καὶ τύφου· „πάροικος καὶ παρεπίδημός εἰμι ἐγὼ μεθ' ὑμῶν“ (Gen. 23, 4), αὐτόχθονες δὲ ὑμεῖς, κόνιν καὶ χοῦν ψυχῆς προτιμήσαντες, προεδρίας ἀξιώσαντες ὄνομα Ἐφρών,
80 ὃς ἑρμηνεύεται χοῦς. εἰκότως δὲ καὶ ὁ ἀσκητὴς Ἰακὼβ τὴν ἐν σώματι παροικίαν ὀλοφύρεται λέγων· „αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, μικραὶ καὶ πονηραὶ γεγόνασιν· οὐκ ἐξίκοντο εἰς ἡμέρας τῶν
81 πατέρων μου ἃς παρῴκησαν“ (Gen. 47, 9). τῷ δ' αὐτοδιδάκτῳ καὶ λόγιον ἐχρήσθη τοιόνδε· „μὴ καταβῇς εἰς“ τὸ πάθος „Αἴγυπτον, κατοίκησον δ' ἐν τῇ γῇ ἣν ἄν σοι εἴπω“ (Gen. 26, 2), τῇ ἀδείκτῳ καὶ ἀσωμάτῳ φρονήσει, καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ, τῇ δεικνυμένῃ καὶ αἰσθητῇ

---

1 μέντοι] μέν τι F 2 χρόνου G καὶ om. G¹F 3 λέγοντες HPL¹ 7 εἰς ἅπαν H 9 οὐδέποτε Cohn: δέ ποτε GF, δή ποτε HP 10 ἐπίγειον coni. Mang. 11 ἐντρίψασαι G σώματι HP 12 αὐτῶν H κἀκεῖσε HPL¹ 13 ξένην Mang.: ξένον codd. 15 δή] δοκεῖ mg. P 17 Ἁβραὰμ H, Ἀβράμ F 18 τύφου codd.: τάφου v 20 προσεδρίας G, προεδρίαν HP ⟨τὸν⟩ ὄνομα coni. Mang., ⟨οὗ⟩ ὄνομα Cohn 21 ὃς GF: ὃ HP ὁ] ὡς F 23 ἐξήκοντα G, ἐξίκοντα F 26 ἀσωμάτων G

---

3 sqq. *Origenes, Selecta in Genesim p. 34:* Ἀβραὰμ οὐ κατῴκει Αἴγυπτον, ἀλλὰ παρῴκει, *ibid.:* ὡς φαῦλοι οἱ Χαναναῖοι κατῴκουν καὶ οὐ παρῴκουν τὴν γῆν· ὥστε φαῦλοι κατοικοῦσιν, οὐ παροικοῦσι τὴν γῆν. — cf. *Augustini Quaestionem de Genesi CLVI.*

οὐσίᾳ, πρὸς τὸ δεῖξαι ὅτι παροικεῖ μὲν ὁ σοφὸς ὡς ἐν ξένῃ σώματι
αἰσθητῷ, κατοικεῖ δ' ὡς ἐν πατρίδι νοηταῖς ἀρεταῖς, ἃς λαλεῖ ὁ θεὸς
ἀδιαφορούσας λόγων θείων. Μωυσῆς δὲ „γειώρας“ φησίν „εἰμὶ ἐν γῇ 82
ἀλλοτρίᾳ“ (Exod. 2,22), διαφερόντως οὐ μόνον ξένην τὴν ἐν σώματι
μονὴν ὡς οἱ μέτοικοι νομίζων, ἀλλὰ καὶ ἀλλοτριώσεως ἀξίαν οὐκ ἔμπαλιν
οἰκειώσεως ὑπολαμβάνων.

(18.) Τὸ δ' ὁμόφωνον καὶ ὁμόγλωττον οὐκ ἐν τοῖς ὀνόμασι καὶ 83
ῥήμασι μᾶλλον ἢ ἐν τῇ τῶν ἀδίκων πράξεων κοινωνίᾳ βουλόμενος ὁ
φαῦλος ἐπιδείξασθαι πόλιν ἄρχεται καὶ πύργον, ὡς ἀκρόπολιν τυράννῳ,
κακίᾳ κατασκευάζειν, καὶ τοὺς θιασώτας πάντας παρακαλεῖ τοῦ ἔργου
μετασχεῖν τὴν ἁρμόττουσαν προευτρεπισαμένους ὕλην· „ἴτε“ γάρ φησι 84
„πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί“ (Gen. 11, 3), ἴσον
τῷ νῦν ἐστιν ἡμῖν συμπεφορημένα καὶ συγκεχυμένα τὰ πάντα τῆς ψυχῆς,
ὡς ἐναργῆ τύπον μηδένα μηδενὸς εἴδους προφαίνεσθαι. ἁρμόττει δ' 85
ὥσπερ ἀνείδεόν τινα καὶ ἄποιον οὐσίαν τό τε πάθος καὶ τὴν κακίαν
παραλαβόντας εἰς τὰς ἁρμοττούσας ποιότητας καὶ τὰ προσεχέστατα μέχρι
τῶν ἐσχάτων ἀεὶ τεμεῖν εἴδη πρός τε ἐναργεστέραν κατάληψιν αὐτῶν
καὶ τὴν σὺν ἐμπειρίᾳ χρῆσίν τε καὶ ἀπόλαυσιν, ἢ πλείους ἡδονὰς καὶ
τέρψεις ἔοικεν ἐντίκτειν. πάριτε οὖν οἱ λογισμοὶ πάντες βουλευτῶν τινα 86
τρόπον εἰς τὸ ψυχῆς συνέδριον, ὅσοι ⟨πρὸς⟩ τὸν δικαιοσύνης καὶ πάσης
ἀρετῆς συγκατατάττεσθε ὅλεθρον, καὶ πεφροντισμένως διασκεψώμεθα, ὡς
ἐπιθέμενοι κατορθώσωμεν· τῆς μέντοι κατορθώσεως ἔσονται θεμέλιοι 87
κραταιότατοι οἵδε, ἄμορφα μορφῶσαι τύποις καὶ σχήμασι καὶ περιγραφαῖς
p. 418 M. ἕκαστον ἰδίᾳ διακρῖναι, μὴ κραδαινόμενα καὶ χωλαίνοντα, ἀλλὰ | πεπη-
γότα βεβαίως, τῇ τοῦ τετραγώνου σχήματος οἰκειούμενα φύσει — ἀκρά-
δαντον γὰρ τοῦτό γε —, ἵνα πλίνθου τινὰ τρόπον ἀκλινῶς ἐρηρεισμένα
βεβαίως καὶ τὰ ἐποικοδομούμενα δέχηται. (19.) τούτων πᾶς ὁ ἀντί- 88

---

1 πρὸς] ὡς H ὅτι] ὅν τι F 2 καλεῖ G 3 γειώρας] πάροικος Mang. εἰ μὴ G γῇ] τῇ L 5 μόνην GF 9 πάλιν HP ante τυράννῳ add. καὶ GF (τῇ conicio, cf. p. § 113) 10 παρακαλεῖν F 11 προσευτρεπισαμένους G 13 τῷ] τὸ G ἐστὶ H συμπεφωνημένα HP πάντα τὰ conicio 16 προσεχέστατα H: προσχέστατα P, πρὸς ἔσχατα GF 17 ἥδη GF ἐνεργεστέραν G 18 ἐμπειρίαν H ἢ HP: ἢ GF πλείονας F 19 τίκτειν conicio 20 πρὸς addidi 21 συγκατατάττεσθαι G διασκεψόμεθα GF 22 κατορθώσομεν GF, quod servari potest, si lin. 21 πῶς scribas θεμέλιοι GF: μὲν οἱ HP 24 ἕκαστα conicio vel ⟨ἵνα⟩ μὴ deleto ἵνα lin. 26 κραδαινόμενα scripsi: κραδαίνοντα codd. χωλαίνοντα Turn.: χωλάνοντα F, χωλά (sic) G, χωλ, tum spat. 4 litt. P, χωλάναντα H 26 ἐνηρεισμένα F 27. 246,1 ἀντίθετος F

θεος νοῦς, ὃν φαμεν Αἰγύπτου, τοῦ σώματος, εἶναι βασιλέα, δημιουργὸς ἀνευρίσκεται· καὶ γὰρ τοῦτον εἰσάγει Μωυσῆς τοῖς ἐκ πλίνθου κατα-
89 σκευαζομένοις χαίροντα οἰκοδομήμασιν. ἐπειδὰν γάρ τις τὴν ὕδατος καὶ γῆς τὴν μὲν ὑγράν, τὴν δ' αὖ στερεὰν οὐσίαν, διαλυομένας καὶ φθειρομένας, ἀνακερασάμενος τρίτον μεθόριον ἀμφοῖν ἀπεργάσηται, ὃ καλεῖται πηλός, τέμνων κατὰ μοίρας τοῦτον οὐ παύεται σχήματα περιτιθεὶς ἑκάστῳ τῶν τμημάτων τὰ οἰκεῖα, ὅπως εὐπαγέστερά τε καὶ εὐφορώτερα γένηται·
90 ῥᾳδίως γὰρ οὕτως ἔμελλε τὰ κατασκευαζόμενα τελειοῦσθαι. τοῦτ' ἀπομιμούμενοι τὸ ἔργον οἱ μοχθηροὶ τὰς φύσεις, ὅταν τὰς ἀλόγους καὶ πλεοναζούσας τῶν παθῶν ὁρμὰς ταῖς ἀργαλεωτάταις κακίαις ἀνακεράσωνται, τέμνουσι τὸ κραθὲν εἰς εἴδη καὶ διαπλάττουσι καὶ σχηματίζουσιν οἱ βαρυδαίμονες, δι' ὧν ὁ τῆς ψυχῆς ἐπιτειχισμὸς μετέωρος ἀρθήσεται, τὴν αἴσθησιν εἰς ὅρασιν καὶ ἀκοήν, ἔτι δὲ γεῦσιν ὄσφρησίν τε καὶ ἁφήν, τὸ δὲ πάθος εἰς ἡδονὴν καὶ ἐπιθυμίαν φόβον τε καὶ λύπην, τό τε κακιῶν γένος εἰς ἀφροσύνην, ἀκολασίαν, δειλίαν, ἀδικίαν καὶ ὅσα ἄλλα
91 ἀδελφὰ καὶ συγγενῆ τούτοις. (20.) ἤδη δὲ καὶ προσυπερβάλλοντές τινες οὐ μόνον τὰς αὑτῶν ψυχὰς ἐπὶ ταῦτα ἤλειψαν, ἀλλὰ καὶ τοὺς ἀμείνους καὶ γένους ὄντας ὁρατικοῦ βιασάμενοι κατηνάγκασαν πλινθουργεῖν καὶ πόλεις οἰκοδομεῖν ὀχυρὰς (Exod. 1, 11) τῷ βασιλεύειν δοκοῦντι νῷ, βουλόμενοι τοῦτο ἐνδείξασθαι, ὅτι δοῦλον μὲν τὸ ἀγαθὸν κακοῦ πάθος τ' εὐπαθείας δυνατώτερον, φρόνησις δὲ καὶ πᾶσα ἀρετὴ ἀφροσύνης καὶ κακίας ἁπάσης ὑπήκοον, ὡς ὑπηρετεῖν ἐξ ἀνάγκης ἅττ' ἂν
92 προστάττῃ τὸ δεσπόζον. ἰδού, γάρ φησι, καὶ ὁ ψυχῆς ὀφθαλμὸς ὁ διαυγέστατος καὶ καθαρώτατος καὶ πάντων ὀξυωπέστατος, ᾧ μόνῳ τὸν θεὸν ἔξεστι καθορᾶν, ὄνομα Ἰσραήλ, ἐνδεθείς ποτε τοῖς σωματικοῖς Αἰγύπτου δικτύοις ἐπιταγμάτων βαρυτάτων ἀνέχεται, ὡς πλίνθον καὶ πᾶν τὸ γεῶδες ἐργάζεσθαι μετὰ ἀργαλεωτάτων καὶ ἀτρυτοτάτων πόνων· ἐφ' οἷς εἰκότως ὀδυνᾶται καὶ στένει, τοῦτο μόνον ὡς ἐν κακοῖς τεθησαυρι-
93 σμένος κειμήλιον, ἐκδακρῦσαι τὰ παρόντα· λέγεται γὰρ ὑγιῶς ὅτι „κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων“ (Exod. 2, 23). τίς δ' οὐκ ἂν τῶν εὖ φρονούντων τὰ τῶν πολλῶν ἀνθρώπων ἰδὼν ἔργα καὶ τὰς

---

2. 3 κατασκευασμένοις H, κατεσκευασμένοις v 6 περιθεὶς L 7 εὐπαγέστερα HP: ἐπαγέστερα GF, εὐπαγέστατα v εὐφορώτατα HP 8 τοῦτ'] ταῦτ' G 14 alterum τε] δὲ conicio 17 αὐτῶν codd. 17. 18 καὶ τὰς καὶ γένους F 18 ὁρατικοὺς G 23 προστάττει G, προστάξῃ F φησιν ὁ καὶ G 27 ἀτρυτοτάτων G: ἀτρυτωτάτων F, ἀτρυπωτάτων HP, ἀτρύτων coni. Mang. 29 ἐνδακρῦσαι L

ὑπερβαλλούσας σπουδάς, αἷς ἢ πρὸς ἀργυρισμὸν ἢ δόξαν ἢ τὴν ἐν
ἡδοναῖς ἀπόλαυσιν εἰώθασι χρῆσθαι, σφόδρα κατηφήσαι καὶ πρὸς τὸν
p. 419 M. μόνον σωτῆρα θεὸν ἐκβοήσαι, ἵνα τὰ | μὲν ἐπικουφίσῃ, λύτρα δὲ καὶ
σῶστρα καταθεὶς τῆς ψυχῆς εἰς ἐλευθερίαν αὐτὴν ἐξέληται; τίς οὖν 94
ἐλευθερία βεβαιοτάτη; τίς; ἡ τοῦ μόνου θεραπεία σοφοῦ, καθάπερ μαρ-
τυροῦσιν οἱ χρησμοί, ἐν οἷς εἴρηται „ἐξαπόστειλον τὸν λαόν, ἵνα με
θεραπεύῃ“ (Exod. 8,1). ἴδιον δὲ τῶν τὸ ὂν θεραπευόντων οἰνοχόων 95
μὲν ἢ σιτοποιῶν ἢ μαγείρων ἔργα ἢ ὅσα ἄλλα γεώδη μήτε διαπλάττειν
μήτε συντιθέναι σώματα πλίνθου τρόπον, ἀναβαίνειν δὲ τοῖς λογισμοῖς
πρὸς αἰθέριον ὕψος, Μωυσῆν, τὸ θεοφιλὲς γένος, προστησαμένους ἡγε-
μόνα τῆς ὁδοῦ. τότε γὰρ τὸν μὲν τόπον, ὃς δῆλός ἐστι, θεάσονται, ᾧ 96
ὁ ἀκλινὴς καὶ ἄτρεπτος θεὸς ἐφέστηκε, „τά θ' ὑπὸ τοὺς πόδας αὐτοῦ,
τὸ ὡσεὶ ἔργον πλίνθου σαπφείρου καὶ ὡς ἂν εἶδος στερεώματος τοῦ
οὐρανοῦ“, τὸν αἰσθητὸν κόσμον, ὃν αἰνίττεται διὰ τούτων (Exod. 24,10).
εὐπρεπὲς γὰρ τοῖς ἑταιρείαν πρὸς ἐπιστήμην θεμένοις ἐφίεσθαι μὲν τοῦ 97
τὸ ὂν ἰδεῖν, εἰ δὲ μὴ δύναιντο, τὴν γοῦν εἰκόνα αὐτοῦ, τὸν ἱερώτατον
λόγον, μεθ' ὃν καὶ τὸ ἐν αἰσθητοῖς τελειότατον ἔργον, τόνδε τὸν κόσμον·
τὸ γὰρ φιλοσοφεῖν οὐδὲν ἦν ἄλλο ἢ ταῦτα σπουδάζειν ἀκριβῶς ἰδεῖν.
(21.) τὸν δὲ αἰσθητὸν κόσμον ὡς ἂν ὑποπόδιον θεοῦ φησιν εἶναι διὰ 98
τάδε· πρῶτον μὲν ἵν' ἐπιδείξῃ, ὅτι οὐκ ἐν τῷ γεγονότι τὸ πεποιηκὸς
αἴτιον, ἔπειτα δ' ὑπὲρ τοῦ παραστῆσαι, ὅτι οὐδ' ὁ κόσμος ἅπας ἀφέτῳ
καὶ ἀπελευθεριαζούσῃ κινήσει κέχρηται, ἀλλ' ἐπιβέβηκεν ὁ κυβερνήτης
θεὸς τῶν ὅλων οἰακονομῶν καὶ πηδαλιουχῶν σωτηρίως τὰ σύμπαντα,
οὔτε ποσὶν οὔτε χερσὶν οὔτε ἄλλῳ τῶν ἐν γενέσει κεχρημένος μέρει τὸ
παράπαν οὐδενὶ κατὰ τὸν ἀληθῆ λόγον — „οὐ γὰρ ὡς ἄνθρωπος ὁ

---

1 σπονδάς GF αἷς] ἃς G ἢ primum vid. del. 2 σφόδρα G: μὴ σφόδρα FHP κατηφήσαι scripsi: κατηφήσει G, κατηφήσῃ FHP 3 ἐκβοήσαι scripsi: ἐκβοήσει G, ἐκβοήσῃ FHP καὶ om. HP 5 τίς GF: om. HP 10 Μωυσῆς GP 10. 11 ἡγεμόνας GF 11 τρόπον GH ἐστι] ἐστιν δ G ᾧ om. G 12 τά θ' scripsi: τὰ δ' codd. 13 τὸ Turn.: τὸν codd. ἔργου P πλίνθου Mang.: λίθου codd. 15 εὐπρεπὲς Eus: ἐμπρεπὲς codd. ἑταιρίαν HP 15. 16 τοῦ τὸ ὂν Eus: τοῦτον codd. 16 δύναιτο GF 17 τόνδε HP: δὲ GF 23 οἰακονομῶν Mang.: οἰκονομῶν codd. σωτηρίας G 24 μέλει coni. Mang.

15—17 *Eusebius Pr. ev. XI 15:* τὴν δὲ τοῦ δόγματος διάνοιαν Φίλων ὁ Ἑβραῖος λευκότερον ἑρμηνεύων τοῦτον παρίστησι τὸν τρόπον· Εὐπρεπὲς γὰρ — λόγον.

θεός“ (Num. 23,19) —, ἀλλὰ τὸν ἕνεκα αὐτὸ μόνον διδασκαλίας εἰσαγόμενον ἡμῶν τῶν ἑαυτοὺς ἐκβῆναι μὴ δυναμένων, ἀλλ' ἀπὸ τῶν ἡμῖν αὐτοῖς συμβεβηκότων τὰς περὶ τοῦ ἀγενήτου καταλήψεις λαμβανόντων.
99 παγκάλως δ' ἔχει τὸ ἐν παραβολῆς εἴδει φάναι τὸν κόσμον ὡς εἶδος πλίνθου· δοκεῖ μὲν γὰρ ἑστάναι καὶ βεβηκέναι ὡς ἐκείνη κατὰ τὰς τῆς αἰσθητῆς ὄψεως προσβολάς, κέχρηται δὲ ὠκυτάτῃ | κινήσει καὶ τὰς ἐν p. 420 M.
100 μέρει πάσας παραθεούσῃ. καὶ γὰρ μεθ' ἡμέραν ἡλίου καὶ νύκτωρ σελήνης φαντασίαν ὡς ἑστώτων οἱ σώματος ὀφθαλμοὶ λαμβάνουσι· καίτοι τίς οὐκ οἶδεν, ὅτι ⟨τὸ⟩ τῆς περὶ αὐτοὺς φορᾶς τάχος ἀνανταγώνιστόν ἐστιν, εἴ γε τὸν σύμπαντα οὐρανὸν μιᾷ περιπολοῦσιν ἡμέρᾳ; οὕτως μέντοι καὶ αὐτὸς ὁ σύμπας οὐρανὸς ἑστάναι δοκῶν περιδινεῖται κύκλῳ, τῆς κινήσεως τῷ ἀειδεῖ καὶ θειοτέρῳ καταλαμβανομένης τῷ κατὰ διά-
101 νοιαν ὀφθαλμῷ. (22.) πυροῦντες δὲ τὰς πλίνθους εἰσάγονται συμβολικῶς, τὰ πάθη καὶ τὰς κακίας θερμῷ καὶ κινητικωτάτῳ λόγῳ κραταιούμενοι, ὡς μὴ πρὸς τῶν σοφίας δορυφόρων ποτὲ καθαιρεθεῖεν, οἷς τὰ
102 πρὸς ἀνατροπὴν αὐτῶν αἰεὶ μηχανήματα συγκροτεῖται. διὸ καὶ ἐπιλέγεται „ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον“ (Gen. 11,3) — τὸ γὰρ μανὸν καὶ κεχυμένον τῆς μὴ σὺν λόγῳ φορᾶς εἰς ἀντίτυπον καὶ στερεὰν φύσιν πιληθὲν καὶ πυκνωθὲν λόγοις δυνατοῖς καὶ ἀποδείξεσιν ἐχυρωτάταις μετέβαλεν, ἀνδρωθείσης τρόπον τινὰ τῆς τῶν θεωρημάτων καταλήψεως, ἥτις ἐν ἡλικίᾳ διαρρεῖ παιδικῇ διὰ τὴν τῆς ψυχῆς ὑγρότητα μήπω δυναμένης τοὺς ἐνσφραγιζομένους πήττειν καὶ διαφυλάττειν χαρακτῆρας —, „καὶ ἡ ἄσφαλτος ἦν αὐτοῖς πηλός“ (ibid.), οὐκ ἔμπαλιν
103 ὁ πηλὸς ἄσφαλτος· δοκοῦσι μὲν γὰρ οἱ φαῦλοι τὰ ἀσθενῆ κραταιοῦσθαι κατὰ τῶν ἀμεινόνων καὶ τὰ διαλυόμενα καὶ ῥέοντα ἐξ αὐτῶν πήττειν, ἵν' ἐπ' ἐχυροῦ βάλωσι καὶ τοξεύσωσιν ἀρετήν· ὁ δ' ἵλεως καὶ πατὴρ τῶν καλῶν οὐκ ἐφήσει τὸ δεδεμένον ἐκνικᾶν εἰς ἀδιάλυτον ἀσφάλειαν, ῥεούσης σπουδῆς μὴ ὑφεστὼς ἔργον ὡς πλαδῶντα πηλὸν ἀναδείξας.
104 εἰ μὲν γὰρ ὁ πηλὸς ἐγένετο ἄσφαλτος, μέχρι παντὸς ἂν ἴσως τὸ ἐν

---

1. 2 τὸν et εἰσαγόμενον GF: τῶν et εἰσαγομένων HP 3 ἀγεννήτου H 4 εἶδος] ἔργον conicio 5 τὰς τῆς FP: τῆς G, τὰς H 6 προβολὰς G¹F κέκτηται G 9 τὸ addidi ἑαυτοὺς GF 10 οὗτος HP 12 καταλαμβανομένης Turn.: καταλαμβανόμενος codd. 14 κινητικωτάτῳ F: νικητικωτάτῳ G, κινηκωτάτῳ H, κινηκοτάτῳ P 16 ἀεὶ GF 17 γὰρ om. GF 18 ἀντίτυπον καὶ στερεὰν scripsi: ἀντιτύπου καὶ στερεᾶς codd. 19 δυναταῖς H 19. 20 ὀχυρωτάταις F 25 αὐτῶν conicio 26 ἀπ' ἐχυροῦ conicio βάλλωσι F ὁ δείλαιος καὶ G 27 ἐκνικᾶν scripsi: ἐκείνων codd. 28 ἀναδείξας Mang.: ἀναδεῖξαι codd. 29 ἐγένετο scripsi: γίνεται codd., ἐγίνετο v

συνεχεῖ ῥύσει γεῶδες αἰσθητὸν εἰς ἀσφαλῆ καὶ ἀμετάβλητον δύναμιν ἐξενίκησεν· ἐπεὶ δὲ τοὐναντίον ἡ ἄσφαλτος εἰς πηλὸν μετέβαλεν, οὐκ ἀθυμητέον· ἐλπὶς γάρ, ἐλπὶς τὰ βέβαια τῆς κακίας ἐρείσματα κράτει θεοῦ διακοπῆναι. τοιγαροῦν ὁ δίκαιος καὶ ἐν τῷ μεγάλῳ καὶ 105
ἐπαλλήλῳ τοῦ βίου κατακλυσμῷ, μήπω δυνάμενος δίχα αἰσθήσεως ψυχῇ μόνῃ τὰ ὄντα ὄντως ὁρᾶν, „τὴν κιβωτόν“, λέγω δὲ τὸ σῶμα, „ἔνδοθέν τε καὶ ἔξωθεν ἀσφάλτῳ“ καταχρίσει (Gen. 6,14) βεβαιούμενος τὰς δι' αὐτοῦ φαντασίας καὶ ἐνεργείας· λωφήσαντος δὲ τοῦ κακοῦ καὶ τῆς φορᾶς ἐπισχούσης ἐξελεύσεται χρησάμενος ἀσωμάτῳ διανοίᾳ πρὸς τὴν ἀληθείας ἀντίληψιν. ὁ μὲν γὰρ ἀστεῖος ἀπὸ γενέσεως ἀρχῆς φυτευθεὶς καὶ 106
προσαγορευθεὶς τρόπος, ὄνομα Μωυσῆς, ὁ τὸν κόσμον ὡς ἄστυ καὶ πατρίδα οἰκήσας ἅτε κοσμοπολίτης γενόμενος, ἐνδεθείς ποτε τῷ ἐπαληλιμμένῳ ὡς ἂν „ἀσφαλτοπίσσῃ“ (Exod. 2,3) σώματι καὶ δοκοῦντι τὰς
p. 421 M. πάντων ⟨τῶν⟩ | ὑποκειμένων ἐν αἰσθήσει φαντασίας ἀσφαλῶς δέχεσθαί τε καὶ κεχωρηκέναι, κατακλαίει (Exod. 2,6) μὲν τὴν ἔνδεσιν ἀσωμάτου φύσεως πιεσθεὶς ἔρωτι, κατακλαίει δὲ καὶ τὸν πλάνητα καὶ τετυφωμένον τῶν πολλῶν ἄθλιον νοῦν, ὃς ψευδοῦς δόξης ἐκκρεμασθεὶς ᾠήθη τι παρ' ἑαυτῷ βέβαιον καὶ ἀσφαλὲς ἢ συνόλως παρά τινι τῶν γενομένων ἄτρεπτον ἱδρῦσθαι, τοῦ παγίως καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος ἐστηλιτευμένου παρὰ μόνῳ τῷ θεῷ.

(23.) Τὸ δὲ „δεῦτε καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, 107
οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ“ (Gen. 11,4) τοιοῦτον ὑποβάλλει νοῦν· πόλεις ὁ νομοθέτης οὐχὶ ταύτας μόνον οἴεται εἶναι τὰς ἐπὶ γῆς δημιουργηθείσας, ὧν εἰσιν ὕλαι λίθοι καὶ ξύλα, ἀλλὰ καὶ ἃς ἄνθρωποι περιφέρουσι ταῖς ψυχαῖς ἑαυτῶν ἐνιδρυμένας. εἰσὶ δ' αὗται μέν, ὡς 108
εἰκός, ἀρχέτυποι ἅτε θειοτέρας κατασκευῆς λαχοῦσαι, ἐκεῖναι δὲ μιμήματα ὡς ἂν ἐκ φθαρτῆς οὐσίας συνεστῶσαι. διττὸν δὲ πόλεως εἶδος, τό μὲν ἄμεινον, τὸ δὲ χεῖρον, ἄμεινον μὲν τὸ δημοκρατίᾳ χρώμενον ἰσότητα τιμώσῃ πολιτείᾳ, ἧς ἄρχοντές εἰσι νόμος καὶ δίκη — θεοῦ δὲ ὕμνος ἡ τοιάδε —, χεῖρον δὲ τὸ κιβδηλεῦον αὐτήν, ὡς τὸ παρά-

---

1 εἰς om. L 2 ἐξενίκησεν H: ἐξεκίνησεν GFP 4 διακοπεῖναι F 6 δεόντως coni. Mang. 7 καταχρήσει H 8 δὲ om. GFL^2 12. 13 ἐπαληλιμμένῳ G: ἐπαληλειμμένῳ FPL^2, ἐπαλληλειμμένῳ HL^1 13 ἂν scripsi: ἐν codd. ἀσφαλτοπίσσῃ Mang.: ἀσφάλτῳ πίσσῃ codd. 14 τῶν addidi ἐνδέχεσθαί v 15. 16 bis κατακλαίῃ P 16 πένητα G 17 τι HP: τοῖς G, τὸ F 19 παγίου conicio 21 καὶ fort. del. 23. 24 οἴεται—λίθοι om. HP 24 ἃς] ὡς G 25 ἐνιδρυμένας G 27 ἂν om. L 29. 30 θεοῦ δὲ ὕμνος] εὐνομωτάτη δ' vel θεοῦ δὲ ὁπαδὸς (cf. § 118) conicio, εὐδόκιμος Coni. Cohn 30 ἤτοι ἄδεται G, ἡ τοιαιδέτε (sic) F

σημον καὶ παρακεκομμένον ἐν νομίσμασιν, ὀχλοκρατία, ἣ θαυμάζει τὸ
109 ἄνισον, ἐν ᾗ ἀδικία καὶ ἀνομία καταδυναστεύουσιν. ἐγγράφονται δ' οἱ
μὲν ἀστεῖοι τῷ τῆς προτέρας πολιτεύματι, τῶν δὲ φαύλων ἡ πληθὺς
τὴν ἑτέραν καὶ χείρω διέζωσται, πρὸ εὐκοσμίας ἀκοσμίαν καὶ σύγχυσιν
110 πρὸ εὐσταθοῦς καταστάσεως ἀγαπῶσα. συνεργοῖς δὲ ὁ ἄφρων ἀξιοῖ 5
πρὸς τὸ ἁμαρτάνειν οὐκ ἀρκούμενος αὐτῷ μόνῳ χρῆσθαι, καὶ προτρέπει
μὲν ὅρασιν, προτρέπει δὲ ἀκοήν, παρακαλεῖ δὲ πᾶσαν αἴσθησιν ἀνυπερ-
θέτως αὐτῷ συντετάχθαι, φερούσης ἑκάστης τὰ πρὸς ὑπηρεσίαν ἐπιτή-
δεια πάντα· ἐπαίρει μέντοι καὶ παραθήγει καὶ τὸ ἄλλο ἀτίθασον ἐκ
φύσεως τῶν παθῶν στῖφος, ἵνα ἄσκησιν καὶ μελέτην προσλαβὸν ἀνύπ- 10
111 οιστον γένηται. τούτους οὖν καλέσας τοὺς συμμάχους ὁ νοῦς φησιν·
„οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν“ (Gen. 11,4), ἴσον τῷ ὀχυρωσώμεθα
τὰ οἰκεῖα καὶ φραξώμεθα δυνατῶς, ὡς μὴ πρὸς τῶν κατατρεχόντων
εὐμαρῶς ἁλισκοίμεθα· διέλωμεν καὶ διανείμωμεν ὥσπερ κατὰ φυλὰς
καὶ δήμους ἑκάστας τῶν ἐν ψυχῇ δυνάμεων προσκληρώσαντες τὰς μὲν 15
112 λογικῇ, τὰς δὲ ἀλόγῳ μερίδι· ἄρχοντας ἑλώμεθα τοὺς ἱκανοὺς πλοῦτον,
δόξαν, τιμάς, ἡδονὰς ἀφ' ὧν ἂν δύνωνται περιποιεῖν ἁπάντων· τὴν
πενίας καὶ ἀδοξίας αἰτίαν δικαιοσύνην τιθεμένους ἐκποδὼν γράφωμεν
νόμους, οἳ τὸ τοῦ κρείττονος συμφέρον βεβαιώσουσι τοῖς πλέον ἑτέρων
113 αἰεὶ φέρεσθαι δυναμένοις. „πύργος“ δ' ὡς ἂν ἀκρόπολις κατεσκευάσθω 20
τῇ | τυράννῳ κακίᾳ βασίλειον ὀχυρώτατον, ἧς οἱ μὲν πόδες ἐπὶ γῆς p. 422 M.
βαινέτωσαν, ἡ δὲ κεφαλὴ πρὸς οὐρανὸν φθανέτω τοσοῦτον ὑπὸ μεγα-
114 λαυχίας ὕψος ἐπιβᾶσα. τῷ γὰρ ὄντι οὐ μόνον ἐπὶ τῶν ἀνθρωπείων
ἀδικημάτων ἵσταται, μετατρέχει δὲ καὶ τὰ ὀλύμπια τοὺς ἀσεβείας καὶ
ἀθεότητος λόγους προτείνουσα, ἐπειδὰν ἢ ὡς οὐκ ἔστι τὸ θεῖον διεξίῃ, 25
ἢ ὡς ὂν οὐ προνοεῖ, ἢ ὡς ὁ κόσμος οὔποτε γενέσεως ἔλαβεν ἀρχήν,
ἢ ὡς γενόμενος ἀστάτοις αἰτίαις ὡς ἂν τύχῃ φέρεται, ποτὲ μὲν πλημμε-
λῶς, ποτὲ δὲ οὐχ ὑπαιτίως, καθάπερ ἐπὶ πλοίων καὶ τεθρίππων εἴωθε

---

1 νομίμασιν H ὀχλοκρατία Turn.: ὀχλοκρασία HP, ὀχλοκρασίαν GF ἢ om. GF 3 πολίτευμα F 4 διέζωσται] δεξιοῦται conicio πρὸς GF 6 αὐτῷ codd. 9 ἀτίθασσον F 10 προσλαβὸν HP: προσβαλὸν G, προσβαλὼν F 11 τούτους συγκαλέσας coni. Mang., τούτους οὖν ⟨συγ⟩καλέσας conicio 12 τῷ] τὸ G 13 καὶ φραξώμεθα codd.: καταφραξώμεθα v 14 ἁλισκώμεθα conicio 16 κανοὺς H 17 μὴ post ἁπάντων add. HP 18 ἐκποδὼν F: ἐμποδὼν GHP 20 ἀεὶ G ὡσὰν FH μετασκευασθῶ G 22. 23 μεγαλοψυχίας HP 23 ἐπιβάσει H ἀνθρωπίνων v 25 λόγους om. GF οὐκέτι F 26 περινοεῖ HPL¹ 27 τύχῃ GF: τύχοι HP φέρηται GHP 27. 28 πλημελῶς G, πλημελῶν P 28 οὐκ ἀνυπαιτίως coni. Mang.

γίνεσθαι· φιλεῖ γὰρ ἔστιν ὅτε χωρὶς ἡνιόχων τε καὶ κυβερνητῶν ὅ τε 115
πλοῦς καὶ ὁ δρόμος εὐθύνεσθαι· προνοίας δ' οὐ τὸ ὀλιγάκις, ἀλλὰ τῆς
μὲν ἀνθρωπίνης πολλάκις, τῆς δὲ θείας ἀδιαστάτως αἰεὶ κατορθοῦν, ἐπεὶ
τὸ διαμαρτάνειν ἀλλότριον ἀνωμολόγηται θείας δυνάμεως. κατασκευά-
ζουσι μέντοι συμβολικῶς ὡσανεὶ πύργον τὸν περὶ κακίας λόγον οἱ φρενο-
βλαβεῖς, τί βουλόμενοι ἢ ὄνομα αὐτῶν ὑπολείπεσθαι τὸ δυσώνυμον;
(24.) λέγουσι γάρ· „ποιήσωμεν ἑαυτῶν ὄνομα“ (Gen. 11, 4). ὦ 116
περιττῆς καὶ κεχυμένης ἀναισχυντίας. τί φατε; νυκτὶ καὶ βαθεῖ σκότῳ
τὰ ἑαυτῶν ἀδικήματα συγκρύπτειν ὀφείλοντες καὶ προκάλυμμα αὐτῶν,
εἰ καὶ μὴ τὴν ἀληθῆ, τὴν γοῦν προσποίητον αἰδῶ πεποιῆσθαι ἢ χάρι-
τος ἕνεκα τῆς πρὸς τοὺς ἐπιεικεστέρους ἢ διαδύσεως τῶν ἐφ' ὁμολογου-
μένοις ἁμαρτήμασι τιμωριῶν, τοσοῦτον τῆς τόλμης ἐπιβαίνετε, ὥστε οὐ
μόνον πρὸς φῶς καὶ λαμπρότατον ἥλιον ἐναυγάζεσθε μήτε τὰς ἀνθρώ-
πων τῶν ἀμεινόνων ἀπειλὰς μήτε τὰς ἀπαραιτήτους ἐκ θεοῦ δίκας
τοῖς οὕτως ἀνοσιουργοῖς ἀπαντωμένας καταδείσαντες, ἀλλὰ καὶ παντα-
χόσε φήμας ἀγγέλους τῶν οἰκείων ἀδικημάτων περιπέμπειν ἀξιοῦτε, ὡς
μηδεὶς ἀμύητος μηδ' ἀνήκοος γένοιτο τῶν ὑμετέρων, ὦ σχέτλιοι καὶ
παμμίαροι, τολμημάτων. ὀνόματος οὖν ποίου γλίχεσθε; ἢ τοῦ τοῖς 117
πραττομένοις οἰκειοτάτου; ἆρ' οὖν ἕν ἐστι μόνον; γένει μὲν ἴσως ἕν,
μυρία δὲ τοῖς εἴδεσιν, ἅ, κἂν ἡσυχάζητε, ἑτέρων λεγόντων ἀκούσεσθε·
προπέτεια τοίνυν ἐστὶ μετὰ ἀναισχυντίας, ὕβρις μετὰ βίας, βία μετὰ
ἀνδροφονίας, σὺν μοιχείαις φθοραί, σὺν ἀμέτροις ἡδοναῖς ἀόριστος ἐπι-
θυμία, μετὰ θράσους ἀπόνοια, μετὰ πανουργίας ἀδικία, κλοπαὶ μετὰ
ἁρπαγῆς, σὺν ψευδολογίαις ψευδορκίαι, μετὰ παρανομιῶν ἀσέβειαι.
ταῦτα καὶ τὰ παραπλήσια τῶν τοιούτων ἔστ' ὀνόματα. καλὸν γ' 118
ἐναυχῆσαι κἀπισεμνύνεσθαι δόξαν θηρωμένους τὴν ἀπὸ τούτων, ἐφ' οἷς
εἰκὸς ἦν ἐγκαλύπτεσθαι. καὶ μὴν ἔνιοι μέγα φρονοῦσιν ἐπὶ τούτοις,
p. 423 M. ὡς ἄμαχόν τινα ἰσχὺν ἐκ τοῦ τοιούτους | νομισθῆναι παρὰ πᾶσι καρ-
πωσάμενοι, οὓς τοῦ πολλοῦ θράσους ἡ ὀπαδὸς τοῦ θεοῦ δίκη τίσεται

---

1. 2 ὅτε ὁ πλοῦς F 3 ἀεὶ G, καὶ ἀεὶ coni. Mang. 4. 5 κατασκευάσουσι F
6 ἀπολείπεσθαι HPL¹ 8 prius καὶ om. G¹F 9 συγκρίπτει F αὐτῶν GF: ἑαυτῶν
HP 10 προσποιητὸν v 12. 13 οὐ μόνον Mang.: μονονοὺ codd. 13 φανότατον
HPL¹ ἐναυγάζεσθε Turn.: ἐναυγάζεσθαι codd. 15 ἀπηρτημένας P¹, ἐπανατετα-
μένας coni. Mang. 16 πέμπειν HP 18 ἢ v 19 ἴσως om. H
22 φθοραῖς GF ἀόριστος] ἀκόρεστος Mang. ex Oxon. Coll. Novi 143 25 γ'] γε
G, δ' v 26 ἀπὸ τούτων scripsi: ἀπ' αὐτῶν codd. 28 τοιούτους Mang.:
τοιούτου codd. 28. 29 καρπωσάμενοι scripsi: καρπωσαμένοις GF, καρπωσαμένους
HP 29 ἡ om. HP

καίτοι τάχα τὸν οἰκεῖον οὐ μαντευομένους μόνον, ἀλλὰ καὶ προορωμένους ὄλεθρον· φασὶ γάρ· „πρὶν διασπαρῆναι“ (Gen. 11,4), φροντίσω-
119 μεν ὀνόματός τε καὶ δόξης. οὐκοῦν, εἴποιμ' ἂν αὐτοῖς, ὅτι σκεδασθήσεσθε γινώσκετε; τί οὖν ἁμαρτάνετε; ἀλλὰ μήποτε τὸν τρόπον τῶν ἀφρόνων διασυνίστησιν, οἳ καίτοι μεγίστων ἐπικρεμαμένων οὐκ ἀδήλως ἀλλ' ἐκ τοῦ φανεροῦ πολλάκις τιμωριῶν ἀδικεῖν ὅμως οὐκ ὀκνοῦσι· γνωριμώταται δ' εἰσὶν αἱ τιμωρίαι ἀδηλοῦσθαι νομισθεῖσαι, ἃς ἐκ θεοῦ
120 κατασκήπτειν συμβέβηκε. πάντες γὰρ οἱ φαυλότατοι λαμβάνουσιν ἐννοίας περὶ τοῦ μὴ λήσειν τὸ θεῖον ἀδικοῦντες μηδὲ τὸ δίκην ὑφέξειν εἰσάπαν ἰσχῦσαι διακρούσασθαι· ἐπεὶ πόθεν ἴσασιν, ὅτι σκεδασθήσονται;
121 καὶ μὴν λέγουσι „πρὶν ἡμᾶς διασπαρῆναι“· ἀλλὰ τὸ συνειδὸς ἔνδοθεν ἐλέγχει καὶ σφόδρα ἐπιτηδεύοντας ἀθεότητα κεντεῖ, ὡς ἄκοντας εἰς συναίνεσιν ἐπισπάσασθαι περὶ τοῦ τὰ κατ' ἀνθρώπους πάντα πρὸς ἀμείνονος φύσεως ἐφορᾶσθαι καὶ δίκην ἐφεστάναι τιμωρὸν ἀδέκαστον, ἀσεβῶν πράξεις ἐχθραίνουσαν ἀδίκους καὶ λόγους τοὺς συνηγόρους αὐταῖς.
122 (25.) ἀλλ' εἰσὶν ἀπόγονοι πάντες οὗτοι τῆς αἰεὶ μὲν ἀποθνησκούσης, μηδέποτε δὲ τεθνηκυίας μοχθηρίας, ἧς Κάιν ἐστὶν ὄνομα. ἢ οὐχὶ καὶ ὁ Κάιν υἱὸν γεννήσας, ὃν Ἐνὼχ ἐκάλεσεν, ὁμώνυμον αὐτῷ [καὶ] κτίζων εἰσάγεται πόλιν (Gen. 4,17) καὶ τρόπον τινὰ τὰ γενητὰ καὶ θνητὰ οἰκοδομῶν ἐπὶ τῇ τῶν θειοτέρας κατασκευῆς λαχόντων ἀνατροπῇ;
123 ὁ γὰρ Ἐνὼχ ἑρμηνεύεται χάρις σου· τῶν δ' ἀνοσίων ἕκαστος διάνοιαν μὲν ἡγεῖται χαρίζεσθαι ἑαυτῷ τάς τε καταλήψεις καὶ διανοήσεις, ὀφθαλμοὺς δὲ τὸ βλέπειν καὶ ἀκούειν ὦτα καὶ μυκτῆρας ὀσφραίνεσθαι, καὶ τὰς ἄλλας αἰσθήσεις τὰ οἰκεῖα ἑαυταῖς, ἔτι μέντοι καὶ τὰ φωνῆς ὄργανα
124 τὸ λέγειν, θεὸν δὲ ἢ μὴ συνόλως ἢ μὴ ὡς πρῶτον αἴτιον ὄν. διὰ τοῦτο καὶ ὧν ἐγεωπόνησε τὰς ἀπαρχὰς ἑαυτῷ ταμιεύεται, καρποὺς δὲ αὐτὸ μόνον αὖθις προσενεγκεῖν θεῷ λέγεται καίτοι παραδείγματος ὑγιοῦς

---

1 τοι] ποι P 1. 2 προσορωμένους G 3 εἶπ' ἂν G 5 οὐκ om. P 6 ὀκνοῦσιν F 7 γνωριμώτατοι F, γνωριμώτατα G τιμωρίαι scripsi: τέχναι codd., δίκαι Mang. ἃ δηλεῖσθαι G, ἀδηλεῖσθαι L 9 τοῦ μελλήσειν G, τοῦ μελήσειν F ἀδικοῦντας Mang. μηδὲ scripsi (vel antea μήτε λήσειν leg.): μήτε codd. 9. 10 ὑπέχειν εἰσάπαν ἰσχύσειν conicio 10 εἰς ἅπαν GFH ὅτε F 11 ἔνδοθεν om. F 12. 13 σύνεσιν HP 13 ἐπισπᾶσθαι HP τοῦ τὰ] τούτου G κατὰ H 15 ἐχθραίνουσαν GFP: ἐχθραίρουσαν H, ἐχθαίρουσαν v 16 οὗτοι om. HP 17 μηδέποτε HP: μήποτε GF 18 καὶ om. Oxon. Coll. Nov. 143, seclusi 19 γεννητὰ codd. 22 εἰσηγεῖται FP διανοήσεις αὐτῷ L 23 τὸ ἀκούειν et τὸ ὀσφραίνεσθαι conicio 25 ὂν (ὄντα coni. Mang.) vid. del. 26 ἀπαρχὰς Mang.: ἀρχὰς codd. 27 αὐτὸ F: αὐτῷ GHP

ἐγγὺς ἑστῶτος· ὁ γὰρ ἀδελφὸς αὐτοῦ τὰ πρωτότοκα, οὐ τὰ δεύτερα τῆς
ποίμνης ἔχγονα ἱερουργεῖ, τὰς τῶν γινομένων πρεσβυτέρας αἰτίας κατὰ
τὸ πρεσβύτατον τῶν αἰτίων ὁμολογῶν συνίστασθαι. τῷ δ' ἀσεβεῖ 125
τοὐναντίον δοκεῖ, αὐτοχράτορα μὲν εἶναι τὸν νοῦν ὧν βουλεύεται, αὐτο-
κράτορα δὲ καὶ τὴν αἴσθησιν ὧν αἰσθάνεται· δικάζειν γὰρ ἀνυπαιτίως
p. 424 M. καὶ ἀψευδῶς τὴν μὲν τὰ σώματα, τὸν δὲ πάντα. τούτων δὲ τί | ἂν 126
γένοιτο ἐπιληπτότερον ἢ μᾶλλον ὑπὸ τῆς ἀληθείας ἐλεγχόμενον; ἢ οὐχὶ
καὶ ὁ νοῦς πολλάκις ἐπὶ μυρίων ὅσων ἠλέγχθη παρανοῶν, καὶ αἱ αἰ-
σθήσεις ἅπασαι ψευδομαρτυριῶν ἑάλωσαν οὐ παρ' ἀλόγοις δικασταῖς,
οὓς εἰκὸς ἀπατᾶσθαι, ἀλλ' ἐν τῷ τῆς φύσεως αὐτῆς δικαστηρίῳ, ἣν
οὐ θέμις δεκάζεσθαι; καὶ μὴν σφαλλομένων γε τῶν καθ' ἡμᾶς αὐτοὺς 127
περί τε νοῦν καὶ αἴσθησιν κριτηρίων ἀνάγκη τἀκόλουθον ὁμολογεῖν,
ὅτι ὁ θεὸς τῷ μὲν τὰς ἐννοίας, τῇ δὲ τὰς ἀντιλήψεις ἐπομβρεῖ, καὶ
ἔστιν οὐ τῶν καθ' ἡμᾶς μερῶν χάρις τὰ γινόμενα, ἀλλὰ τοῦ δι' ὃν
καὶ ἡμεῖς γεγόναμεν δωρεαὶ πᾶσαι. (26.) τὸν φιλαυτίας κλῆρον παρα- 128
λαβόντες παῖδες παρὰ πατρὸς συναυξῆσαι γλίχονται μέχρις οὐρανοῦ, ἕως
ἂν ἡ φιλάρετός τε καὶ μισοπόνηρος δίκη παρελθοῦσα καθέλῃ τὰς πόλεις,
ἃς ἐπετείχισαν ψυχῇ τῇ ταλαίνῃ, καὶ τὸν πύργον, οὗ τοὔνομα ἐν τῇ
τῶν κριμάτων ἀναγραφομένῃ βίβλῳ δεδήλωται. ἔστι δὲ ὡς μὲν 129
Ἑβραῖοι λέγουσι Φανουήλ, ὡς δὲ ἡμεῖς ἀποστροφὴ θεοῦ· τὸ γὰρ κατε-
σκευασμένον ὀχύρωμα διὰ τῆς τῶν λόγων πιθανότητος οὐδενὸς ἕνεκα
ἑτέρου κατεσκευάζετο ἢ τοῦ μετατραπῆναι καὶ μετακλιθῆναι διάνοιαν
ἀπὸ τῆς τοῦ θεοῦ τιμῆς· οὗ τί ἂν γένοιτο ἀδικώτερον; ἀλλὰ πρός γε 130
τὴν τοῦ ὀχυρώματος τούτου καθαίρεσιν ὁ πειρατὴς τῆς ἀδικίας καὶ
φονῶν αἰεὶ κατ' αὐτῆς εὐτρέπισται, ὃν Ἑβραῖοι καλοῦσι Γεδεών, ὃς
ἑρμηνεύεται πειρατήριον· „ὤμοσε“ γάρ φησι „Γεδεὼν τοῖς ἀνδράσι
Φανουὴλ λέγων· ἐν τῷ με ἐπιστρέφειν μετ' εἰρήνης τὸν πύργον τοῦ-
τον κατασκάψω“ (Iud. 8,9). πάγκαλον καὶ πρεπωδέστατον αὔχημα 131

---

2 γινομένων G: γενομένων FHP αἰτίας om. P 3 πρεσβύτερον HP
αἰτιῶν G εὐσεβεῖ F, ἐπεβ, tum spat. 2 litt. G 4 βουλεύεται F: βούλεται
G(?)HP 6 ψευδῶς L τὰ om. P πάντα] τὰ νοητά conicio 8 ἠλέχθη
FP, ἐλέγχη L παρανοῶν GP: παρανοιῶν FH αἱ om. G 9 παρ' ἀλόγοις
Mang.: παραλόγοις H, παρὰ λόγοις P, παρ' ὀλίγοις GF 11 δεκάζεσθαι scripsi:
δεκάσασθαι G, δικάσασθαι FHP 13 τῷ] τῶν H ἐπομβροῖ G 14. 15 ἀλλὰ
καὶ ἡμεῖς τοῦ δι' ὃν (ὧν G) γεγόναμεν GF 15 πᾶσαι] πάντα conicio τὸν]
τοῦτον coni. Mang., τὸν οὖν conicio 19 κριτῶν conicio 20 λέγουσιν F
20. 21 κατασκευασμένον ὠχύρωμα G 21 τῆς om. GF 25 φονῶν Mang.:
φρονῶν codd. ἀεὶ G 28 κατακόψω G, κατασκάψαι L πᾶν καλὸν GF

μισοπονήρῳ ψυχῇ κατὰ ἀσεβῶν ἠχονημένῃ τὸ βεβαιοῦσθαι καθαιρήσειν πάντα λόγον ἀποστρέφειν διάνοιαν ὁσιότητος ἀναπείθοντα. καὶ πέφυκεν οὕτως ἔχειν· ὅταν γὰρ ὁ νοῦς ἐπιστρέψῃ, τὸ ἀποκλῖνον καὶ ἀποστρε-
132 φόμενον αὐτοῦ πᾶν λύεται. τούτου δὲ καιρός ἐστι τῆς καθαιρέσεως, τὸ παραδοξότατον, ᾗ φησιν, οὐ πόλεμος, ἀλλ' εἰρήνη· διανοίας γὰρ εὐσταθείᾳ καὶ ἠρεμίᾳ, ἣν εὐσέβεια γεννᾶν πέφυκεν, ἀνατρέπεται πᾶς
133 λόγος, ὃν ἐδημιούργησεν ἀσέβεια. πολλοὶ καὶ τὰς αἰσθήσεις πύργου τινὰ τρόπον ἐπὶ τοσοῦτον ἤγειραν, ὡς ἅψασθαι τῶν οὐρανοῦ περάτων· οὐρανὸς δὲ συμβολικῶς ὁ νοῦς ἡμῶν ἐστι, καθ' ὃν αἱ ἄριστα καὶ θεῖαι φύσεις περιπολοῦσιν. οἱ δὲ ταῦτα τολμῶντες αἴσθησιν μὲν διανοίας προκρίνουσιν, ἀξιοῦσι δὲ καὶ διὰ τῶν αἰσθητῶν τὰ νοητὰ πάντα ἑλεῖν ἀνὰ κράτος, εἰς μὲν δούλων τάξιν τὰ δεσπόζοντα, εἰς δὲ ἡγεμόνων τὰ φύσει δοῦλα μεθαρμόσασθαι βιαζόμενοι.

134 (27.) | Τὸ δέ, „κατέβη κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον“ p. 425 M.
(Gen. 11,5) τροπικώτερον πάντως ἀκουστέον· προσιέναι γὰρ ἢ ἀπιέναι ἢ κατιέναι ἢ τοὐναντίον ⟨ἀν⟩έρχεσθαι ἢ συνόλως τὰς αὐτὰς τοῖς κατὰ μέρος ζῴοις σχέσεις καὶ κινήσεις ἴσχεσθαι καὶ κινεῖσθαι τὸ θεῖον ὑπολαμβάνειν ὑπερωκεάνιος καὶ μετακόσμιος, ὡς ἔπος εἰπεῖν, ἐστὶν ἀσέβεια.
135 ταῦτα δὲ ἀνθρωπολογεῖται παρὰ τῷ νομοθέτῃ περὶ τοῦ μὴ ἀνθρωπομόρφου θεοῦ διὰ τὰς τῶν παιδευομένων ἡμῶν, ὡς πολλάκις ἐν ἑτέροις εἶπον, ὠφελείας. ἐπεὶ τίς οὐκ οἶδεν ὅτι τῷ κατιόντι τὸν μὲν ἀπολεί-
136 πειν, τὸν δὲ ἐπιλαμβάνειν τόπον ἀναγκαῖον; ὑπὸ δὲ τοῦ θεοῦ πεπλήρωται τὰ πάντα, περιέχοντος, οὐ περιεχομένου, ᾧ πανταχοῦ τε καὶ οὐδαμοῦ συμβέβηκεν εἶναι μόνῳ· οὐδαμοῦ μέν, ὅτι καὶ χώραν καὶ τόπον αὐτὸς τοῖς σώμασι συγγεγέννηκε, τὸ δὲ πεποιηκὸς ἐν οὐδενὶ τῶν γεγονότων θέμις εἰπεῖν περιέχεσθαι, πανταχοῦ δέ, ὅτι τὰς δυνάμεις αὑτοῦ διὰ γῆς καὶ ὕδατος ἀέρος τε καὶ οὐρανοῦ τείνας μέρος οὐδὲν ἔρημον ἀπολέλοιπε τοῦ κόσμου, πάντα δὲ συναγαγὼν διὰ πάντων ἀοράτοις ἔσφιγξε

---

1 μισοπονήρων F ἠχονημένων F καθαιρήση H, καθαιρής P 3 ἀποστρέψη GF 3 τὸ om. F 4 πᾶν scripsi: πάλιν codd. 5 φησι G πόλεως H εἰρήνης G 6 εὐσταθία H 7 ἐδημιούργησαν F πολλῆ GF, πολλοὶ δὲ conicio 9 δὲ HP: τε GF 12 εἰ μὲν HP 15 προσιέναι scripsi: προσεῖναι HP, προεῖναι GF ἀπιέναι scripsi: ἀπεῖναι codd. 16 κατεῖναι GF ἀνέρχεσθαι Mang.: ἔρχεσθαι codd. 19 παρὰ] περὶ F 21 τῷ ὄντι P 21. 22 ἀπολιπεῖν P 24 ὅτι χώραν G 24. 25 τοῖς σώμασιν αὐτὸς F 25 συγγεγέννηκε F ex corr.: συγγεγένηκε GHP 26 αὐτοῦ codd. 28 ἀρρήκτοις coni. Mang.

δεσμοῖς, ἵνα μή ποτε λυθείη, οὗ χάριν μελετήσας ὦ * * *. τὸ μὲν 137
γὰρ ὑπεράνω τῶν δυνάμεων ὃν ἐπινοεῖται περιττεύειν, οὐ * * * κατὰ
τὸ εἶναι μόνον· τούτου δύναμις δέ, καθ' ἣν ἔθηκε καὶ διετάξατο τὰ
πάντα, κέκληται μὲν ἐτύμως θεός, ἐγκεκόλπισται δὲ τὰ ὅλα καὶ διὰ
τῶν τοῦ παντὸς μερῶν διελήλυθε. τὸ δὲ θεῖον καὶ ἀόρατον καὶ ἀκατά- 138
ληπτον καὶ πανταχοῦ ὂν ὁρατόν τε καὶ καταληπτὸν οὐδαμοῦ πρὸς ἀλή-
θειάν ἐστιν * * * „ὧδε στὰς ἐγὼ πρὸ τοῦ σέ“ (Exod. 17, 6), δεί-
κνυσθαι καὶ καταλαμβάνεσθαι δοκῶν, πρὸ πάσης δείξεως καὶ φαντασίας
ὑπερβαλὼν τὰ γεγονότα. τῶν οὖν μεταβατικῆς κινήσεως ὀνομάτων 139
οὐδὲν ἐφαρμόττει τῷ κατὰ τὸ εἶναι θεῷ, τὸ ἄνω, τὸ κάτω, τὸ ἐπὶ δεξιά,
τὸ ἐπ' εὐώνυμα, τὸ πρόσω, τὸ κατόπιν· ἐν οὐδενὶ γὰρ τῶν λεχθέντων
ἐπινοεῖται, ὡς οὐδ' ἂν μετατρεπόμενος ἐναλλάττοι χωρία. λέγεται δ' 140
οὐδὲν ἧττον κατελθὼν ἰδεῖν, ὁ προλήψει πάντα οὐ γενόμενα μόνον ἀλλὰ
καὶ πρὶν γενέσθαι σαφῶς κατειληφώς, προτροπῆς ἕνεκα καὶ διδασκαλίας,
ἵνα μηδεὶς ἀνθρώπων οἷς οὐ πάρεστιν, ἀβεβαίῳ χρώμενος εἰκασίᾳ,
μακρὰν ἀφεστὼς προπιστεύῃ, ἀλλ' ἄχρι τῶν πραγμάτων ἐλθὼν καὶ δια-
κύψας εἰς ἕκαστα καὶ ἐπιμελῶς αὐτὰ αὐγασάμενος· ὅψιν γὰρ ἁπλανῆ
πρὸ ἀκοῆς ἀπατεῶνος ἄξιον μάρτυρα τίθεσθαι. οὗ χάριν καὶ παρὰ 141
p. 426 M. τοῖς ἄριστα πολιτευομένοις ἀναγέγραπται νόμος | ἀκοῇ μὴ μαρτυρεῖν,
ὅτι φύσει τὸ δικαστήριον αὐτῆς πρὸς τὸ δεκάζεσθαι ταλαντεύει· καὶ
Μωυσῆς μέντοι φησὶν ἐν τοῖς ἀπαγορευτικοῖς· „οὐ παραδέξῃ ἀκοὴν
ματαίαν“ (Exod. 23, 1), οὐχὶ μόνον τοῦτο λέγων, * * * παραδέχεσθαι

---

1 μελετήσας ὦ G, μελέτης ἄσω HPL¹, μελετήσασα FL², θεοῦ χάρισιν συνημμένα conicio 2 ⟨οὐκ⟩ ἐπινοεῖται περὶ τόπον conicio 2. 3 οὐ κατα⟨λαμβανόμενον εἰ μὴ κατὰ⟩ τὸ εἶναι μόνον suppleo 3 καθ' ἣν GFP: ἣν H, ἣ v 4 ἐτύμως F: ἑτοίμως GH (P evanidus) 5. 6 τὸ δὴ θεῖον ὁρατόν τε καὶ καταληπτὸν καὶ πανταχοῦ φαντασιαζόμενον ἀόρατον καὶ ἀκατάληπτον καὶ οὐδαμοῦ conicio 6 prius καὶ GF: om. HP ὂν HP: εἶναι GF, φαντασιαζόμενον conicio 7 post ἐστιν lacuna supplenda ex libro De migr. Abr. § 183 ὡς ἀψευδέστατον ἐκεῖνον εἶναι τὸν χρησμόν, ἐν ᾧ λέλεκται ὧδε Mang.: ὁ δὲ codd. στὰς] ἕστηκα conicio πρὸ] πρὸς F 10 κατὰ τὸ] κατὰ τῶ G, καθὸ L ἄνω κάτω GF τὰ ἐπὶ P 12 ὡς GF: ὃς HP ἐναλλάττοιτο P, ἐναλλάττειν conicio χωρίαν G, χωρίον P 13 γινόμενα GP 14 γενέσεως (om. σαφῶς) G 17 post αὐγασάμενος vid. add. κρίνῃ 18 πρὸς F 20 δεκάζεσθαι Turn.: δικάζεσθαι codd. 21 ἀπαγορευτικοῖς Turn.: ἀγορευτικοῖς codd. ὅτι οὐ θέμις supplet Cohn, μὴ Turn. 22 λέγον F

---

3 sqq. *Clemens Strom. II § 5 p. 431 P:* πόρρω μὲν κατ' οὐσίαν . . . ἐγγυτάτω δὲ δυνάμει, ᾗ τὰ πάντα ἐγκεκόλπισται.

ψευδῆ λόγον ἢ εὐήθη δι' ἀκοῆς, ἀλλὰ καὶ ὅτι πρὸς τὴν σαφῆ τῆς ἀληθείας κατάληψιν μακρὸν ὅσον ὄψεως ὑστερίζουσα διελέγχεται γέμουσα
142 ματαιότητος ἀκοή. (28.) ταύτην φαμὲν αἰτίαν εἶναι τοῦ λέγεσθαι „τὸν θεὸν καταβεβηκέναι τὴν πόλιν καὶ τὸν πύργον θεάσασθαι". οὐ παρέργως δὲ πρόσκειται „ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων" (Gen. 11,5). ἴσως γὰρ ἄν τις εἴποι τῶν οὐκ εὐαγῶν ἐπιχλευάζων ἅμα· καινὸν ἡμᾶς ἀναδιδάσκει μάθημα ὁ νομοθέτης, ὅτι πύργους καὶ πόλεις οὐχ ἕτεροί τινες, ἀλλὰ παῖδες ἀνθρώπων ἀνοικοδομοῦνται. τίς γὰρ τά γ' οὕτως
143 ἐμφανῆ καὶ περίοπτα καὶ τῶν λίαν ἐξεστηκότων ἀγνοεῖ; ἀλλὰ μὴ τὸ πρόχειρον τοῦτο καὶ κατημαξευμένον ἐν τοῖς ἱερωτάτοις χρησμοῖς ἀναγεγράφθαι ⟨νομίσῃς⟩, ἀλλ' ὅπερ ἀποκεκρυμμένον ἰχνηλατεῖται διὰ τῶν
144 ἐμφανῶν ὀνομάτων. τί οὖν ἐστι τοῦτο; οἱ πολλοὺς ἐπιγραφόμενοι τῶν ὄντων ὡσανεὶ πατέρας καὶ τὸ πολύθεον εἰσηγούμενοι στῖφος ἀπειρίαν ὁμοῦ καὶ πολυμιγίαν τῶν πραγμάτων καταχέαντες καὶ τὸ ψυχῆς τέλος ἡδονῇ παραδόντες δημιουργοὶ τῆς εἰρημένης πόλεως καὶ τῆς κατ' αὐτὴν ἀκροπόλεως, εἰ δεῖ τἀληθὲς εἰπεῖν, γεγόνασι, τὰ ποιητικὰ τοῦ τέλους τρόπον οἰκοδομημάτων συναύξοντες, τῶν ἐκ πόρνης ἀποκυηθέντων οὐδέν, ὡς γ' οἶμαι, διαφέροντες, οὓς ὁ νόμος ἐκκλησίας ἀπελήλακε θείας εἰπών· „οὐκ εἰσελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν κυρίου" (Deut. 23, 2), ὅτι, καθάπερ περὶ πολλὰ τέλη πλανώμενοι τοξόται καὶ μηδενὸς εὐστόχως ἐφιέμενοι σκοποῦ, μυρίας ἀρχὰς καὶ αἰτίας τῆς τῶν ὄντων ὑποθέμενοι γενέσεως ψευδωνύμους πάσας τὸν ἕνα ποιητὴν καὶ πατέρα τῶν ὅλων
145 ἠγνόησαν. οἱ δὲ ἐπιστήμῃ κεχρημένοι τοῦ ἑνὸς υἱοὶ θεοῦ προσαγορεύονται δεόντως, καθὰ καὶ Μωυσῆς ὁμολογεῖ φάσκων· „υἱοί ἐστε κυρίου τοῦ θεοῦ" (Deut. 14, 1) καὶ „θεὸν τὸν γεννήσαντά σε" (Deut. 32,18) καὶ „οὐκ αὐτὸς οὗτός σου πατήρ" (ibid. 6); ἔπεται μέντοι τοῖς οὕτω τὴν ψυχὴν διατεθεῖσι μόνον τὸ καλὸν ἀγαθὸν εἶναι νομίζειν, ὅπερ τῷ τέλει τῆς ἡδονῆς πρὸς ἐμπειροπολέμων ἀνδρῶν ἀντιτειχίζεται πρὸς ἀνα-

---

1 ψευδῆ λόγον G: ψευδολόγον FHP εὐήθη Turn.: εὐθῆ codd.
2 μακρὰν G διαλέγεται L 5 πρόκειται F 6 ὑμᾶς coni. Mang. 7 πόλις F 8 τά γ' GF: τάχ' HP
9 περίληπτα L^1 μὴ] μήποτε coni. Mang. 10 καὶ om. Turn.
10. 11 ἀναγεγράφθω L, ἀναγέγραπται Turn 11 νομίσῃς addidi διὰ] δίχα conicio 12 ἐστι] ἐπὶ H ὡσεὶ HP 14 καταχέοντες G τῆς ψυχῆς HP 15 εἰρήνης HP 17 τῶν post τρόπον add. F, fort. add. τινὰ 19 ⟨ὁ⟩ ἐκ conicio 20 περὶ] ἐπὶ L
24 ἔσται F 26 σου] ὁ G 27 διατιθεῖσι (i 28 post ἀντιτειχίζεται add. καὶ v

p. 427 M. τροπὴν καὶ καθαίρεσιν ἐκείνου. | κἂν μηδέπω μέντοι τυγχάνῃ τις ἀξιό- 146
χρεως ὢν υἱὸς θεοῦ προσαγορεύεσθαι, σπουδαζέτω κοσμεῖσθαι κατὰ τὸν
πρωτόγονον αὐτοῦ λόγον, τὸν ἀγγέλων πρεσβύτατον, ὡς ἂν ἀρχάγγελον,
πολυώνυμον ὑπάρχοντα· καὶ γὰρ ἀρχὴ καὶ ὄνομα θεοῦ καὶ λόγος καὶ
ὁ κατ' εἰκόνα ἄνθρωπος καὶ ὁ ὁρῶν, Ἰσραήλ, προσαγορεύεται. διὸ 147
προήχθην ὀλίγῳ πρότερον ἐπαινέσαι τὰς ἀρετὰς τῶν φασκόντων ὅτι
„πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου“ (Gen. 42, 11)· καὶ γὰρ εἰ μήπω
ἱκανοὶ θεοῦ παῖδες νομίζεσθαι γεγόναμεν, ἀλλά τοι τῆς ἀειδοῦς εἰκόνος
αὐτοῦ, λόγου τοῦ ἱερωτάτου· θεοῦ γὰρ εἰκὼν λόγος ὁ πρεσβύτατος. καὶ 148
πολλαχοῦ μέντοι τῆς νομοθεσίας υἱοὶ πάλιν Ἰσραὴλ καλοῦνται, τοῦ ὁρῶντος
οἱ ἀκούοντες, ἐπειδὴ μεθ' ὅρασιν ἀκοὴ δευτερείοις τετίμηται καὶ τὸ διδα-
σκόμενον τοῦ χωρὶς ὑφηγήσεως ἐναργεῖς τύπους τῶν ὑποκειμένων λαμβά-
νοντος αἰεὶ δεύτερον. ἄγαμαι καὶ τῶν ἐν βασιλικαῖς βίβλοις ἱεροφαν- 149
τηθέντων, καθ' ἃς οἱ πολλαῖς γενεαῖς ὕστερον ἀκμάσαντες καὶ βιώ-
σαντες ἀνυπαιτίως υἱοὶ τοῦ τὸν θεὸν ὑμνήσαντος Δαβὶδ ἀναγράφονται
(III Reg. 15, 11 IV Reg. 18, 3 al.), οὗ περιόντος οὐδ' οἱ πρόπαπποι
τούτων ἦσαν ἴσως γεγενημένοι· ψυχῶν γὰρ ἀπαθανατιζομένων ἀρεταῖς,
οὐ φθαρτῶν σωμάτων ἐστὶ γένεσις, ἣν ἐπὶ τοὺς καλοκἀγαθίας ἡγεμόνας
ὡσανεὶ γεννητὰς καὶ πατέρας ἀναφέρεσθαι συμβαίνει. (29.) κατὰ δὲ 150
τῶν ἐπ' ἀδικίαις σεμνυνομένων εἶπε κύριος· „ἰδοὺ γένος ἓν καὶ χεῖλος
ἓν πάντων“ (Gen. 11, 5), ἴσον τῷ ἰδοὺ μία οἰκειότης καὶ συγγένεια,
καὶ πάλιν ἁρμονία καὶ συμφωνία ἡ αὐτὴ πάντων ὁμοῦ, μηδενὸς ἠλλο-
τριωμένου τὴν γνώμην μηδ' ἀπάδοντος, καθάπερ ἔχει καὶ ἐπ' ἀνθρώ-
πων ἀμούσων· τὸ γὰρ φωνητήριον αὐτοῖς ὄργανον πᾶσι τοῖς φθόγγοις
ἔστιν ὅτε δι' ὅλων ἐκμελὲς καὶ ἀπῳδὸν οὐ μετρίως καθέστηκε, πρὸς
ἀναρμοστίαν ἄκρως ἡρμοσμένον καὶ πρὸς τὸ ἀσύμφωνον συμφωνίαν

---

2 ὢν om. Eus. σπουδαζέτω Eus: σπούδαζε codd. κομεῖσθαι F
3 ἄγγελον v ὡς ἂν Eus: καὶ ὡς ἄν Eus codd. nonnulli, ὡς codd. 4 ἀρχὴ] αὐχεῖ G 4.5 λόγος ὁ F (om. καί), λόγος οὗ coni. Mang. 5 ὁ ὁρῶν Eus ὁρῶν codd. 6 προήχθη G ἀρετὰς Eus: ἀρχὰς codd. 7. 8 ἀνθρώπου — ἀιδίου om. F 8 ὀνομάζεσθαι conicio ἀειδοῦς Eus: ἀιδίου codd. 13 δεύτεροι F βασιλικοῖς H 14 ἀκμάσαντες G: ἀκμάσαντα F, ἀκούσαντε HP 15 ἀνυπναιτίως Mang.: ὑπαιτίως codd. 17 ἴσως Mang.: πιστῶς codd. γεγεννημένοι GF 21 τῷ] τὸ G 25 ὅτι P

1—9 Eusebius Pr. ev. XI 15 post locum ad p. 247 laudatum: ἐν τῷ δ' αὐτῷ συγγράμματι καὶ τάδε φησί· Κἂν μηδέπω μέντοι — ὁ πρεσβύτατος.

151 μόνον ἄγον. καὶ ἐπὶ τῆς πολίτιδος τὸ κατασκευαστὸν τὸ παραπλήσιον
ἰδεῖν ἔστιν· αἵ τε γὰρ ἀμφημεριναὶ καὶ διάτριτοι καὶ τεταρταῖζουσαι
παρὰ παισὶν ἰατρῶν λεγόμεναι περίοδοι μεθ' ἡμέραν τε καὶ νύκτωρ
περὶ τὰς αὐτὰς ὥρας κατασκήπτουσι τὴν εἰς αὐτὰ καὶ τάξιν φυλάττουσαι.
152 τὸ δὲ „καὶ τοῦτο ἤρξαντο | ποιῆσαι“ (Gen. 11,6) μετ' οὐ μετρίου σχε- p. 428 M.
τλιασμοῦ λέλεκται, διότι τοῖς ῥᾳδιουργοῖς οὐ τὰ πρὸς τοὺς ὁμοφύλους
μόνον συγχεῖν δίκαια ἐξήρκεσεν, ἀλλ' ἤδη καὶ τῶν ὀλυμπίων ἐπιβαίνειν
153 ἐτόλμησαν, ἀδικίαν μὲν σπείραντες, ἀσέβειαν δὲ θερίσαντες. ὄφελος δὲ
τοῖς ἀθλίοις οὐδέν· οὐ γὰρ ὥσπερ ἀδικοῦντες ἀλλήλους πολλὰ ὧν ἂν
ἐθελήσωσιν ἀνύτουσιν ἔργοις βεβαιούμενοι τὰ βουλαῖς ἀγνώμοσιν ἐπιλο-
γισθέντα, οὕτως καὶ ἀσεβοῦντες· ἀζήμια γὰρ καὶ ἀπήμονα τὰ θεῖα,
τοῦ δὲ πλημμελεῖν εἰς αὐτὰ οἱ δυσκάθαρτοι τὰς ἀρχὰς εὑρίσκονται
154 μόνον, πρὸς δὲ τὸ τέλος φθάνουσιν οὐδέποτε. διὸ καὶ λέγεται τοῦτο·
„ἤρξαντο ποιῆσαι“· κορεσθέντες ⟨γὰρ⟩ οἱ τοῦ παρανομεῖν ἄπληστοι τῶν
πρὸς τὰ ἐν γῇ καὶ θαλάττῃ καὶ ἀέρι, ἃ φθαρτῆς φύσεως ἔλαχε, κακῶν
ἐπὶ τὰς ἐν οὐρανῷ θείας φύσεις μετατάξασθαι διενοήθησαν· ἃ ἐστι τῶν
ὄντων ἔξω τοῦ κακηγορεῖν ἔθος ἐστὶ διαθεῖναι τὸ παράπαν οὐδέν· καὶ
αὐτὸ μέντοι τὸ βλασφημεῖν οὐ τοῖς κακηγορουμένοις ἐπιφέρει τινὰ
ζημίαν, ἃ τῆς ἰδίου φύσεως οὔποτ' ἐξίσταται, ἀλλὰ τοῖς καταιτιωμένοις
155 συμφορὰς ἀνηκέστους. οὐκ ἐπειδὴ μέντοι μόνον ἤρξαντο πρὸς τὸ τέλος
ἐλθεῖν ἀδυνατήσαντες ἀσεβείας, διὰ τοῦτ' αὐτοὺς οὐχ ὡς διαπραξαμένους
ἕκαστα ὧν διενοήθησαν αἰτιατέον· οὗ χάριν καὶ τετελειωκέναι φησὶ τὸν
πύργον αὐτοὺς οὐ τελειώσαντας, ἐπειδὰν λέγῃ· „κύριος κατέβη ἰδεῖν τὴν
πόλιν καὶ τὸν πύργον“, οὐχ ὃν οἰκοδομῆσαι μέλλουσιν, ἀλλ' ὃν „ᾠκο-
156 δόμησαν“ ἤδη (Gen. 11,5). (30.) τίς οὖν πίστις τοῦ μὴ τετελεσιουρ-
γῆσθαι τὴν κατασκευήν; ἡ ἐνάργεια πρώτη· γῆς γὰρ ὁτιοῦν μέρος

---

1 καὶ ἐπὶ τῆς πυρετοῦ καταβολῆς τὸ παραπλήσιον conicio τὸ alterum om. v
2 αἵ τε scripsi: ἔτι codd. ἀφημεριναὶ F διάτριττοι F, διάτρυτοι G ταρ-
ταῖζουσαι H 4 κατασκήπτουσι scripsi: κατασκευάκασι F, κατεσκευάκασι GHP
εἰς αὐτὰ καὶ GF, εἰς αὐτὰ HP, εἰς τὰ αὐτὰ Mang., αὐτὴν αἰεὶ conicio 5 ἤρξατο
HP 5. 6 χετλιασμοῦ H 6 λέγεται F 8 μὲν om. G
10 ἀθετήσωσιν L ἀνύουσιν HP 11 οὕτω HP 12 πλημελεῖν GP
εὑρίσκονται om. G 14 γὰρ addidi 15 πρὸς τὰ om. v ἀέρι F:
ἀέρος GHP 16 τὰς] τῆς G ἅς τι τῶν Mang. ἃς [ἐστι] τῶν κακῶν ἔξω
τοῦ κακηγορεῖν οὐ θέμις ἐστὶ conicio, ἃ δ' ἐστὶ et ⟨οὐκ⟩ ἔθος coni. Cohn 17 κατη-
γορεῖν HP 18 οὐ GFL²: ἐν HPL¹ 19 ἀιδίου HP οὔποτε G
post ἀλλὰ add. καὶ GF 22 αἰτιαστέον F, post αἰτιατέον lacunam suspicor sup-
plendam ex p. 259,15—17 οὗ GF: τοῦ HP, τούτου v 25. 26 τετελεσιουργεῖ-
σθαι G, τελεσιουργῆσθαι P, τελεσιουργεῖσθαι F 26 ἡ] ἢ F ἐνέργεια P

ἀμήχανον οὐρανοῦ ψαῦσαι διὰ τὴν ἔμπροσθεν αἰτίαν, ὅτιπερ οὐδὲ κέντρον περιφερείας ἅπτεται· δευτέρα δ', ὅτι ὁ αἰθήρ, ἱερὸν πῦρ, φλόξ ἐστιν ἄσβεστος, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα παρὰ τὸ αἴθειν, δ δὴ καίειν ἐστὶ κατὰ γλῶτταν, εἰρημένον. μάρτυς δὲ μία μοῖρα τῆς οὐρανίου 157
πυρᾶς ἥλιος, ὃς τοσοῦτον γῆς ἀφεστὼς ἄχρι μυχῶν τὰς ἀκτῖνας ἐπιπέμπων αὐτήν τε καὶ τὸν ἀπ' αὐτῆς ἀνατείνοντα μέχρι τῆς οὐρανίου σφαίρας ἀέρα φύσει ψυχρὸν ὄντα τῇ μὲν ἀλεαίνει, τῇ δὲ καταφλέγει· τὰ μὲν γὰρ ὅσα ἢ μακρὰν ἀφέστηκεν αὐτοῦ τῆς φορᾶς ἢ ἐγκάρσια παραβέβληται ἀλεαίνει μόνον, τὰ δ' ἐγγὺς ἢ ἐπ' εὐθείας ὄντα καὶ
προσανακαίει βίᾳ. εἰ δὲ ταῦθ' οὕτως ἔχει, τοὺς ἀναβαίνειν τολμῶντας 158
ἀνθρώπους οὐκ ἀναγκαῖον ἦν ἐμπεπρῆσθαι κεραυνωθέντας, ἀτελοῦς αὐτοῖς τῆς μεγαλουργηθείσης ἐπινοίας γενομένης; τοῦτ' ἔοικεν αἰνίττεσθαι διὰ τῶν αὖθις λεγομένων· „ἐπαύσαντο" γάρ φησιν „οἰκοδομοῦντες τὴν
p. 429 M. πόλιν καὶ τὸν πύργον" (Gen. 11,8), οὐ δήπου τελειώσαντες, | ἀλλὰ
τελεσιουργῆσαι κωλυθέντες διὰ τὴν ἐπιγενομένην σύγχυσιν. οὐ μὴν ἐκπεφεύγασι τὴν τῶν διαπράξεων αἰτίαν οἱ πρὸς τῷ βουλεύσασθαι καὶ ἐγκεχειρηκότες. (31.) τὸν γοῦν οἰωνόμαντιν καὶ τερατοσκόπον περὶ τὰς 159
ἀβεβαίους εἰκασίας ματαιάζοντα — καὶ γὰρ μάταιος ἑρμηνεύεται Βαλαάμ — φησὶν ὁ νόμος τῷ ὁρῶντι καταράσασθαι καίτοι διὰ τῶν λόγων εὐφήμους ποιησάμενον εὐχάς, σκοπῶν οὐ τὰ λεχθέντα ἃ προμηθείᾳ θεοῦ μετεχαράττετο οἷα δόκιμον ἀντὶ κιβδήλου νόμισμα, τὴν δὲ διάνοιαν, ἐν ᾗ τὰ βλάψοντα πρὸ τῶν ὠφελησόντων ἀνεπολεῖτο. ἔστι δὲ φύσει πολέμια ταῦτα, στοχασμὸς ἀληθείᾳ καὶ ματαιότης ἐπιστήμῃ καὶ ἡ διὰ ἐνθουσιασμοῦ μαντεία νηφούσῃ σοφίᾳ. καὶ ἂν ἐξ ἐνέδρας μέντοι τις 160
ἐπιχειρήσας ἀνελεῖν τινα μὴ δυνηθῇ κτεῖναι, τῇ τῶν ἀνδροφόνων οὐδὲν ἧττον ὕποχος δίκῃ καθέστηκεν, ὡς ὁ γραφεὶς περὶ τούτων δηλοῖ νόμος· „ἐὰν" γάρ φησι „τὶς ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου λήψῃ αὐτὸν θανατῶσαι"

---

1 αἰτίαν ⟨λεχθεῖσαν⟩ conicio (v. § 5) οὐδέν HP 2 δευτέρα scripsi: δεύτερον codd. δὲ P 2. 3 φάος ἐστὶν ἄσβεστον Oxon. Coll. Nov. 143 3. 4 παρὰ—εἰρημένον om. H 5 πυρᾶς] σφαίρας coni. Mang. γῆς GF: οὗ HP 6 αὐτή GF 7 post δὲ add. καὶ G 9 παραβέβληται GHP: παρακέκληται F, παρακέκλιται v 10 δὲ om. F ἀναβαίνει H 15 ἐπιγινομένην v 16 διαπραξαμένων conicio τῷ Turn.: τὸ codd. 17 ἐκκεχειρηκότες FH 18 γὰρ om. Turn. μάταιος ⟨λαὸς⟩ Mang. 19 ὁρῶν τινα L τὸν λόγον L 22 βλάψοντα HP: βλάψαντα GF πρὸς G ὠφελησόντων scripsi: ὠφελησάντων codd. ἐπολεῖτο HP 23 διὰ Mang.: δίχα codd. 25 ἐπιχειρίσας F 26 γραφεὺς G 27 ἐπιθεῖται H 28 ἀπὸ Mang.: ἐπὶ codd.

(Exod. 21,14)· καίτοι ἐπιτίθεται μόνον, οὐκ ἀνῄρηκεν, ἀλλ' ἴσον ἡγήσατο ἀδίκημα τῷ κτεῖναι τὸ βουλεῦσαι τὸν φόνον· οὗ χάριν οὐδ' ἱκέτῃ γενομένῳ δέδωκεν ἀμνηστίαν, ἀλλὰ καὶ ἐξ ἱεροῦ ἐκέλευσεν ἀπάγειν τὸν
161 ἀνιέρῳ γνώμῃ χρησάμενον. ἀνίερος δὲ οὐ ταύτῃ μόνον, ὅτι κατὰ ψυχῆς τῆς αἰεὶ ζῆν δυναμένης ἀρετῶν κτήσει τε καὶ χρήσει τὸν διὰ προσβολῆς κακίας φόνον ἐβούλευσεν, ἀλλὰ καὶ ὅτι θεὸν τῆς ἀνοσιουργοῦ τόλμης αἰτιᾶται· τὸ γὰρ „καταφύγῃ" τοιοῦτον ὑποβάλλει νοῦν, διότι πολλοὶ τὰ καθ' ἑαυτῶν ἀποδιδράσκειν ἐθέλοντες ἐγκλήματα καὶ ῥύεσθαι τῶν ἐφ' οἷς ἠδίκησαν ἀξιοῦντες ἑαυτοὺς τιμωριῶν τὸ οἰκεῖον ἄγος τῷ κακοῦ μὲν μηδενὸς ἀγαθῶν δ' ἁπάντων αἰτίῳ προσβάλλουσι θεῷ. διὸ καὶ ἀπ' αὐτῶν βωμῶν τοὺς τοιούτους ἀπάγειν ὅσιον εἶναι ἐνομίσθη.
162 δίκην δ' ὑπερβάλλουσαν κατὰ τῶν ἐπ' ἀθεότητι λόγους οἰκοδομουμένων καὶ συγκροτούντων ὁρίζει, ἣν ἴσως τινὲς τῶν ἀφρόνων οὐ βλάβην, ἀλλ' ὠφέλειαν ὑποτοπήσουσιν· „οὐ γὰρ ἐκλείψει" φησίν „ἀπ' αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν" (Gen. 11,6). ὦ τῆς ἀπεριγράφου καὶ ἀμέτρου κακοδαιμονίας, πάνθ' οἷς ἂν ὁ φρενοβλαβέστατος ἐπιθῆται νοῦς, ὑποχείρια εἶναι καὶ ὑπήκοα, καὶ μηδέν, ⟨μὴ⟩ μέγα μὴ μικρόν, ὑστερίζειν τὸ παράπαν, ἀλλ'
163 ὡσπερεὶ φθάνοντα προαπαντᾶν πρὸς τὰς | χρείας ἑκάστας. (32.) ψυχῆς p. 430 M.
ταῦτα φρονήσεως χηρευούσης ἐστὶν ἐπίδειξις μηδὲν τῶν εἰς τὸ ἁμαρτάνειν ἐχούσης ἐμποδών. εὔξαιτο γὰρ ἂν ὁ μὴ σφόδρα ἀνιάτως ἔχων τὰ ἐξ ὑποθέσεως τοῦ νοῦ πάντ' ἐπιλιπεῖν αὐτῷ, ἵνα μὴ τῷ κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἢ ἱεροσυλεῖν ἤ τινι τῶν ὁμοιοτρόπων ἐπιτιτιθέμενος εὐοδῇ, μυρία δ' εὑρίσκῃ τὰ κωλυσιεργήσοντα. κωλυθεὶς μὲν γὰρ τὴν μεγίστην νόσον, ἀδικίαν, ἀποβάλλει, σὺν ἀδείᾳ δ' ἐπεξελθὼν
164 ταύτην ἀναδέξεται. τί οὖν ἔτι τὰς τῶν τυράννων τύχας ὡς μακαρίων ζηλοῦτε καὶ θαυμάζετε, δι' ἃς εὐπετῶς ἕκαστα ἐπεξίασιν, ὧν ἂν ὁ ἐκλελυττηκὼς κἀκτεθηριωμένος τέκῃ νοῦς, καὶ ἐν ἑαυτοῖς δέον ἐπιστέ-

---

1 καίτοι] καί τις F ἐπετίθετο coni. Mang. 3 ἀμνηστείαν F
καὶ om. Turn. τὸν om. G 5 τῆς εἰσαεὶ G 8 ἐλθόντες H 9 ἐξιόντες P^1 ἑαυτῶν HP 12 λόγους Mang.: λόγων codd. 13 ὁρίζειν GF 14 ὀφέλειαν G 15 ἂν HP: ἐὰν GF ἐπείθωνται HP ἀπεριγράπτου HP 16 οἷς] ὅσα G ἐπιθῆται scripsi: ἐπιθῇ codd. 17 μὴ addidi 18 προαπαντᾶν H: προσαπαντᾶν GPL, προσαπαντῶν F ἑκάστης HP 21 αὐτῷ v τῷ] τὸ G
22. 23 ἐπιθέμενος v 23 εὐωδῇ F κωλυθεὶς scripsi: κώλυσις codd.
24 ὑποβάλλει H (P evanidus), ἀποβαλεῖ conicio 25 ὡς μακαρίων scripsi: ὦ μακάριοι codd. 26 δ' ὧν coni. Mang. 27 καὶ ἐν ἑαυτοῖς] τοὐναντίον conicio, κατ' ἐναντίον coni. Cohn αὐτοῖς L

νειν, εἴ γε ἀπορία καὶ [ἡ] ἀσθένεια κακοῖς λυσιτελές, ὡς περιουσία καὶ
ἰσχὺς ἀγαθοῖς ὠφελιμώτατον; εἰς δέ τις τῶν ἀφρόνων ἠσθημένος, εἰς 165
ὅσην κακοδαιμονίας ὑπερβολὴν ἄγει ἡ τοῦ διαμαρτάνειν ἐκεχειρία, μετὰ
παρρησίας εἶπε· „μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι“ (Gen. 4, 13).
παγχάλεπον γὰρ ἀχαλίνωτον ἐαθῆναι ψυχὴν ἀτίθασον οὖσαν ἐξ ἑαυτῆς,
ἣν μόλις ἡνίαις μετ' ἐπανατάσεως μαστίγων ἔστι κατασχόντα πραῦναι.
διόπερ λόγιον τοῦ ἵλεω θεοῦ μεστὸν ἡμερότητος ἐλπίδας χρηστὰς ὑπο- 166
γράφον τοῖς παιδείας ἐρασταῖς ἀνῄρηται τοιόνδε· „οὐ μή σε ἀνῶ, οὐδ'
οὐ μή σε ἐγκαταλίπω“ (Jos. 1, 5)· τῶν γὰρ τῆς ψυχῆς δεσμῶν χαλα-
σθέντων, οἷς διεκρατεῖτο, ἡ μεγίστη παρέπεται συμφορά, καταλειφθῆναι
ὑπὸ θεοῦ, ὃς τοῖς ὅλοις δεσμοὺς τὰς ἑαυτοῦ δυνάμεις περιῆψεν ἀρρήκ-
τους, αἷς τὰ πάντα σφίγξας ἄλυτα εἶναι βεβούληται. λέγει μέντοι καὶ 167
ἑτέρωθι, ὅτι „πάνθ' ὅσα δεσμῷ καταδέδεται, καθαρά ἐστιν“ (Num.
19, 15), ἐπειδὴ τῆς ἀκαθάρτου φθορᾶς αἴτιον ἡ διάλυσις. μηδέποτ'
οὖν ἰδών τινα τῶν φαύλων οἷς ἂν ἐπιθῆται πᾶσιν εὐμαρῶς ἐπεξιόντα
θαυμάσῃς ὡς κατορθοῦντα, ἀλλὰ τοὐναντίον ὡς ἀποτυγχάνοντα οἰκτίζου,
ὅτι ἀφορίᾳ μὲν ἀρετῆς, κακίας δὲ εὐφορίᾳ χρώμενος διατελεῖ. (33.) σκέ- 168
ψασθαι δ' οὐ παρέργως ἄξιον, τίν' ἔχει λόγον τὸ εἰρημένον ἐκ προσ-
ώπου τοῦ θεοῦ· „δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν
γλῶτταν“ (Gen. 11, 7). φαίνεται γὰρ διαλεγόμενός τισιν ὡς ἂν συνερ-
γοῖς αὐτοῦ, τὸ δ' αὐτὸ καὶ πρότερον ἐπὶ τῆς τἀνθρώπου κατασκευῆς
ἀναγέγραπται· „εἶπε“ γάρ φησι „κύριος ὁ θεός· ποιήσωμεν ἄνθρωπον 169
κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν“ (Gen. 1, 26) τοῦ „ποιήσωμεν“
πλῆθος ἐμφαίνοντος· καὶ πάλιν „εἶπεν ὁ θεός· ἰδού, γέγονεν Ἀδὰμ ὡς
p. 431 M. εἷς ἡμῶν, τῷ γινώσκειν καλὸν καὶ πονηρόν“ (Gen. 3, 22)· | τὸ γὰρ
„ὡς εἷς ἡμῶν“ οὐκ ἐφ' ἑνός, ἀλλ' ἐπὶ πλειόνων τίθεται. λεκτέον οὖν 170

---

1 ἡ seclusi 2 εἰς HPL¹: εἰ GFL² 2. 3 εἰς ὅσην ἄγει κακοδαιμονίας ὑπερβολὴν conicio 3 ἐκκεχειρία H 4 ἀφεθῆναί με Oxon. Coll. Novi 143 5 ἀτίθασσον v 6 ἐπανατάσεως Turn.: ἐπαναστάσεως codd. 8 ἀνείρηται GF 12 βούληται L, βούλεται v 14 ἡ om. H μηδέποτε D 15 ἐπίθηται HP τῶν φαύλων D: om. codd. 18 περιέργως F τίνα] τί G 19 ἐκεῖ om. Turn. 21 τοῦ ἀνθρώπου F 24 Ἀδὰμ om. G 25 τῷ] τὸ H, τοῦ Turn. fort. recte 26 ἐφ'] ἀφ' P

14—17 DC fol. 215r Φίλωνος ἐκ τοῦ περὶ τοῦ νήψας ὁ νοῦς εὔχεται: μήποτε ἰδών — διατελεῖ.

ἐκεῖνο πρῶτον, ὅτι οὐδὲν τῶν ὄντων ἰσότιμον ὑφέστηκε θεῷ, ἀλλ' ἔστιν εἷς ἄρχων καὶ ἡγεμὼν καὶ βασιλεύς, ᾧ πρυτανεύειν καὶ διοικεῖν μόνῳ θέμις τὰ σύμπαντα. τὸ γὰρ

οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,
εἷς βασιλεὺς

οὐκ ἐπὶ πόλεων καὶ ἀνθρώπων λέγοιτ' ἂν ἐν δίκῃ μᾶλλον ἢ ἐπὶ κόσμου καὶ θεοῦ· ἑνὸς γὰρ ἕνα ποιητήν τε καὶ πατέρα πάλιν καὶ δεσπότην
171 ἀναγκαῖον εἶναι. (34.) τούτου δὴ προδιομολογηθέντος ἀκόλουθον ἂν εἴη συνυφαίνειν τὰ ἁρμόζοντα. τίν' οὖν ἐστι, σκοπῶμεν· εἷς ὢν ὁ θεὸς ἀμυθήτους περὶ αὑτὸν ἔχει δυνάμεις ἀρωγοὺς καὶ σωτηρίους τοῦ γενομένου πάσας, αἷς ἐμφέρονται καὶ αἱ κολαστήριοι· ἔστι δὲ καὶ ἡ κόλασις
172 οὐκ ἐπιζήμιον, ἁμαρτημάτων οὖσα κώλυσις καὶ ἐπανόρθωσις. διὰ τούτων τῶν δυνάμεων ὁ ἀσώματος καὶ νοητὸς ἐπάγη κόσμος, τὸ τοῦ φαινομένου τοῦδε ἀρχέτυπον, ἰδέαις ἀοράτοις συσταθείς, ὥσπερ οὗτος
173 σώμασιν ὁρατοῖς. καταπλαγέντες οὖν τινες τὴν ἑκατέρου τῶν κόσμων φύσιν οὐ μόνον ὅλους ἐξεθείωσαν, ἀλλὰ καὶ τὰ κάλλιστα τῶν ἐν αὐτοῖς μερῶν, ἥλιον καὶ σελήνην καὶ τὸν σύμπαντα οὐρανόν, ἅπερ οὐδὲν αἰδεσθέντες θεοὺς ἐκάλεσαν. ὧν τὴν ἀπόνοιαν κατιδὼν Μωυσῆς φησι· „κύριε, κύριε, βασιλεῦ τῶν θεῶν“ (Deut. 10, 17) ⟨εἷς⟩ ἔνδειξιν τῆς παρ'
174 ὑπηκόους ἄρχοντος διαφορᾶς. ἔστι δὲ καὶ κατὰ τὸν ἀέρα ψυχῶν ἀσωμάτων ἱερώτατος χορὸς ὀπαδὸς τῶν οὐρανίων· ἀγγέλους τὰς ψυχὰς ταύτας εἴωθε καλεῖν ὁ θεσπιῳδὸς λόγος· πάντ' οὖν τὸν στρατὸν ἑκάστων ἐν ταῖς ἁρμοττούσαις διακεκοσμημένον τάξεσιν ὑπηρέτην καὶ θεραπευτὴν εἶναι συμβέβηκε τοῦ διακοσμήσαντος ἡγεμόνος, ᾧ ταξιαρχοῦντι κατὰ δίκην καὶ θεσμὸν ἕπεται· λιποταξίου γὰρ οὐ θέμις ἀλῶναί ποτε

---

4 πολυκοιρανοίη F 7 καὶ πατέρα πάλιν om. E tertium καὶ om. GF 8 προομολογηθέντος E 9 τίνα GFE ὢν om. P 9. 10 θεὸς δύο τὰς ἀνωτάτω δυνάμεις ἔχει E 10—12 ἀρωγοὺς—ἐπανόρθωσις om. E 10 αὐτὸν Turn.: αὐτὸν codd. ἀρρωγοὺς HP σωτηρίου P 11 ἔτι F καὶ ἡ GF: om. HP 12 διὰ GE: δι' αὖ FHP 15 σώμασιν] ὄμμασιν E ὁρατός GFE 16 οὐ] καὶ οὐ F 17 ἥλιον λέγω καὶ E 18 ἀπόνοιαν Cumont: ἐπίνοιαν codd. E 19 εἷς add. Mang. ἔνδειξις E 21 post ἀγγέλους add. γὰρ v 22. 23 ἑκάστων] ἐκείνων conicio, ἑκατέρων coni. Mang. 25 θεσμὸς F, θεσμοὶ L^2 λιποταξίου G: λειποταξίου FHP, λειποταξία L

1—20 οὐδὲν τῶν ὄντων — διαφορᾶς habet E, II p. 601, 1—602, 13 M. 4 Hom. B 204. 205.

τὸ θεῖον στράτευμα. βασιλεῖ δὲ ταῖς ἑαυτοῦ δυνάμεσιν ἐμπρεπὲς ὁμιλεῖν 175
τε καὶ χρῆσθαι πρὸς τὰς τῶν τοιούτων πραγμάτων ὑπηρεσίας, οἷσπερ
ἁρμόττει μὴ ὑπὸ μόνου πήγνυσθαι θεοῦ. χρεῖος μὲν γὰρ οὐδενός ἐστιν
ὁ τοῦ παντὸς πατήρ, ὡς δεῖσθαι τῆς ἀφ' ἑτέρων, εἰ ἐθέλοι δημιουρ-
γῆσαι, ⟨συμπράξεως⟩, τὸ δὲ πρέπον ὁρῶν ἑαυτῷ τε καὶ τοῖς γινομένοις
ταῖς ὑπηκόοις δυνάμεσιν ἔστιν ἃ διαπλάττειν ἐφῆκεν, οὐδὲ ταύταις εἰσά-
παν αὐτοκράτορα δοὺς τοῦ τελεσιουργεῖν ἐπιστήμην, ἵνα μή τι πλημμε-
ληθείη τῶν ἀφικνουμένων εἰς γένεσιν. (35.) ταῦτα μὲν οὖν ἀναγκαῖον 176
ἦν προτυπῶσαι· ὧν δὲ χάριν, ἤδη λεκτέον· ἡ μὲν φύσις τῶν ζῴων εἵς
τε ἄλογον καὶ λογικὴν μοῖραν, ἐναντίας ἀλλήλαις, ἐτμήθη τὸ πρῶτον,
p. 432 M. | ἡ δ' αὖ λογικὴ πάλιν εἵς τε τὸ φθαρτὸν καὶ ἀθάνατον εἶδος, φθαρ-
τὸν μὲν τὸ ἀνθρώπων, ἀθάνατον δὲ τὸ ψυχῶν ἀσωμάτων, αἳ κατά τε
ἀέρα καὶ οὐρανὸν περιπολοῦσι. κακίας δὲ ἀμέτοχοι μέν εἰσιν αὗται, 177
τὸν ἀκήρατον καὶ εὐδαίμονα κλῆρον ἐξ ἀρχῆς λαχοῦσαι καὶ τῷ συμ-
φορῶν ἀνηνύτων οὐκ ἐνδεθεῖσαι χωρίῳ, σώματι, ἀμέτοχοι δὲ καὶ ⟨αἱ⟩
τῶν ἀλόγων, παρόσον ἀμοιροῦσαι διανοίας οὐδὲ τῶν ἐκ λογισμοῦ συμ-
βαινόντων ἑκουσίων ἀδικημάτων ἁλίσκονται. μόνος δὲ σχεδὸν ἐκ πάν- 178
των ὁ ἄνθρωπος ἀγαθῶν καὶ κακῶν ἔχων ἐπιστήμην αἱρεῖται μὲν
πολλάκις τὰ φαυλότατα, φεύγει δὲ τὰ σπουδῆς ἄξια, ὥστ' αὐτὸν μά-
λιστα ἐπὶ τοῖς ἐκ προνοίας ἁμαρτήμασι καταγινώσκεσθαι. προσηκόντως 179
οὖν τὴν τούτου κατασκευὴν ὁ θεὸς περιῆψε καὶ τοῖς ὑπάρχοις αὐτοῦ
λέγων· „ποιήσωμεν ἄνθρωπον", ἵνα αἱ μὲν τοῦ ἀνθρώπου κατορθώσεις
ἐπ' αὐτὸν ἀναφέρωνται μόνον, ἐπ' ἄλλους δὲ αἱ ἁμαρτίαι. θεῷ γὰρ
τῷ πανηγεμόνι ἐμπρεπὲς οὐκ ἔδοξεν εἶναι τὴν ἐπὶ κακίαν ὁδὸν ἐν ψυχῇ
λογικῇ δι' ἑαυτοῦ δημιουργῆσαι· οὗ χάριν τοῖς μετ' αὐτὸν ἐπέτρεψε
τὴν τούτου τοῦ μέρους κατασκευήν. ἔδει γὰρ καὶ τὸ ἀντίπαλον τῷ
ἀκουσίῳ, τὸ ἑκούσιον, εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν κατασκευασθὲν
ἀναδειχθῆναι. (36.) τοῦτο μὲν δὴ ταύτῃ λελέχθω. προσήκει δὲ κἀ- 180
κεῖνο λελογίσθαι, ὅτι μόνων ἀγαθῶν ἐστιν ὁ θεὸς αἴτιος, κακοῦ δὲ
οὐδενὸς τὸ παράπαν, ἐπειδὴ καὶ τὸ πρεσβύτατον τῶν ὄντων καὶ τελειό-

---

1 θεῖον om. F ἐμπρεπὲς GFL^2: εὐπρεπὲς HL^1 (P evanidus) 5 συμπράξεως addidi, ὑπηρεσίας vel ἐπικουρίας add. Mang. 6 ταῖς] τοῖς H 7 δοὺς om. HP ἐπιστήμην] ἐξουσίαν conicio 10 ἐναντίας Turn.: ἐναντίαις GFL^2, ἐναντία HPL^1 11 καὶ ⟨τὸ⟩ conicio 12 ἀθάνατον GF: ἄφθαρτον HP αἳ] ἃς H 14 λαβοῦσαι G 15 ἀνηνύτω GF αἱ add. Mang. 16 ⟨ὑπὸ⟩ τῶν coni. Mang. 19 ὥστ' αὐτὸν Mang.: ὡς ταῦτα FHP, ὡς ταύτῃ G, ὥστ' αὖ τὰ Turn. 22 ἀνθρώπου Mang.: νοῦ codd. 23 αὐτῶν HP ἀναφέρονται H 24 κακία HP 29 μόνον F

τατον ἀγαθὸν αὐτὸς ἦν. ἐμπρεπέστατον δὲ τὰ οἰκεῖα τῇ ἑαυτοῦ φύσει δημιουργεῖν ἄριστα τῷ ἀρίστῳ, τὰς μέντοι κατὰ πονηρῶν κολάσεις διὰ
181 τῶν ὑπ' αὐτὸν βεβαιοῦσθαι. μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ [τὸ εἰρημένον ὑπὸ τοῦ τελειωθέντος ἐξ ἀσκήσεως τόδε· „ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν“ (Gen. 48, 15. 16)· ὁμολογεῖ γὰρ καὶ οὗτος ἤδη, ὅτι τὰ μὲν γνήσια τῶν ἀγαθῶν, ἃ φιλαρέτους τρέφει ψυχάς, ἐπὶ θεὸν ἀναφέρεται μόνον ὡς αἴτιον, ἡ δὲ τῶν κακῶν μοῖρα ἀγγέλοις ἐπιτέτραπται πάλιν, οὐδὲ ἐκείνοις ἔχουσι τὴν τοῦ κολάζειν αὐτοκράτορα ἐξουσίαν, ἵνα μηδενὸς τῶν εἰς φθορὰν
182 τεινόντων ἡ σωτήριος αὐτοῦ κατάρχῃ φύσις. διὸ λέγει· „δεῦτε καὶ καταβάντες συγχέωμεν“. οἱ μὲν γὰρ ἀσεβεῖς τοιαύτης ἐπάξιοι δίκης τυγχάνειν, ἵλεως καὶ εὐεργέτιδας καὶ φιλοδώρους αὐτοῦ δυνάμεις οἰκειοῦσθαι τιμωρίαις. εἰδὼς μέντοι τῷ γένει τῶν ἀνθρώπων ὠφελίμους ὑπαρχούσας δι' ἑτέρων αὐτὰς ὥρισεν· ἔδει γὰρ τὸ μὲν ἐπανορθώσεως ἀξιωθῆναι, τὰς δὲ πηγὰς τῶν ἀνεννάων αὐτοῦ χαρίτων ἀμιγεῖς κακῶν | οὐκ ὄντων μόνον ἀλλὰ καὶ νομιζομένων φυλαχθῆναι. p. 433 M.

183 (37.) Τίς δέ ἐστιν ἡ σύγχυσις, ἐρευνητέον. πῶς οὖν ἐρευνήσομεν; οὕτως, ὡς γ' ἐμοὶ φαίνεται· πολλάκις οὓς πρότερον οὐκ ἤδειμεν, ἀπὸ τῶν συγγενῶν καί τινα πρὸς αὐτοὺς ἐχόντων ἐμφέρειαν ἐγνωρίσαμεν· οὐκοῦν καὶ πράγματα τὸν αὐτὸν τρόπον, ἃ μὴ ῥᾴδιον ἐξ ἑαυτῶν καταλαμβάνεσθαι, δῆλα γένοιτ' ἂν κατὰ τὴν τῶν οἰκείων αὐτοῖς ὁμοιότητα.
184 τίνα οὖν ἐστι συγχύσει πράγματα ὅμοια; ἡ μῖξις, ὥσπερ ὁ παλαιὸς λόγος, καὶ κρᾶσις· ἀλλ' ἡ μὲν μῖξις ἐν ξηραῖς, ἡ δὲ κρᾶσις ἐν ὑγραῖς
185 οὐσίαις δοκιμάζεται. μῖξις μὲν οὖν σωμάτων διαφερόντων ἐστὶν οὐκ ἐν κόσμῳ παράθεσις, ὥσπερ ἂν εἴ τις σωρὸν ποιήσειε κριθὰς καὶ πυροὺς καὶ ὀρόβους καὶ ἄλλ' ἄττα εἴδη τῶν σπαρτῶν εἰς ταὐτὸ εἰσενεγκών,

---

1 ἐμπρεπέστατον Mang.: ἐμπρεπέστατα codd. δὲ ⟨θεῷ⟩ conicio 2 fort. add. δι' αὐτοῦ μόνου 2 τῷ ἀρίστῳ scripsi: τῶν ἀρίστων GF, τὸν ἄριστον HP 3 αὐτῶν L 4 prius ὁ om. P με om. P 5 τῶν om. F 7 μόνον ὡς scripsi: μόνως codd. 9 φορὰν P 10 καὶ om. HP 12 ἵλεως Turn.: ἵλεω codd., ⟨τὰς⟩ ἵλεως conicio, ⟨ὡς⟩ ἵλεως coni. Cohn 15 τῶν om. GF 17 δ' F ἐρευνήσωμεν H 18 ὡς om. G γέ μοι F 20 τρόπον om. P 21 γένοιτ' scripsi: γένοιντ' FP, γίνοιντ' GH 22 πραγμάτων G 24 ἐστιν] δ' N 25 ποιήσει G 26 ἄλλ' ἄττα N (Diels): ἀλλά τα GF, ἄλλα ττα P, ἄλλα τὰ H ταὐτὸ HP: αὐτὸ GFN, ταὐτὸν v

---

23 sqq. cf. Doxographos p. 463, Alexandri De anima librum p. 11,15 sqq. Bruns. 24—265,9 N fol. 188: μῖξις—οἶνος.

κρᾶσις δ' οὐ παράθεσις, ἀλλὰ τῶν ἀνομοίων μερῶν εἰς ἄλληλα εἰσδυομένων δι' ὅλων ἀντιπαρέκτασις, ἔτι δυναμένων ἐπιτεχνήσει τινὶ διακρίνεσθαι τῶν ποιοτήτων, ὡς ἐπὶ οἴνου καὶ ὕδατός φασι γίνεσθαι· συνελ- 186
θούσας μὲν γὰρ τὰς οὐσίας ἀποτελεῖν κρᾶσιν, τὸ δὲ κραθὲν οὐδὲν ἧττον ἀναπλοῦσθαι πάλιν εἰς τὰς ἐξ ὧν ἀπετελέσθη ποιότητας· σπόγγῳ γὰρ ἠλαιωμένῳ τὸ μὲν ὕδωρ ἀναλαμβάνεσθαι, τὸν δ' οἶνον ὑπολείπεσθαι· μήποτε ἐπειδήπερ ἐξ ὕδατος ἡ σπογγιᾶς γένεσίς ἐστι, τὸ μὲν οἰκεῖον, ὕδωρ, πέφυκεν ἀναλαμβάνεσθαι πρὸς αὐτῆς ἐκ τοῦ κράματος, τὸ δ' ἀλλότριον ὑπολείπεσθαι, ὁ οἶνος. σύγχυσις δέ ἐστι φθορὰ τῶν ἐξ ἀρχῆς 187
ποιοτήτων πᾶσι τοῖς μέρεσιν ἀντιπαρεκτεινομένων εἰς διαφερούσης μιᾶς γένεσιν, ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε· κηρὸς γὰρ καὶ στέαρ καὶ πίττα ῥητίνη τε, οἶμαι, συνελθόντα ταύτην ἀποτελεῖ, συντεθείσης δὲ ἀμήχανον ἔτι τὰς ἐξ ὧν συνετέθη διακριθῆναι δυνάμεις, ἀλλ' ἑκάστη μὲν αὐτῶν ἠφάνισται, πασῶν δ' ἡ φθορὰ μίαν ἐξαίρετον ἄλλην ἐγέννησε δύναμιν. ὅταν δ' ἀπειλῇ σύγχυσιν τοῖς ἀσεβέσι λογισ- 188
μοῖς ὁ θεός, οὐ μόνον ἑκάστης κακίας τό τε εἶδος καὶ τὴν δύναμιν ἀφανισθῆναι κελεύει, ἀλλὰ καὶ τὸ συνερανισθὲν ἐξ αὐτῶν, ἵνα μήτε τὰ μέρη καθ' ἑαυτὰ μήθ' ἡ πάντων σύνοδός τε καὶ συμφωνία περιβάληταί τινα ἰσχὺν ἐπὶ καθαιρέσει τῆς ἀμείνονος μοίρας. οὗ χάριν φησί· 189
„συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον“ (Gen. 11, 7), ὅπερ ἴσον ἐστὶ τούτῳ· κωφὸν ἕκαστον ἐργασώμεθα τῶν κακίας μερῶν, ὡς μήτε ἰδίαν ἀφιὲν ⟨φωνὴν⟩ μήτε συνηχοῦν ἑτέρῳ βλάβης αἴτιον γίνηται. (38.) ταῦτα μὲν ἡμεῖς, 190
οἱ δὲ τοῖς ἐμφανέσι καὶ προχείροις μόνον ἐπακολουθοῦντες οἴονται νυνὶ
p. 434 M. γένεσιν | διαλέκτων Ἑλληνικῶν τε καὶ βαρβάρων ὑπογράφεσθαι· οὓς οὐκ
26 ἂν αἰτιασάμενος — ἴσως γὰρ ἀληθεῖ καὶ αὐτοὶ χρῶνται λόγῳ — παρακαλέσαιμ' ἂν μὴ ἐπὶ τούτων στῆναι, μετελθεῖν δὲ ἐπὶ τὰς τροπικὰς ἀποδόσεις, νομίσαντας τὰ μὲν ῥητὰ τῶν χρησμῶν σκιάς τινας ὡσανεὶ σωμάτων εἶναι, τὰς δ' ἐμφαινομένας δυνάμεις τὰ ὑφεστῶτα ἀληθείᾳ
30 πράγματα. δίδωσι μέντοι πρὸς τοῦτ' ἀφορμὰς τὸ εἶδος τοῖς μὴ τυφλοῖς 191

---

2 ἔτι] ἐστι G τινι om. F 5 ἀναπληροῦσθαι HP, ἀποπληροῦσθαι v, ἀναλύεσθαι coni. Mang. ἀποτελεῖσθαι P 6 ἠλεωμένῳ GF ἀπολείπεσθαι Fv 7—9 μήποτε — οἶνος om. HP, fort. recte 7 ἐστι, ⟨ὥστε⟩ conicio 8 post αὐτῆς add. τε N 10 μιᾶς Turn.: μίαν codd. 12 οἶμαι] ἅμα coni. Mang. 12. 13 συντεθείσης Mang.: συνδεθείσης GHP, συνδεηθείσης F 13 ἔτι scripsi: ἐπὶ codd. 14 δ' ἡ G: δὴ F, δὲ HP φθορὰν F 18 περιβάλληται v 21 τοῦ τῶ G 22 ἀφιὲν scripsi: ἀφιέναι codd. φωνὴν addidi 24 νυνὶ om. v 25 Ἑλληνικῶν GF: Ἑλλήνων HP 26 ἀληθεία GF 30 μὴ om. HP

διάνοιαν ὁ νομοθέτης αὐτός, ὥσπερ ἀμέλει καὶ ἐφ' ὧν νῦν ἐστιν ὁ λόγος· τὸ γὰρ γινόμενον σύγχυσιν προσεῖπε. καίτοι γε εἰ διαλέκτων γένεσιν αὐτὸ μόνον ἐδήλου, κἂν ὄνομα εὐθυβολώτερον ἐπεφήμισεν ἀντὶ συγχύσεως διάκρισιν· οὐ γὰρ συγχεῖται τὰ τεμνόμενα, διακρίνεται δ' ἔμπαλιν, καὶ ἔστιν οὐ μόνον ἐναντίον ὄνομα ὀνόματι, ἀλλ' ἔργον ἔργῳ.
192 σύγχυσις μὲν γάρ, ὡς ἔφην, ἐστὶ φθορὰ τῶν ἁπλῶν δυνάμεων εἰς συμπεφορημένης μιᾶς γένεσιν, διάκρισις δὲ ἑνὸς εἰς πλείω τομή, καθάπερ ἐπὶ γένους καὶ τῶν κατ' αὐτὸ εἰδῶν ἔχειν συντέτευχεν. ὥστε εἰ μίαν οὖσαν φωνὴν ἐκέλευσε τέμνειν ὁ σοφὸς εἰς πλειόνων διαλέκτων τμήματα, προσεχεστέροις ἂν καὶ κυριωτέροις ἐχρήσατο τοῖς ὀνόμασι, τομὴν
193 ἢ διανέμησιν ἢ διάκρισιν ἤ τι ὁμοιότροπον εἰπών, οὐ τὸ μαχόμενον αὐτοῖς, σύγχυσιν. ἀλλ' ἔστιν ἡ σπουδὴ διαλῦσαι τὸ κακίας στῖφος, τὰς ὁμολογίας αὐτῆς ἀκυρῶσαι, τὴν κοινωνίαν ἀνελεῖν, τὰς δυνάμεις ἀφανίσαι καὶ διαφθεῖραι, τὸ τῆς ἀρχῆς κράτος, ὃ δειναῖς ὠχυρώσατο παρα-
194 νομίαις, καθελεῖν. οὐχ ὁρᾷς ὅτι καὶ τῶν ψυχῆς ὁ πλάστης μερῶν οὐδὲν οὐδενὶ εἰς τὴν τοῦ ἑτέρου κοινωνίαν ἤγαγεν; ἀλλ' ὀφθαλμοὶ μὲν οὐκ ἂν ἀκούσειαν, ὦτα δὲ οὐκ ἂν θεάσαιτο, χυλὸς δὲ ἐνστόμιος οὐκ ἂν ὄσφροιτο, οὐδ' ἂν γεύσαιντο ῥῖνες, ὅ τ' αὖ λόγος οὐδὲν ἂν τῶν κατὰ τὰς αἰσθήσεις πάθοι, οὐδ' ἔμπαλιν ῥῆξαι φωνὴν δύναιτ' ἂν αἴσθησις.
195 ἔγνω γὰρ ὁ τεχνίτης, ὅτι τὸ μὴ ἀκούειν ἕκαστον τούτων τῆς τοῦ πλησίον φωνῆς λυσιτελές ἐστιν, ἀλλὰ τὰ μὲν τῆς ψυχῆς μέρη ταῖς οἰκείαις δυνάμεσιν ἀσυγχύτοις χρῆσθαι πρὸς τὴν τῶν ζῴων ὠφέλειαν καὶ τὴν πρὸς ἄλληλα κοινωνίαν ἀφῃρῆσθαι, τὰ δὲ τῆς κακίας εἰς ⟨σύγ⟩χυσιν καὶ φθορὰν ἀχθῆναι παντελῆ, ἵνα μήτε συμφωνήσαντα μήτε καθ' ἑαυτὰ
196 ὄντα ζημία τοῖς ἀμείνοσι γένηται. παρὸ καὶ λέγει· „διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν“ (Gen. 11,8), ἐν ἴσῳ τῷ ἐσκέδασεν, ἐφυγάδευσεν, ἀφανεῖς ἐποίησε· τὸ γὰρ σπείρειν ⟨ἀγαθῶν, κακῶν δὲ αἴτιον τὸ διασπείρειν⟩,

---

1 τὴν διάνοιαν HP ὁ prius] ὃν ὁ G, ἐνίοτε ὁ conicio 2 σύγχυσιν om. H προσεῖπεν H 3 εὐθυβολώτατον L ἀντὶ HP: ἄν τις GF 6 ἁπλανῶν H 8 καὶ om. L κατ' αὐτὸ scripsi: καθ' αὐτὸ FH, κ.θ' αὐτὸ GP 10 προσεχεστέροις codd.: προσφυεστέροις Mang. 13 ἀνελεῖν GF: τελεῖν HP 16 οὐδενὶ om. F 17 θεάσαιτο H: θεάσαιντο GFP χεῖλος HP ἐνστόμιος scripsi: ἐνστοματίας GF, ἐν στόματι HP 18 γεύσοιντο GF ῥῖνας H ὅ τ' αὖ FHP: ὅταν G, οὔτ' αὖ v 20 τὸ om. F 20. 21 πλησίου G 22 καὶ Mang.: καὶ εἰ codd., καὶ εἰς Turn. 23 ἀφῃρῆσθαι Mang.: ἀφήρηται codd. τὰ GF: τῇ HP σύγχυσιν Turn.: χύσιν codd. 25 παρ' ὃ P διὸ ἔσπειρεν GF 26 ἐν ἴσῳ] ἴσον Mang. τῷ] τὸ G 27 ἐποίησεν H lacunam supplevi

ὅτι τὸ μὲν ἐπιδόσεως καὶ αὐξήσεως καὶ γενέσεως ἑτέρων ἕνεκα συμβαίνει, τὸ δ' ἀπωλείας καὶ φθορᾶς. βούλεται δὲ ὁ φυτουργὸς θεὸς
p. 435 M. σπείρειν μὲν ἐν τῷ παντὶ | καλοκἀγαθίαν, διασπείρειν δὲ καὶ ἐλαύνειν ἐκ τῆς τοῦ κόσμου πολιτείας τὴν ἐπάρατον ἀσέβειαν, ἵν' ἤδη ποτὲ
5 παύσωνται τὴν κακίας πόλιν καὶ τὸν ἀθεότητος πύργον οἰκοδομοῦντες μισάρετοι τρόποι. τούτων γὰρ σκεδασθέντων οἱ πάλαι πεφευγότες τὴν 197
τυραννίδα τῆς ἀφροσύνης ἐνὶ κηρύγματι κάθοδον εὑρήσουσι, γράψαντός τε καὶ βεβαιώσαντος ⟨θεοῦ⟩ τὸ κήρυγμα, ὡς δηλοῦσιν οἱ χρησμοί, ἐν οἷς διείρηται ὅτι „ἐὰν ᾖ ἡ διασπορά σου ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως
10 ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε“ (Deut. 30, 4)· ὥστε τὴν μὲν 198
ἀρετῶν συμφωνίαν ἐμπρεπὲς ἁρμόζεσθαι θεῷ, τὴν δὲ κακιῶν διαλύειν τε καὶ φθείρειν. οἰκειότατον δὲ κακίας ὄνομα σύγχυσις· οὗ πίστις ἐναργὴς πᾶς ἄφρων, λόγοις καὶ βουλαῖς καὶ πράξεσιν ἀδοκίμοις καὶ πεφορημέναις χρώμενος.

---

1 ὅτι τὸ G: ὅτι F, τὸ HP 2 δ' FHP: δ' αὖ G 5 τὴν scripsi: τῆς codd. 8 θεοῦ add. Mang. 9 διείρηται Turn.: διήρηται HP, δὲ εἴρηται GF ὅτι om. G 9. 10 ἕως — οὐρανοῦ om. G 10 ἀνάξει F 11 κακιῶν Mang.: κακίαν codd. 12 διαφθείρειν G 13 συμπεφορημέναις coni. Mang.

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΑΠΟΙΚΙΑΣ

1 (1.) „Καὶ εἶπε κύριος τῷ Ἀβραάμ· ἄπελθε ἐκ τῆς γῆς σου καὶ I p.436 M.
ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου εἰς τὴν γῆν,
ἣν σοι δείξω· καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε καὶ μεγα-
λυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογητός. καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς
σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι, καὶ ἐνευλογηθήσονται ἐν
2 σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς“ (Gen. 12,1—3). βουληθεὶς ὁ θεὸς τὴν
ἀνθρώπου ψυχὴν καθῆραι πρῶτον αὐτῇ δίδωσιν ἀφορμὴν εἰς σωτηρίαν
παντελῆ τὴν ἐκ τριῶν χωρίων μετανάστασιν, σώματος, αἰσθήσεως, λόγου
τοῦ κατὰ προφοράν· τὴν μὲν γὰρ γῆν σώματος, τὴν δὲ συγγένειαν

φίλωνος περὶ ἀποικίας MA: τοῦ αὐτοῦ περὶ ἀποικίας P, περὶ ἀποικίας H^1H^2 (usque ad p. 271,3 H^2 significat exordium huius libri iterum fol. 375 traditum; v. Prolegomena) 1 ἀβραάμ AH^1H^2P ἄπελθε] πορεύου MA 5 σε] σου H^2 7 καθῆραι M, ex corr. H^1, H^2P: καθᾶραι A 8 τῶν τριῶν H^2 post αἰσθήσεως postea add. καὶ H^1

9 sqq. *Ambrosius De Abraham lib. II 1,2:* ideoque dicitur ei: exi de terra tua, id est de corpore tuo .... et de cognatione, inquit, tua. cognati sunt animae nostrae corporis sensus. dividitur enim in duo anima nostra, in id quod est rationabile et in id quod est irrationabile. in eo autem quod est irrationabile sensus sunt; ergo cognati sunt partis rationabilis, hoc est mentis. et de domo tua, inquit, exi. domus mentis prolativum est verbum. sicut enim pater familias habitat in domo sua et in potestate habet quemadmodum regat domum suam, ita etiam mens in sermonibus nostris habitat et gubernat verba nostra, et vis eius ac disciplina in sermone elucet. ut bonus pater familias a primo vestibulo domus aestimatur, ita etiam de sermonibus nostris mens nostra perpenditur. denique etiam modulis vocis pulsat et revocat. *ibid. lib. I 2,4:* consideremus, ne forte hoc sit „exire de terra sua“ de huius terrae, hoc est de corporis nostri quadam commoratione egredi .... et de illecebris et delectationibus corporalibus, quas velut cognatas animae nostrae dixit....

αἰσθήσεως, τὸν δὲ τοῦ πατρὸς οἶκον λόγου συμβέβηκεν εἶναι σύμβολον. διὰ τί; ὅτι τὸ μὲν σῶμα καὶ ἐκ γῆς ἔλαβε τὴν σύστασιν καὶ ἀναλύεται 3 πάλιν εἰς γῆν — μάρτυς δὲ Μωυσῆς, ὅταν φῇ· „γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ“ (Gen. 3,19)· καὶ γὰρ παγῆναί φησιν αὐτὸ χοῦν εἰς ἀνθρωπείαν μορφὴν τοῦ θεοῦ διαπλάσαντος, ἀνάγκη δὲ τὸ λυόμενον εἰς τὰ δεθέντα λύεσθαι —, αἴσθησις δὲ συγγενὲς καὶ ἀδελφόν ἐστι διανοίας, ἄλογον λογικῆς,
p. 437 M. ἐπειδὴ μιᾶς ἄμφω μέρη ψυχῆς ταῦτα, πατρὸς δὲ οἶκος ὁ | λόγος, ὅτι πατὴρ μὲν ἡμῶν ὁ νοῦς σπείρων εἰς ἕκαστον τῶν μερῶν τὰς ἀφ' ἑαυτοῦ δυνάμεις καὶ διανέμων εἰς αὐτὰ τὰς ἐνεργείας ἐπιμέλειάν τε καὶ ἐπιτροπὴν ἀνημμένος ἁπάντων, οἶκος δέ, ἐν ᾧ διαιτᾶται, τῆς ἄλλης ὑπεξῃρημένος οἰκίας ὁ λόγος· καθάπερ γὰρ ἀνδρὸς ἑστία, καὶ νοῦ λόγος ἐνδιαίτημα. ἑαυτὸν γοῦν καὶ ὅσα ἂν ἐνθυμήματα τέκῃ, ὥσπερ ἐν οἴκῳ τῷ 4 λόγῳ διαθεὶς καὶ διακοσμήσας ἐπιδείκνυται. μὴ θαυμάσῃς δέ, εἰ νοῦ τὸν λόγον ἐν ἀνθρώπῳ κέκληκεν οἶκον· καὶ γὰρ τὸν τῶν ὅλων νοῦν, τὸν θεόν, οἶκον ἔχειν φησὶ τὸν ἑαυτοῦ λόγον. οὗ τὴν φαντασίαν ὁ ἀσκητὴς 5 λαβὼν ἄντικρυς ὁμολογεῖ ὅτι „οὐκ ἔστι τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ“ (Gen. 28, 17), ἴσον τῷ ὁ τοῦ θεοῦ οἶκος οὐκ ἔστι τοῦτο τῶν εἰς δεῖξιν ἐρχομένων ἢ συνόλως πιπτόντων ὑπ' αἴσθησιν, οὐκ ἔστιν, ἀλλ' ἀόρατος, ἀειδής, ψυχῇ μόνον ὡς ψυχῇ καταλαμβανόμενος. τίς ἂν οὖν εἴη πλὴν 6 ὁ λόγος ὁ πρεσβύτερος τῶν γένεσιν εἰληφότων, οὗ καθάπερ οἴακος ἐνειλημμένος ὁ τῶν ὅλων κυβερνήτης πηδαλιουχεῖ τὰ σύμπαντα, καὶ ὅτε ἐκοσμοπλάστει χρησάμενος ὀργάνῳ τούτῳ πρὸς τὴν ἀνυπαίτιον τῶν ἀποτελουμένων σύστασιν; (2.) ὡς μὲν τοίνυν γῆν μὲν τὸ σῶμα, συγγένειαν 7 δὲ τὴν αἴσθησιν, οἶκον δὲ πατρὸς τὸν λόγον αἰνίττεται, δεδηλώκαμεν. τὸ δὲ „ἄπελθε ἐκ τούτων“ οὐκ ἔσθ' ὅμοιον τῷ διαζεύχθητι κατὰ τὴν

---

1 λόγον H^2 σύμβολον εἶναι συμβέβηκεν H^1 2 prius καὶ om. H^2 3 Μωσῆς codd. φῇ] φησι H^1H^2 4 φησι τὸν ex corr. H^1 6 αἴσθησιν H^2 συγγενὴς P ἄλογος conicio, λογικοῦ coni. Cohn 7 ἐπειδὰν μιᾶς MH^2, ἐπιδημίας A 8 ἀφ' MA: om. H^1H^2P 10 εἰκὸς P ἄλλης scripsi: ὅλης codd. 12 ἂν ex corr. H^1: ἐὰν MH^2P, om. A τέκει A 13 διακοσμήσεως H^2 14 ἐν] εἰ H^2 15 φησὶ] φασὶ coni. Mang. 16. 17 ἀλλ'—τοῦτο om. H^2 17 τούτων conicio, τι τούτων coni. Mang. 19 ἀιδής, ψυχῇ H^2 alterum ψυχῇ] ψυχὴ MH^1P οὖν ἂν M 22 ἐκοσμοπλάστη H^2 23 post σῶμα add. καλεῖ v 24 αἰνίττεται H^2: om. ceteri 25 οὐκ ἔσθ' Turn.: οὐκέθ' codd.

---

25 sqq. *ibid. lib. II 1, 3:* ergo qui vult perfectam purgationem consequi, disiungat se ab his tribus, a corpore, a sensibus corporalibus, a voce, in quibus sunt omnes corporis passiones et circumscriptiones sensuum, quibus decipimur et illudimur. *ibid. lib. I 2, 4:* qui iustus est vir, rationabile animae suae ab irrationabili disiungere debet ac segregare.

οὐσίαν, ἐπεὶ θάνατον ἦν διαγορεύοντος ἡ πρόσταξις, ἀλλ' ἴσον τῷ τὴν γνώμην ἀλλοτριώθητι, πρὸς μηδενὸς περισχεθεὶς αὐτῶν ὑπεράνω στῆθι
8 πάντων· ὑπήκοοί σού εἰσι, μηδέποτε ὡς ἡγεμόσι χρῶ· βασιλεὺς ὢν ἄρχειν ἀλλὰ μὴ ἄρχεσθαι πεπαίδευσο, πάντα τὸν αἰῶνα γίνωσκε σεαυτόν, ὡς καὶ Μωυσῆς πολλαχοῦ διδάσκει λέγων „πρόσεχε σεαυτῷ“ (Exod. 34,12)· οὕτως γὰρ ὢν τε ὑπακούειν καὶ οἷς ἐπιτάττειν προσῆκεν
9 αἰσθήσῃ. ἄπελθε οὖν ἐκ τοῦ περὶ σεαυτὸν γεώδους, τὸ παμμίαρον, ὦ οὗτος, ἐκφυγὼν δεσμωτήριον, τὸ σῶμα, καὶ τὰς ὥσπερ εἱρκτοφύλακας ἡδονὰς καὶ ἐπιθυμίας αὐτοῦ παντὶ σθένει καὶ πάσῃ δυνάμει, μηδὲν τῶν εἰς κάκωσιν παρεὶς, ἀλλὰ πάντα ἀθρόα συλλήβδην ἐπανατεινάμενος.
10 ἄπελθε κἀκ τῆς συγγενοῦς αἰσθήσεως· νυνὶ μὲν γὰρ κέχρηκας ἑκάστῃ σεαυτὸν καὶ γέγονας ἀλλότριον τῶν δεδανεισμένων ἀγαθὸν ἀποβεβληκὼς τὸ ἴδιον. οἶδας δέ, κἂν πάντες ἡσυχάζωσιν, ὡς ὀφθαλμοί σε ἄγουσι καὶ ὦτα καὶ ἡ ἄλλη τῆς συγγενείας πληθὺς ἅπασα πρὸς τὰ φίλα ἑαυτοῖς.
11 ἐὰν δὲ ἐθελήσῃς κομίσασθαι | τὰ σαυτοῦ δάνεια καὶ τὴν ἰδίαν κτῆσιν p. 438 M.
περιβαλέσθαι μηδὲν αὐτῆς διαζεύξας ἢ ἀλλοτριώσας μέρος, εὐδαίμονος
μεταποιήσῃ βίου, χρῆσιν καὶ ἀπόλαυσιν οὐκ ὀθνείων ἀλλ' οἰκείων ἀγα-
12 θῶν εἰς ἀεὶ καρπούμενος. ἀλλὰ μετανάστηθι κἀκ τοῦ κατὰ προφορὰν λόγου, ὃν πατρὸς οἶκον ὠνόμασεν, ἵνα μὴ ῥημάτων καὶ ὀνομάτων ἀπατηθεὶς κάλλεσι τοῦ πρὸς ἀλήθειαν κάλλους, ὅπερ ἐστὶν ἐν τοῖς δηλουμένοις πράγμασι, διαζευχθῇς. ἄτοπον γὰρ ἢ σκιὰν σωμάτων ἢ μίμημα ἀρχετύπων φέρεσθαι πλέον· σκιᾷ μὲν δὴ καὶ μιμήματι ἔοικεν ἑρμηνεία, σώμασι δὲ καὶ ἀρχετύποις αἱ τῶν διερμηνευομένων φύσεις πραγμάτων,

---

1 ⟨ἂν⟩ ἦν coni. Cohn 2 ἀλλοτριώθητι] η ex corr. H¹, ἀλλοτριωθέντι H² 3 ἡγεμόνι H² 4 ἀλλὰ om. H² σαυτὸν H² 5 Μωυσῆν coni. Mang. 6 οἷς H²: om. ceteri 7 αἰσθήσει A παμμίαρον ex corr. H¹, mg. P, παμμίοις text. P 8 τὸ om. A εἱρκτοφύλακας MH¹P 9 μηδὲ H² 10 παριεὶς H² 11 ἄπελθε καὶ om. A 12 ἀλλότριος H² ἀγαθῶν AP² 13 κἂν] καὶ A πάντα L ἡσυχάζουσιν A 15 ἐὰν] εἰ H² ἐθελήσῃς MA: θελήσῃς P, ἐθέλεις H², θέλῃς H¹ ἑαυτοῦ H¹ κτίσιν P 16 αὐτῶν L διαζεύξῃς ἢ ἀλλοτριώσῃς H² 17 ἀλλὰ M 19 ὠνόμασεν MA: ὠνόμασαν H², ἐκάλεσεν H¹P 22 μιμήματα H²

---

8 sqq. 19 sqq. *ibid. lib. II 1,3:* neque in sensibus (*sc.* est bonum), qui saepe luduntur, neque in sono vocis, quae falsis plerumque animam demulcet cantibus, est perfectum bonum. 22 sqq. *ibid. II 1,3:* unde in alteram terram vocatur plenam beatitudine, ubi non falsa pro veris sicut in hac vita, sed vivam rerum cernat substantiam, eo quod excussa corporis et sensuum et vocis nebulosa quadam imagine corruptibilem caliginem deponat. . .

ὧν τὸν ἐφιέμενον τοῦ εἶναι μᾶλλον ἢ τοῦ δοκεῖν χρὴ περιέχεσθαι διοι-
κιζόμενον ἀπ' ἐκείνων. (3.) ἐπειδὰν γοῦν ὁ νοῦς ἄρξηται γνωρίζειν 13
ἑαυτὸν καὶ τοῖς νοητοῖς ἐνομιλεῖν θεωρήμασιν, ἅπαν τὸ κλινόμενον τῆς
ψυχῆς πρὸς τὸ αἰσθητὸν εἶδος ἀπώσεται, ὃ κέκληται παρ' Ἑβραίοις Λώτ.
οὗ χάριν ὁ σοφὸς εἰσάγεται λέγων ἄντικρυς· „διαχωρίσθητι ἀπ' ἐμοῦ"
(Gen. 13, 9)· συνοικεῖν γὰρ ἀμήχανον τὸν ἀσωμάτων καὶ ἀφθάρτων
ἔρωτι κατεσχημένον τῷ πρὸς τὰ αἰσθητὰ καὶ θνητὰ ῥέποντι. παγκάλως 14
οὖν ὁ ἱεροφάντης μίαν τῆς νομοθεσίας ὅλην ἱερὰν βίβλον Ἐξαγωγὴν
ἀνέγραψεν οἰκεῖον ὄνομα εὑράμενος τοῖς περιεχομένοις χρησμοῖς· ἅτε
γὰρ παιδευτικὸς ὢν καὶ πρὸς νουθεσίαν καὶ σωφρονισμὸν ἑτοιμότατος
τῶν οἷόν τε νουθετεῖσθαι καὶ σωφρονίζεσθαι πάντα τῆς ψυχῆς τὸν λεὼν
ἀπὸ τῆς Αἰγυπτίας χώρας, τοῦ σώματος, καὶ τῶν οἰκητόρων αὐτῆς
ἐξελεῖν διανοεῖται, χαλεπώτατον καὶ βαρύτατον ἄχθος ἡγούμενος ὁρατι-
κὴν διάνοιαν πρὸς σαρκὸς ἡδονῶν πιεσθῆναι καὶ ἐπιτάγμασιν ὑπηρετεῖν,
ἅττ' ἂν αἱ ἀνηλεεῖς προστάττωσιν ἐπιθυμίαι. τούτους μὲν οὖν στενά- 15
ξαντας καὶ πολλὰ ἐκδακρύσαντας τὴν σωματικὴν εὐθηνίαν καὶ τὰς τῶν
ἐκτὸς ἀφθόνους περιουσίας — λέγεται γὰρ ὅτι „ἐστέναξαν οἱ υἱοὶ Ἰσραὴλ
ἀπὸ τῶν ἔργων" (Exod. 2, 23) — ὑφηγησαμένου τοῦ ἵλεω θεοῦ τὰ
περὶ τὴν ἔξοδον ὁ προφήτης αὐτοῦ ῥύεται. εἰσὶ δ' οἳ μέχρι τῆς τελευ- 16
τῆς τὰς πρὸς σῶμα σπονδὰς ἔθεντο καὶ ὥσπερ λάρνακι ἢ σορῷ ἢ
ὅπως ὀνομάζειν ἑτέρως φίλον τῷδε ἐνετάφησαν. ὧν τὰ μὲν ὅσα φιλο-
σώματα καὶ φιλοπαθῆ μέρη λήθῃ παραδοθέντα κατορύττεται· εἴ δέ πού
τι φιλάρετον παρανέβλαστε, μνήμαις ἀνασῴζεται, δι' ὧν τὰ καλὰ ζωπυ-
ρεῖσθαι πέφυκε. (4.) τὰ γοῦν ὁστᾶ Ἰωσήφ, λέγω δὴ τὰ μόνα ὑπολειφ- 17
θέντα τῆς τοσαύτης ψυχῆς ἀδιάφθορα καὶ ἀξιομνημόνευτα εἴδη, περι-
p. 439 M. ποιεῖται ὁ ἱερὸς λόγος (Gen. 50, 25), ἄτοπον ἡγούμενος καθαρὰ | μὴ
καθαροῖς συνεζεῦχθαι. τὰ δ' ἀξιομνημόνευτα ταῦτα ἦν· τὸ πιστεῦσαι 18

---

3 post ἑαυτὸν des. H^2, sequitur De ebr. § 49 ἀποκλινόμενον coni. Mang.
6 τὸν HP: τῶν MA 7 κατισχημένον τὰ πρὸς A τὰ om. A καὶ θνητὰ om. L ῥέοντι HP^1 11 τῶν P: τὸν MH, τὸ A οἷων scripsi: οἷον codd. τὸν om. H^2 14 πρὸς] πρὸ A πεισθῆναι A 15 ἅτ' HP 16 δακρύσαντας HP εὐσθένειαν coni. Mang. 17 νυκτὸς P γὰρ H^2: om. MAH^1P οἱ om. H^1P 19 αὐτοῦ scripsi: αὐτοὺς codd. 24 γοῦν] μὲν οὖν P 25 τοιαύτης H^2 ἤδη A 25 καθαρὰ] καὶ καθαρὰ A 27 ἦν] ἂν A

---

6. 7 *ibid.*: haec enim corruptibilia; quod autem vere bonum, hoc incorruptibile.

ὅτι „ἐπισκέψεται ὁ θεὸς“ τὸ ὁρατικὸν γένος (Gen. 50, 24) καὶ οὐ παραδώσει μέχρι παντὸς αὐτὸ ἀμαθίᾳ, τυφλῇ δεσποίνῃ, τὸ διακρῖναι τά τε θνητὰ τῆς ψυχῆς καὶ τὰ ἄφθαρτα καὶ τὰ μὲν ὅσα περὶ τὰς σώματος ἡδονὰς καὶ τὰς ἄλλας παθῶν ἀμετρίας θνητὰ ὄντα Αἰγύπτῳ καταλιπεῖν, περὶ δὲ τῶν ἀφθάρτων σπονδὴν ποιήσασθαι, ὅπως μετὰ τῶν ἀναβαινόντων εἰς τὰς ἀρετῆς πόλεις διακομισθῇ, καὶ ὅρκῳ τὴν σπονδὴν ἐμπεδώ-
19 σασθαι. τίνα οὖν τὰ ἄφθαρτα; ἡ πρὸς ἡδονὴν ἀλλοτρίωσις τὴν λέγουσαν· συνευνασθῶμεν (Gen. 39, 7) καὶ τῶν ἀνθρωπείων ἀπολαύσωμεν ἀγαθῶν, ἡ μετὰ καρτερίας ἀγχίνοια, δι' ἧς τὰ τῶν κενῶν δοξῶν νομιζόμενα ἀγαθὰ ὡς ἂν ἐνύπνια ὄντα * * * διακρίνει καὶ διαστέλλει, ὁμολογῶν τὰς μὲν ἀληθεῖς καὶ σαφεῖς τῶν πραγμάτων συγκρίσεις εἶναι κατὰ θεόν (Gen. 40, 8), τὰς δὲ ἀδήλους καὶ ἀσαφεῖς φαντασίας κατὰ τὸν πλάνητα καὶ τύφου μεστὸν μήπω κεκαθαρμένων ἀνθρώπων βίον ταῖς διὰ σιτο-
20 πόνων καὶ μαγείρων καὶ οἰνοχόων τέρψεσι χαίροντα, τὸ μὴ ὑπήκοον, ἀλλ' ἄρχοντα Αἰγύπτου πάσης, τῆς σωματικῆς χώρας, ἀναγραφῆναι (Gen. 41, 41), τὸ αὐχεῖν ἐπὶ τῷ γένος εἶναι Ἑβραίων (Gen. 40, 15), οἷς ἔθος ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ μετανίστασθαι — περάτης γὰρ ὁ Ἑβραῖος ἑρμηνεύεται —, τὸ σεμνύνεσθαι ὅτι „ὧδε οὐκ ἐποίησεν οὐδέν“ (ibid.) — τὸ γὰρ μηδὲν τῶν ἐνταῦθα σπουδαζομένων παρὰ τοῖς φαύλοις ἐργάσασθαι, διαμισῆσαι δὲ καὶ ἀποστραφῆναι πάντα οὐ μετρίως
21 ἐπαινετόν —, τὸ ἐμπαίζειν ἐπιθυμιῶν καὶ πάντων παθῶν ἀμετρίαις, τὸ φοβεῖσθαι τὸν θεόν (Gen. 42, 18), εἰ καὶ μηδέπω γέγονεν ἀγαπᾶν ἱκανός, τὸ ζωῆς ἐν Αἰγύπτῳ μεταποιεῖσθαι τῆς ἀληθοῦς — (5.) δ δὴ

---

2 τὸ] τῶ A 5 σπονδὴν A: σπουδὴν MHP 6 σπονδὴν Mang.: σπουδὴν codd., etiam M ut vid. 9 κενοδόξων A 10 ὡσὰν AP ἐνύπνιον PL ὄντα ⟨τῶν ἀληθῶς ὄντων⟩ conicio διακρίνη καὶ διαστείλη A 11 μὲν om. H¹P¹ 12 ἀσαφεῖς] ψευδεῖς coni. Mang. κατὰ] καὶ κατὰ Λ 13 μήπου A κεκαθαρμένον conicio 14 τὸ μὴ ὑπήκοον om. A 15 ἀλλὰ M 16 τῷ] τὸ A γένει H Ἑβραῖον vel γένους conicio 18 ὅτι om. H¹P 19 σπουδαζομένων scripsi: σπουδαζόντων codd., σπουδασθέντων Mang. 21 ἐπιθυμῶν A

---

19 *Origenes, Selecta in Genesim p. 44:* τὸ μηδὲν ἐπιχωρίων Αἰγυπτίων ποιεῖν αἰνίσσεται διὰ τοῦ „ὧδε οὐκ ἐποίησα οὐδέν“. 23—273,2 *Origenes, Selecta in Genesim (ad Gen. 46,30) p. 50:* θαυμαστόν ἐστι τὸν γενόμενον ἐν Αἰγύπτῳ μὴ βλαβῆναι ἀπὸ τῶν Αἰγυπτίων καὶ μεῖναι ἐν τῇ κατὰ θεὸν ζωῇ. διόπερ θαυμάζων ὁ Ἰακὼβ εἶπε τῷ Ἰωσὴφ τὸ „ἔτι γὰρ σὺ ζῇς“. cf. Homil. in Genes. XV 3 p. 100.

θαυμάσας ὁ ὁρῶν, καὶ γὰρ ἄξιον ἦν καταπλαγῆναι, φησί· „μέγα μοί ἐστιν, εἰ ἔτι ὁ υἱός μου Ἰωσὴφ ζῇ“ (Gen. 45, 28), ἀλλὰ μὴ κεναῖς δόξαις καὶ τῷ νεκροφορουμένῳ σώματι συντέθνηκε —, τὸ ὁμολογεῖν ὅτι 22
„τοῦ θεοῦ ἐστι“ (Gen. 50, 19), τῶν δ' εἰς γένεσιν ἐλθόντων οὐδενός,
5 τὸ γνωριζόμενον τοῖς ἀδελφοῖς πάντας τοὺς φιλοσωμάτους κινῆσαι καὶ σαλεῦσαι τρόπους ἑστάναι παγίως ἐπὶ τῶν ἰδίων οἰομένους δογμάτων καὶ ἀνὰ κράτος ἀπώσασθαι (Gen. 45. 1. 2), τὸ φάναι μὴ πρὸς ἀνθρώπων ἀπεστάλθαι, ὑπὸ δὲ τοῦ θεοῦ κεχειροτονῆσθαι (Gen. 45, 7. 8) πρὸς τὴν τοῦ σώματος καὶ τῶν ἐκτὸς ἔννομον ἐπιστασίαν, πολλὰ δὲ καὶ ἄλλα 23
10 τούτοις ὁμοιότροπα τῆς ἀμείνονος καὶ ἱερωτέρας ὄντα τάξεως, Αἴγυπτον τὸν σωματικὸν οἶκον οἰκεῖν οὐκ ἀνέχεσθαι οὐδ' ἐνθάπτεσθαι σορῷ τὸ
p. 440 M. παράπαν, ἔξω δὲ παντὸς τοῦ θνητοῦ | κεχωρηκότα παρέπεσθαι θεσμοθέτῃ λόγῳ Μωυσῇ ποδηγετοῦντι· τροφεὺς γὰρ καὶ τιθηνὸς οὗτος ἀστείων 24
ἔργων, λόγων, βουλευμάτων, ἅ, κἂν τοῖς ἐναντίοις ἀνακραθῇ ποτε διὰ
15 τὴν ὑποσύγχυτον τοῦ θνητοῦ πολυμιγίαν, οὐδὲν ἧττον διακρίνει παρελθών, ἵνα μὴ μέχρι παντὸς τὰ καλοκἀγαθίας σπέρματα καὶ φυτὰ ἀφανισθέντα οἴχηται. καὶ προτρέπεται μάλα ἐρρωμένως ἀπολιπεῖν τὴν 25
παντὸς ἀτόπου χρηματίζουσαν μητέρα, μὴ μέλλοντας καὶ βραδύνοντας, ἀλλ' ὑπερβάλλοντι τάχει χρωμένους· φησὶ γὰρ μετὰ σπουδῆς δεῖν θύειν
20 τὸ Πάσχα (Exod. 12, 11), τὸ δέ ἐστιν ἑρμηνευθὲν διάβασις, ἵν' ἀνενδοιάστῳ γνώμῃ καὶ προθυμίᾳ συντόνῳ χρώμενος ὁ νοῦς τήν τε ἀπὸ τῶν παθῶν ἀμεταστρεπτὶ ποιῆται διάβασιν καὶ τὴν πρὸς τὸν σωτῆρα θεὸν εὐχαριστίαν, ὃς εἰς ἐλευθερίαν οὐ προσδοκήσαντα αὐτὸν ἐξείλετο.
(6.) καὶ τί θαυμάζομεν, εἰ τὸν ὑπηγμένον κράτει πάθους ἀλόγου προ- 26
25 τρέπει μὴ ἐνδιδόναι μηδὲ τῇ ῥύμῃ τῆς ἐκείνου φορᾶς κατασυρῆναι, βιάσασθαι δὲ ἀντισχόντα κἂν, εἰ μὴ δύναιτο, ἀποδρᾶναι; δευτέρα γὰρ ἔφοδος εἰς σωτηρίαν τοῖς ἀμύνεσθαι μὴ δυναμένοις δρασμός ἐστιν· ὁπότε

---

1 θαυμαστώσας A ἦν om. H μέγα] μέρος H 4 ἐλθόντος L
5 ἀδελφοῖς MA: ἀνθρώποις HP 6 οἰομένους H 9 τῶν om. A 10 τὸ ante Αἴγυπτον fort. add. 11. 12 ἀνέχεσθαι, ἐνθάπεσθαι, παρέπεσθαι Mang.: ἀνέχεται, ἐνθάπτεται, παρέπεται codd. 11 οὐδὲν θάπτεται A 12 κεχωρηκὼς coni. Mang. vel ὁστᾶ add. 13 οὗτος καὶ τιθηνὸς HP 15 διακρίνει Cohn: διακρίνεται codd. 15. 16 παρελθόντα H, fortasse servato διακρίνεται legendum παρ' ἐλπίδα (cf. lin. 23), παραλυθέντα coni. Mang. 16. 17 ἀφαυανθέντα coni. Mang. 17 προτρέπει HP 18 μητέρα ⟨Αἴγυπτον⟩ probabiliter coni. Mang. 19—21 ὑπερβάλλοντας τάχει χρώμενος (corr. ex χρωμένους) ὁ νοῦς τήν τε L (om. χρωμένους — συντόνῳ) 19 δεῖν om. H 20 δ' ἔστιν A ἵνα M, ἣν L 21 ἀνενδότῳ Mang. 22 ποιεῖται L καὶ] εἰς coni. Mang. 23 εὐχαριστείαν H ἐξείλατο A 26 εἰ μὴ κρατεῖν δύναιτο vel εἰ μὴ ἀμύναιτο conicio

καὶ τὸν ἀγωνιστὴν φύσει καὶ μηδέποτε παθῶν δοῦλον γεγενημένον, ἀεὶ δὲ ἀθλοῦντα τοὺς πρὸς ἕκαστον αὐτῶν ἄθλους, οὐκ ἐᾷ μέχρι παντὸς τοῖς παλαίσμασι χρήσασθαι, μή ποτε τῷ συνεχεῖ τῆς εἰς ταὐτὸ συνόδου χαλεπὴν ἀπ' ἐκείνων κῆρα ἀναμάξηται· πολλοὶ γὰρ ἤδη καὶ ἀντιπάλου
27 κακίας ἐγένοντο μιμηταί, ὡς ἀρετῆς ἔμπαλιν ἕτεροι. διὸ λόγιον ἐχρήσθη τοιόνδε· „ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ“ (Gen. 31, 3), ἴσον τῷ γέγονας μὲν ἀθλητὴς τέλειος καὶ βραβείων καὶ στεφάνων ἠξιώθης ἀγωνοθετούσης ἀρετῆς καὶ προτεινούσης ἆθλά σοι τὰ νικητήρια· κατάλυσον δὲ ἤδη τὸ φιλόνεικον, ἵνα μὴ πάντοτε πονῇς, ἀλλὰ καὶ τῶν πονηθέντων ἀπόνασθαι δυνηθῇς.
28 τοῦτο δὲ ἐνταυθοῖ καταμένων οὐδέποτε εὑρήσεις τοῖς αἰσθητοῖς ἔτι συνοικῶν καὶ ταῖς σωματικαῖς ἐνδιατρίβων ποιότησιν, ὧν Λάβαν ἐστὶν ἔξαρχος — ὄνομα δὲ ποιότητος τοῦτ' ἐστίν —, ἀλλὰ μετανάστην χρὴ γενέσθαι εἰς τὴν πατρῴαν γῆν τὴν ἱεροῦ λόγου καὶ τρόπον τινὰ τῶν ἀσκητῶν πατρός· ἡ δ' ἐστὶ σοφία, τῶν φιλαρέτων ψυχῶν ἄριστον
29 ἐνδιαίτημα. ἐν ταύτῃ τῇ χώρᾳ καὶ γένος ἐστί σοι τὸ αὐτομαθές, τὸ αὐτοδίδακτον, τὸ νηπίας καὶ γαλακτώδους τροφῆς ἀμέτοχον, τὸ χρησμῷ θείῳ καταβαίνειν εἰς Αἴγυπτον κεχωλυμένον (Gen. 26, 2) καὶ τῆς σαρκὸς
30 ἐντυγχάνειν δελεαζούσαις ἡδοναῖς, ἐπίκλησιν Ἰσαάκ. οὗ τὸν κλῆρον παραλαβὼν ἐξ ἀνάγκης ἀποθήσῃ τὸν πόνον· αἱ γὰρ ἀφθονίαι τῶν ἑτοίμων καὶ κατὰ χειρὸς ἀγαθῶν | ἀπονίας αἴτιαι. πηγὴ δέ, ἀφ' ἧς ὀμβρεῖ p. 441 M.
τὰ ἀγαθά, ἡ τοῦ φιλοδώρου θεοῦ σύνοδός ἐστιν· οὗ χάριν ἐπισφραγιζόμενος τὰ τῶν εὐεργεσιῶν φησιν· „ἔσομαι μετὰ σοῦ“.

31 (7.) Τί οὖν ἂν ἐπιλίποι καλὸν τοῦ τελεσφόρου [παντὸς] παρόντος θεοῦ μετὰ χαρίτων τῶν παρθένων αὐτοῦ θυγατέρων, ἃς ἀδιαφθόρους καὶ ἀμιάντους ὁ γεννήσας πατὴρ κουροτροφεῖ; τότε μελέται μὲν καὶ πόνοι καὶ ἀσκήσεις ἡσυχάζουσιν, ἀναδίδοται δὲ ἄνευ τέχνης φύσεως
32 προμηθείᾳ πάντα ἀθρόα πᾶσιν ὠφέλιμα. καλεῖται δ' ἡ φορὰ τῶν αὐτοματιζομένων ἀγαθῶν ἄφεσις, ἐπειδήπερ ὁ νοῦς ἀφεῖται τῶν κατὰ τὰς ἰδίας ἐπιβολὰς ἐνεργειῶν καὶ ὥσπερ τῶν ἑκουσίων ἠλευθέρωται διὰ
33 τὴν πληθὺν τῶν ὑομένων καὶ ἀδιαστάτως ἐπομβρούντων. ἔστι δὲ ταῦτα

---

1 ἀνταγωνιστὴν H 3 τῶ] τῇ HP συνεχείᾳ Turn. 4 κῆραν codd. ἐναπομάξηται H 7 μὲν MAP: μοι H 10 πάντοτε H²: ἅπαντα MAH¹P ἀπώνασθαι MP 14 τὴν] τοῦ H 15. 16 ἐνδιαίτημα ἄριστον HP 18 κεκωλυμένω P 20 ἀποθήσει A 21 χεῖρας H² ἀπονοίας L 24 ἂν οὖν HP παντὸς seclusi, πάντως H², πάντων coni. Mang. 26 τότε μὲν μελέται HP 29 ἀφίεται Mang. 30 καὶ ὡς φόρτων (immo φόρων) τῶν ἐτησίων ἠλευθέρωται coni. Mang. 31 ἀδιστάκτως H ταῦτα om. A

θαυμασιώτατα φύσει καὶ περικαλλέστατα. ὧν μὲν γὰρ ἂν ὠδίνῃ δι' ἑαυτῆς ἡ ψυχή, τὰ πολλὰ ἀμβλωθρίδια, ἡλιτόμηνα· ὅσα δὲ ἂν ἐπινίφων ὁ θεὸς ἄρδῃ, τέλεια καὶ ὁλόκληρα καὶ πάντων ἄριστα γεννᾶται. τὸ 34
ἐμαυτοῦ πάθος, δ μυριάκις παθὼν οἶδα, διηγούμενος οὐκ αἰσχύνομαι· βουληθεὶς ἔστιν ὅτε κατὰ τὴν συνήθη τῶν κατὰ φιλοσοφίαν δογμάτων γραφὴν ἐλθεῖν καὶ ἃ χρὴ συνθεῖναι ἀκριβῶς εἰδώς, ἄγονον καὶ στεῖραν εὑρὼν τὴν διάνοιαν ἄπρακτος ἀπηλλάγην, τὴν μὲν κακίσας τῆς οἰήσεως, τὸ δὲ τοῦ ὄντος κράτος καταπλαγείς, παρ' ὃν τὰς τῆς ψυχῆς ἀνοίγνυσθαί τε καὶ συγκλείεσθαι μήτρας συμβέβηκεν. ἔστι δὲ ὅτε κενὸς ἐλθὼν 35
πλήρης ἐξαίφνης ἐγενόμην ἐπινιφομένων καὶ σπειρομένων ἄνωθεν ἀφανῶς τῶν ἐνθυμημάτων, ὡς ὑπὸ κατοχῆς ἐνθέου κορυβαντιᾶν καὶ πάντα ἀγνοεῖν, τὸν τόπον, τοὺς παρόντας, ἐμαυτόν, τὰ λεγόμενα, τὰ γραφόμενα. σχεδὸν γὰρ ἑρμηνεύει εὕρεσιν, φωτὸς ἅπόλαυσιν, ὀξυδερκεστάτην ὄψιν, ἐνάργειαν τῶν πραγμάτων ἀριδηλοτάτην, οἷα γένοιτ' ἂν δι' ὀφθαλμῶν ἐκ σαφεστάτης δείξεως. (8.) τὸ μὲν οὖν δεικνύμενον τὸ ἀξιόρατον καὶ 36
ἀξιοθέατον καὶ ἀξιέραστόν ἐστι, τὸ τέλειον ἀγαθόν, δ καὶ τὰς τῆς ψυχῆς πικρίας πέφυκε μεταβάλλον γλυκαίνειν, ἡδυσμάτων συμπάντων παράρτυμα κάλλιστον, δι' οὗ καὶ τὰ μὴ τρέφοντα τροφὴ γίνεται σωτήριος· λέγεται γὰρ ὅτι „ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ“ (Exod. 15,25), τὸν κεχυμένον καὶ πλαδῶντα καὶ πικρίας γέμοντα νοῦν, ἵνα γλυκανθεὶς ἡμερωθῇ. τὸ δὲ ξύλον τοῦτο οὐ μόνον τροφήν, ἀλλὰ 37
καὶ ἀθανασίαν ἐπαγγέλλεται· τὸ γὰρ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ φησὶ πεφυτεῦσθαι (Gen. 2, 9), τὴν ἀγαθότητα δορυφορουμένην
p. 442 M. ὑπὸ τῶν κατὰ μέρος ἀρετῶν καὶ τῶν κατ' αὐτὰς πράξεων· αὕτη | γὰρ τὸν μεσαίτατον καὶ ἄριστον ἐν ψυχῇ κεκλήρωται τόπον. ὁ δὲ ὁρῶν 38
ἐστιν ὁ σοφός· τυφλοὶ γὰρ ἢ ἀμυδροὶ τὰς ὄψεις οἵ γε ἄφρονες. διὰ τοῦτο καὶ τοὺς προφήτας ἐκάλουν πρότερον τοὺς βλέποντας (I Reg. 9,9)· καὶ ὁ ἀσκητὴς ἐσπούδασεν ὦτα ὀφθαλμῶν ἀντιδοὺς ἰδεῖν ἃ πρότερον

---

1 ὠδίνει H^2 2 ἀμβλωθρίδια ⟨καὶ⟩ coni. Mang. ἡλιτόμηνα H^2: λιπόμηνα M, λειπόμηνα PH^1, λειπόμενα A δ' H ἐὰν $MA(H^1?)$ 3 ἄρδει H^1 5 ὅτι P κατὰ] ἐπὶ conicio 6 εἰδώς scripsi: ἰδών codd. 7 κακίσαι τῆς οἰκήσεως A 8 ὃν codd.: οὗ Mang. ἀνοίγεσθαι A 9 δ' M 10 ἐπινηφομένων A σπειρομένων] ἐπομβρουμένων coni. Mang. ἐμφανῶς A 11 πάντως H^2 13 σχεδὸν — εὕρεσιν corrupta, ἔσχον γὰρ ἑρμηνείας ῥεῦσιν Markland ὀξυδορκεστάτην A 14 ἐνάργειαν M: ἐνέργειαν AHP οἷα MAP 15 σαφηνεστάτης A 16 δ H: om. MAP 17 μεταβάλλων A 20 τὸν] τὸ A πλαδῶντα] spatium in A 23 φασι A 24 ἀρετῶν Mang.: ἀγαθῶν codd., ante ἀγαθῶν ras. in H 26 ἢ] οἱ P 27 alterum τοὺς] ras. 3 litt. H, om. L

ἥκουε, καὶ τυγχάνει τοῦ καθ' ὅρασιν κλήρου τὸν ἐξ ἀκοῆς ὑπερβάς.
39 εἰς γὰρ τὸν ὁρῶντα Ἰσραὴλ μεταχαράττεται τὸ μαθήσεως καὶ διδασκαλίας νόμισμα, οὗπερ ἐπώνυμος ἦν Ἰακώβ, δι' οὗ καὶ τὸ ὁρᾶν γίνεται φῶς τὸ θεῖον, ἀδιαφοροῦν ἐπιστήμης, ἢ τὸ τῆς ψυχῆς διοίγνυσιν ὄμμα καὶ πρὸς τὰς ὥτων τηλαυγεστέρας καὶ ἀριδηλοτέρας ἄγει καταλήψεις. ὥσπερ γὰρ διὰ μουσικῆς τὰ κατὰ μουσικὴν καὶ διὰ πάσης τέχνης τὰ ἐν ἑκάστῃ καταλαμβάνεται, οὕτω καὶ διὰ σοφίας τὸ σοφὸν θεωρεῖται.
40 σοφία δὲ οὐ μόνον φωτὸς τρόπον ὄργανον τοῦ ὁρᾶν ἐστιν, ἀλλὰ καὶ αὐτὴν ὁρᾷ. αὕτη θεοῦ τὸ ἀρχέτυπον [ἡλίου] φέγγος, οὗ μίμημα καὶ εἰκὼν ἥλιος. ὁ δὲ δεικνὺς ἕκαστα ὁ μόνος ἐπιστήμων θεός· ἄνθρωποι μὲν γὰρ τῷ δοκεῖν ἐπίστασθαι λέγονται μόνον ἐπιστήμονες· ὁ δὲ θεὸς τῷ εἶναι ἧττον ἢ πέφυκε λέγεται· νικῶνται γὰρ ὑπὸ τῶν τοῦ ὄντος
41 δυνάμεων οἱ περὶ αὐτὸν ἅπαντες ἅπαξ λόγοι. τὴν δὲ σοφίαν αὐτοῦ διασυνίστησιν οὐ μόνον ἐκ τοῦ τὸν κόσμον δεδημιουργηκέναι, ἀλλὰ καὶ ἐκ τοῦ τὴν ἐπιστήμην τῶν γεγονότων ἱδρυκέναι βεβαιότατα παρ' ἑαυτῷ·
42 λέγεται γὰρ ὅτι „εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησεν“ (Gen. 1,31), οὐκ ἴσον τῷ ὄψιν ἑκάστοις προσέβαλεν, ἀλλ' εἴδησιν καὶ γνῶσιν καὶ κατάληψιν ὧν ἐποίησεν εἶχεν. ⟨οὐ⟩ τοίνυν εὐπρεπὲς ὑφηγεῖσθαι καὶ διδάσκειν καὶ δεικνύναι τὰ καθ' ἕκαστα τοῖς ἀγνοοῦσιν ὅτι μὴ τῷ ἐπιστήμονι, ὅστις οὐχ ὡς ἄνθρωπος ὑπὸ τέχνης ὠφέληται, ἀλλ' αὐτὸς ἀρχὴ καὶ
43 πηγὴ τεχνῶν καὶ ἐπιστημῶν ἀνωμολόγηται. (9.) παρατετηρημένως δὲ οὐ τὸν ἐνεστῶτα, ἀλλὰ τὸν μέλλοντα τῇ ὑποσχέσει χρόνον προδιώρισται, εἰπὼν οὐχ ἣν δείκνυμι ἀλλ' „ἣν σοι δείξω“ (Gen. 12,1), εἰς μαρτυρίαν πίστεως ἣν ἐπίστευσεν ἡ ψυχὴ θεῷ, οὐκ ἐκ τῶν ἀποτελεσμάτων ἐπι-
44 δεικνυμένη τὸ εὐχάριστον, ἀλλ' ἐκ προσδοκίας τῶν μελλόντων· ἀρτηθεῖσα γὰρ καὶ ἐκκρεμασθεῖσα ἐλπίδος χρηστῆς καὶ ἀνενδοίαστα νομίσασα ἤδη παρεῖναι τὰ μὴ παρόντα διὰ τὴν τοῦ ὑποσχομένου βεβαιότητα πίστιν, ἀγαθὸν | τέλειον, ἄθλον εὕρηται· καὶ γὰρ αὖθις λέγεται, ὅτι „ἐπίστευσεν p. 443 M.

---

1 ἥκουσε v 2 τὸν Turn.: τὸ codd. 3 ἐπώνυμον A 4 διήγνυσιν A
5 ὥτων] νοητῶν vel ὄντων Mang. τηλαυγεστέρας καὶ ἀριδηλοτέρας scripsi: τηλαυγεστάτας καὶ ἀριδηλοτάτας codd. 9 αὐτὴν H²: αὐτὴν ceteri ἡλίου secl. Mang.
11 τῷ] τὸ P 12 εἶναι ⟨ἐπιστήμων⟩ conicio 13 ἅπαξ ἅπαντες coni. Mang.
14 ἐκ τούτων A 15 ἑαυ HP, ἑαυτοῦ v 18 interpunxi post εἶχεν (εἶχε codd.) et οὐ addidi 19 ὅτι] ἀλλὰ Mang. 20 ὠφελεῖται PL 21 παρατετηρημένος A
22 ἐνεστῶτα H²: ἑστῶτα MAPH¹ προσδιώρισται coni. Mang.
25. 26 ἀπαρτηθεῖσα coni. Mang. 26 γὰρ om. HP¹ 27 βεβαιότητα scripsi: βεβαιοτάτην codd. post πίστιν add. καὶ L 28 post τέλειον Mang. add. πίστιν ἄθλων A

'Αβραὰμ τῷ θεῷ" (Gen. 15, 6), καὶ Μωυσεῖ δὲ ὁμοίως πᾶσαν ἐπι-
δειξάμενος τὴν γῆν φησιν, ὅτι „ἔδειξα τοῖς ὀφθαλμοῖς σου, κἀκεῖ οὐκ
εἰσελεύσῃ" (Deut. 34, 4). μὴ μέντοι νομίσῃς ἐπὶ καθαιρέσει τοῦ παν- 45
σόφου, ὡς ὑπολαμβάνουσιν ἔνιοι τῶν ἀπερισκέπτων, τοῦτο εἰρῆσθαι·
καὶ γὰρ εὔηθες τοὺς δούλους οἰηθῆναι πρὸ τῶν φίλων τοῦ θεοῦ τὴν
ἀρετῆς χώραν διανέμεσθαι. ἀλλὰ πρῶτον ἐκεῖνό σοι βούλεται παρα- 46
στῆσαι, ὅτι ἕτερος νηπίων καὶ ἕτερος τελείων χῶρός ἐστιν, ὁ μὲν ὀνο-
μαζόμενος ἄσκησις, ὁ δὲ καλούμενος σοφία, ἔπειτα ὅτι τὰ κάλλιστα τῶν
ἐν τῇ φύσει ὁρατὰ μᾶλλόν ἐστιν ἢ κτητά· κτήσασθαι μὲν γὰρ τὰ θειο-
τέρας μοίρας λαχόντα πῶς ἔνεστιν; ἰδεῖν δ' οὐκ ἀδύνατον, ἀλλ' οὐχ
ἅπασιν, ἔστι δ' αὐτὸ μόνον τῷ καθαρωτάτῳ καὶ ὀξυωπεστάτῳ γένει,
ᾧ τὰ ἴδια ἐπιδεικνύμενος ὁ τῶν ὅλων πατὴρ ἔργα μεγίστην πασῶν χαρί-
ζεται δωρεάν. θεωρητικοῦ γὰρ τίς ἀμείνων βίος ἢ μᾶλλον οἰκειούμενος 47
λογικῷ; διὰ τοῦτο καὶ τῆς τῶν θνητῶν ζῴων φωνῆς κριτήριον ἐχούσης
ἀκοὴν τοὺς τοῦ θεοῦ λόγους οἱ χρησμοὶ φωτὸς τρόπον ὁρωμένους μη-
νύουσι· λέγεται γὰρ ὅτι „πᾶς ὁ λαὸς ἑώρα τὴν φωνήν" (Exod. 20, 18),
οὐκ ἤκουεν, ἐπειδήπερ οὐκ ἀέρος πλῆξις ἦν διὰ τῶν στόματος καὶ
γλώττης ὀργάνων τὸ γινόμενον, ἀλλὰ φέγγος ἀρετῆς τὸ περιαυγέστατον,
λογικῆς ἀδιαφοροῦν πηγῆς, ὃ καὶ ἑτέρωθι μηνύεται τὸν τρόπον τοῦτον·
„ὑμεῖς ἑωράκατε, ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς" (Exod.
20, 22), οὐχὶ ἠκούσατε, διὰ τὴν αὐτὴν αἰτίαν. ἔστι δ' ὅπου τὰ ἀκουστὰ 48
τῶν ὁρατῶν καὶ ἀκοὴν ὁράσεως διακρίνει λέγων· „φωνὴν ῥημάτων
ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε ἀλλ' ἢ φωνήν" (Deut. 4, 12),
ἄγαν περιττῶς· τὴν μὲν γὰρ εἰς ὄνομα καὶ ῥῆμα καὶ συνόλως τὰ τοῦ
λόγου μέρη τεμνομένην ἀκουστὴν εἰκότως εἶπεν — ὑπὸ γὰρ ἀκοῆς δοκι-

---

1 Ἀβραὰμ AH Μωσεῖ AHP, Μωσῆ M 7 alterum ἕτερος HP: om. MA 8 ἀσκη-
τὴς A 9 κτιστά. κτίσασθαι A τὰ scripsi: τὰς codd., τῆς v 11 ἔστι δ' scripsi:
ἐπὶ δ' codd., εἰ δ' v αὐτὸ μόνον Cohn: αὐτῶ μόνω codd., ἂν μόνῳ v καθαρω-
τάτῳ] ὁρατικωτάτῳ coni. Mang. καὶ ὀξυωπεστάτῳ om. A 13 ἀμείνω A
14 λογικῶς M, λογικός A 15 τοῦ om. A 19 ἀδιαφόρου A

---

15 sqq. *Clemens, Strom. VI § 34 p. 756 P:* θεῷ δὲ τῷ παντοκράτορι καὶ μηδενὸς ὄντος
ὑποκειμένου φωνὴν καὶ φαντασίαν ἐγγεννῆσαι ἀκοῇ δυνατόν ..... „φωνὴν ῥημάτων ὑμεῖς
ἠκούετε καὶ ὁμοίωμα οὐκ εἴδετε". ὁρᾷς, ὅπως ἡ κυριακὴ φωνὴ λόγος ἀσχημάτιστος, ἡ
τοῦ λόγου δύναμις ῥῆμα κυρίου φωτεινὸν .... *Origenes Contra Celsum VI 62 p. 680:*
ἀληθῶς γὰρ οὐκ ἔσται τῷ θεῷ φωνή, εἴπερ ἐστὶν ἡ φωνὴ ἀὴρ πεπληγμένος ἢ πληγὴ ἀέρος
... ἀλλ' ἡ λεγομένη φωνὴ θεοῦ, ὡς θεοῦ φωνή, ὁρᾶσθαι λέγεται ὑπὸ τοῦ λαοῦ ἐν τῷ „πᾶς
ὁ λαὸς ἑώρα τὴν φωνὴν τοῦ θεοῦ" ... cf. II 72 p. 441.

μάζεται —, τὴν δὲ μὴ ῥημάτων μηδ' ὀνομάτων ἀλλὰ θεοῦ φωνήν,
49 ὁρωμένην τῷ τῆς ψυχῆς ὄμματι, ὁρατὴν δεόντως εἰσάγει. προειπὼν δὲ
τὸ „ὁμοίωμα οὐκ εἴδετε“ ἐπιφέρει „ἀλλ' ἢ φωνήν“, ἣν πάντως εἴδετε —
τὸ γὰρ προσυπακουόμενον τοῦτ' ἂν εἴη —· ὥσθ' οἱ μὲν τοῦ θεοῦ λόγοι
ὅρασιν ἔχουσι τὴν ἐν ψυχῇ κριτήριον, ἀκοὴν δ' οἱ εἰς ὀνομάτων καὶ 5
50 ῥημάτων ἰδέας μεριζόμενοι. καινὸς δ' ὢν ἐν ἅπασι τὴν ἐπιστήμην καὶ
τοῦτ' ἰδίως καὶ ξένως κεκαινούργηκεν εἰπὼν ὁρατὴν εἶναι τὴν φωνήν,
τὴν μόνην σχεδὸν τῶν ἐν ἡμῖν οὐχ ὁρατὴν ὑπεξῃρημένης διανοίας· τὰ
μὲν γὰρ κατὰ | τὰς ἄλλας αἰσθήσεις πάνθ' ὁρατά, τὰ χρώματα, οἱ χυλοί, p. 444 M.
οἱ ἀτμοί, τὰ θερμά, τὰ ψυχρά, τὰ λεῖα, τὰ τραχέα, τὰ μαλακὰ καὶ 10
51 σκληρά, ἢ σώματα. τί δέ ἐστι τοῦτο, σαφέστερον ἐρῶ· ὁ χυλὸς ὁρατός
ἐστιν, οὐχ ἧ χυλός, ἀλλ' ἧ μόνον σῶμα, τὸ γὰρ ἧ χυλὸς εἴσεται ἡ
γεῦσις· καὶ ὁ ἀτμός, ἧ μὲν ἀτμός, ὑπὸ ῥινῶν ἐξετασθήσεται, ἧ δὲ
σῶμα, καὶ πρὸς ὀφθαλμῶν· καὶ τὰ ἄλλα ταύτῃ δοκιμασθήσεται. φωνὴ
δὲ οὔθ' ὡς ἀκουστὸν οὔθ' ὡς σῶμα, εἰ δὴ καὶ σῶμά ἐστιν, ὁρατὸν εἶναι 15
52 πέφυκεν, ἀλλὰ δύο ταῦτα τῶν ἐν ἡμῖν ἀόρατα, νοῦς καὶ λόγος. ἀλλὰ
γὰρ οὐχ ὅμοιον τὸ ἡμέτερον ἠχεῖον τῷ θείῳ φωνῆς ὀργάνῳ· τὸ μὲν
γὰρ ἡμέτερον ἀέρι κίρναται καὶ πρὸς τὸν συγγενῆ τόπον καταφεύγει, τὰ
ὦτα, τὸ δὲ θεῖον ἀκρατοῦς καὶ ἀμιγοῦς ἐστι λόγου, φθάνοντος μὲν ἀκοὴν
διὰ λεπτότητα, ὁρωμένου δὲ ὑπὸ ψυχῆς ἀκραιφνοῦς διὰ τὴν ἐν τῷ 20
βλέπειν ὀξύτητα.

53 (10.) Οὐκοῦν μετὰ τὴν ἀπόλειψιν τῶν θνητῶν πρώτην ὁ θεὸς
χαρίζεται τῇ ψυχῇ δωρεάν, ὡς ἔφην, ἐπίδειξιν καὶ θεωρίαν τῶν ἀθα-
νάτων, δευτέραν ⟨δὲ⟩ τὴν εἰς πλῆθος ὁμοῦ καὶ μέγεθος τῶν ἀρετῆς
δογμάτων ἐπίδοσιν· λέγει γάρ· „καὶ ποιήσω σε εἰς ἔθνος μέγα“, διὰ 25
μὲν τοῦ ἔθνους τὸ πλῆθος, διὰ δὲ τοῦ μεγάλου τὴν πρὸς τὸ ἄμεινον αὔξησιν
54 παραλαμβάνων. τὴν δὲ τοῦ ποσοῦ καθ' ἑκάτερον εἶδος, τό τε ἐν μεγέθει
καὶ τὸ ἐν πλήθει, παραύξησιν διασυνίστησι καὶ ὁ τῆς Αἰγύπτου βασιλεύς·
„ἰδοὺ“ γάρ φησι „τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος“ (Exod. 1,9),

---

2 δὲ ὄντως AP 3 ἣν] ἢ M πάντες H 4 προυπακουόμενον M
5 ἔχουσιν H οἱ om. L 7 εἶναι in ras. H² 11 ἢ A ὁρῶ H
12 οὐχὶ χυλός A bis ἢ A 13 γνῶσις PL καὶ ὁ ἀτμὸς καὶ ὁ ἀτμὸς ὁ
μὲν ὑπὸ A ἀτμός ἐστιν, ὑπὸ M ᾗ] εἰ A 14 πρὸς] πρὸ A
τἄλλα A 15 δ' M 16 ἀόρατος A 16. 17 ἀλλ' οὐχ P 17 ὅμοιον]
ὡμοίωται H² ἠχεῖον scripsi: ἠχὴ ἐν MP, ἠχεῖ ἐν A, ἦχημα H 18 κίρναται H²:
κρίνεται ceteri 20 ἀκραιφνῶς H² 22 ἀπόληψιν A 24 δὲ addidi τὸ πλῆθος
HP 26 μὲν om. H, δὲ P

ἐπειδή γε ἀμφότερα τῷ ὁρατικῷ τοῦ ὄντος γένει προσμαρτυρεῖ, ὡς πληθύν
τε καὶ μέγεθος κτησαμένῳ, τὰ περὶ τὸν βίον καὶ λόγον κατορθώματα. οὐ 55
γάρ, ὅπερ ἄν τις τὸν ἐν τοῖς ὀνόμασιν εἰρμὸν διαφυλάττων, πολὺ πλῆθος,
ἀλλὰ μέγα εἶπεν, εἰδὼς τὸ πολὺ καθ' αὑτὸ ἀτελὲς μέγεθος, εἰ μὴ προσ-
λάβοι δύναμιν νοήσεως καὶ ἐπιστήμης. τί γὰρ ὄφελος πολλὰ μὲν θεω-
ρήματα παραλαμβάνειν, ἕκαστον δὲ αὐτῶν εἰς τὸ ἁρμόττον μέγεθος μὴ
συναυξῆσαι; οὐδὲ γὰρ ἀγρὸς τέλειος, ᾧ μυρία μὲν ὅσα ἐνυπάρχει φυτὰ
χαμαίζηλα, τέλειον δὲ μηδὲν ἔρνος γεωργικῇ τέχνῃ συνανέβλαστεν ἤδη
καρποτοκεῖν δυνάμενον. τοῦ δὲ μεγέθους καὶ πλήθους τῶν καλῶν 56
ἀρχὴ καὶ τέλος ἡ ἀδιάστατος περὶ θεοῦ μνήμη καὶ ἡ κατάκλησις τῆς
ἀπ' αὐτοῦ συμμαχίας πρὸς τὸν ἐμφύλιον καὶ συγκεχυμένον καὶ συνεχῆ
τοῦ βίου πόλεμον· λέγει γὰρ „ἰδοὺ λαὸς σοφὸς καὶ ἐπιστήμων τὸ
ἔθνος τὸ μέγα τοῦτο· ὅτι ποῖον ἔθνος μέγα, ᾧ ἐστι θεὸς ἐγγίζων ὡς
κύριος ὁ θεὸς ἡμῶν ἐν πᾶσιν οἷς ἂν αὐτὸν ἐπικαλεσώμεθα“ (Deut.
p. 445 M. 4, 6. 7); οὐκοῦν ὅτι καὶ πρὸς βοήθειαν δύναμις | ἀρωγὸς εὐτρεπὴς ἐφε- 57
δρεύει παρὰ θεῷ καὶ αὐτὸς ὁ ἡγεμὼν ἐγγυτέρω πρόσεισιν ἐπ' ὠφελείᾳ
τῶν ἀξίων ὠφελεῖσθαι, δεδήλωται. (11.) τίνες δ' οἱ τούτων ἐπάξιοι
τυγχάνειν εἰσίν; ἢ δῆλον ὅτι οἱ σοφίας καὶ ἐπιστήμης ἐρασταὶ πάντες;
οὗτοι γάρ εἰσιν ὁ σοφὸς καὶ ἐπιστήμων, ὃν εἶπε, λεώς, ὧν ἕκαστος 58
μέγας εἰκότως ἐστίν, ἐπειδὴ μεγάλων ὀρέγεται, ἑνὸς δὲ καὶ λίαν ὑπερ-
βαλλόντως, τοῦ μὴ διαζευχθῆναι θεοῦ τοῦ μεγίστου, ἀλλὰ τὴν πρόσοδον
αὐτοῦ συνεγγίζοντος σταθερῶς ἄνευ καταπλήξεως ὑπομεῖναι. οὗτος ὁ 59
ὅρος ἐστὶ τοῦ μεγάλου λεώ, τὸ τῷ θεῷ συνεγγίζειν ἢ „ᾧ θεὸς συνεγ-
γίζει“. ὁ μὲν δὴ κόσμος καὶ ὁ κοσμοπολίτης σοφὸς πολλῶν καὶ μεγάλων
ἀγαθῶν ἀναπέπλησται, ὁ δὲ ἄλλος ἀνθρώπων ὅμιλος πλείοσι μὲν κέχρη-
ται κακοῖς, ἀγαθοῖς δὲ ἐλάττοσι· σπάνιον γὰρ ἐν πεφυρμένῳ καὶ συγκε-
χυμένῳ βίῳ τὸ καλόν. διόπερ ἐν χρησμοῖς ᾄδεται· „οὐχ ὅτι πολυπληθεῖτε 60
παρὰ πάντα τὰ ἔθνη, προείλετο κύριος ὑμᾶς καὶ ἐξελέξατο — ὑμεῖς γάρ
ἐστε ὀλιγοστοὶ παρὰ πάντα τὰ ἔθνη —, ἀλλὰ παρὰ τὸ ἀγαπᾶν κύριον ὑμᾶς“
(Deut. 7, 7. 8). εἰ γάρ τις βουληθείη τὸν ὄχλον μιᾶς ψυχῆς ὥσπερ

---

1 γε H^2: γὰρ ceteri τῶ (ex τοῦ corr.) ὄντως A ὡς om. HP^1 6 προσλαμβάνειν HP 8 συνανεβλάστησεν H 9. 10 ἀρχὴ τῶν καλῶν HP 13 bis μέγα MAP: bis μέρος H 15 ἄρρωγὸς HP 16 ἐγγύτερα A 18 ἢ v δηλονότι AHP 20 ἐπειδὴ δὲ A 20. 21 ὑπερβαλόντως HP 21 prius τοῦ] τῶ HP 22 σταθηρῶς A 23 λεώ (vel λαοῦ) scripsi: θεοῦ codd., del. Mang. τῷ om. L συνεγγίζον coni. Mang. ᾧ] ὁ A 25 ἀγαθὸς A 26 ἐν πεφυρμένῳ scripsi: ἐμπεφυρμένω A, ἐμπεφορημένῳ MHP, ἐν πεφορημένῳ v 27 πολυπληθῆτε A 28 προείλατο A 28. 29 προείλετο — ἔθνη om. H 28 ὁ κύριος AH

κατὰ ἔθνη διανεῖμαι, πολλὰς μὲν ἂν εὕροι τάξεις ἀκοσμούσας, ὧν ἡδοναὶ
ἢ ἐπιθυμίαι ἢ λῦπαι ἢ φόβοι ἢ πάλιν ἀφροσύναι καὶ ἀδικίαι καὶ αἱ τούτων συγγενεῖς καὶ ἀδελφαὶ ταξιαρχοῦσι, μίαν δὲ αὐτὸ μόνον εὖ διακε-
61 κοσμημένην, ἧς ὁ ὀρθὸς λόγος ἀφηγεῖται. παρὰ μὲν οὖν ἀνθρώποις τὸ ἄδικον πλῆθος πρὸ ἑνὸς τοῦ δικαίου προτετίμηται, παρὰ δὲ τῷ θεῷ τὸ σπάνιον ἀγαθὸν πρὸ μυρίων ἀδίκων· ᾧ καὶ παραγγέλλει μηδέποτε τοιούτῳ συναινέσαι πλήθει· „οὐκ ἔσῃ“ γάρ φησι „μετὰ πολλῶν ἐπὶ κακίᾳ“ (Exod. 23, 2). ἆρ' οὖν μετ' ὀλίγων χρή; μετ' οὐδενὸς μὲν οὖν φαύλου — εἷς δ' ὢν ὁ φαῦλος πολύς ἐστι κακίαις, ᾧ συντάσσεσθαι μεγίστη ζημία —· τοὐναντίον γὰρ ἀνθίστασθαι καὶ πολεμεῖν ἀκαταπλήκτῳ χρω-
62 μένους δυνάμει προσήκει. „ἐὰν“ γάρ φησιν „ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου καὶ ἴδῃς ἵππον“, τὸ ὑπέραυχον καὶ σκιρτητικὸν πάθος ἀφηνιάζον, „καὶ ἀναβάτην“, τὸν ἐποχούμενον αὐτῷ φιλοπαθῆ νοῦν, „καὶ λαὸν πλείονά σου“, τοὺς ζηλωτὰς τῶν εἰρημένων φαλαγγηδὸν ἐπιόντας, „οὐ φοβηθήσῃ ἀπ' αὐτῶν“· εἷς γὰρ ὢν ἑνὶ τῷ πάντων ἡγεμόνι χρήσῃ
63 συμμάχῳ, „ὅτι κύριος ὁ θεός σου μετὰ σοῦ“ (Deut. 20, 1). τούτου γὰρ ἡ σύνοδος καθαιρεῖ πολέμους, εἰρήνην ἀνοικοδομεῖ, τὰ πολλὰ καὶ συνήθη κακὰ ἀνατρέπει, τὸ σπάνιον καὶ θεοφιλὲς γένος ἀνασῴζει, ᾧ πᾶς ὁ γενόμενος ὑπήκοος μισεῖ καὶ βδελύττεται τὰ τῶν γεωδεστέρων στίφη.
64 (12.) „ἃ γὰρ πολυπληθεῖ“ φησί „ποσὶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ⟨ἕρπουσιν⟩ ἐπὶ τῆς γῆς, οὐ φάγεσθε, ὅτι βδελύγματά ἐστιν“ (Lev. 11,42).
| ἀλλ' οὐ μίσους ἐστὶν ἐπαξία ψυχὴ μὴ καθ' ἓν μέρος ἀλλὰ κατὰ p. 446 M.
πάντα ἢ τὰ πλεῖστα βαίνουσα ἐπὶ τὴν γῆν καὶ τὰ σώματος περιλιχνεύουσα καὶ συνόλως εἰς τὰς οὐρανοῦ θείας περιόδους ἀνακῦψαι μὴ δυνα-
65 μένη; καὶ μὴν ὥσπερ τὸ πολύπουν, οὕτως καὶ τὸ ἄπουν ἐν ἑρπετοῖς ψεκτόν, τὸ μὲν διὰ τὴν λεχθεῖσαν αἰτίαν, τὸ δ' ὅτι ὅλον δι' ὅλων πέπτωκεν ἐπὶ γῆν, ὑπ' οὐδενὸς ἀλλ' οὐδ' ἐπὶ τὸ βραχύτατον ἐξαιρόμενον· πάντα γὰρ τὸν πορευόμενον ἐπὶ κοιλίαν ἀκάθαρτον εἶναί φησι
66 (ibid.), τὸν τὰς τῆς γαστρὸς ἡδονὰς μεταδιώκοντα αἰνιττόμενος. ἔνιοι δὲ προσυπερβάλλοντες οὐ μόνον τῷ τῆς ἐπιθυμίας ἐχρήσαντο γένει, ἀλλὰ

---

1 κατὰ] καὶ τὰ L 3 post ἀδελφαὶ vid. add. κακίαι vel κῆρες 4 ὁ ὀρθὸς H²: ὀρθὸς ὁ ceteri 6 ἀγαθῶν ⟨γένος⟩ vel διὸ pro ᾧ conicio ᾧ] ἐφ' ᾧ vel ὃς coni. Mang. 8 ὀλίγον A οὖν om. A 9 ὁ om. A 15 τῷ MH²: τῶν AH¹P 20 πολυπληθῆ (sic!) φησι MA: φησί, πολυπληθεῖ HP ἐν scripsi: ἐπὶ codd. 21 ἕρπουσιν addidi βδέλυγμά conicio 22 ἀλλ'] ἆρ' conicio μὴ MA: ἡ H², om. H¹P ἀλλὰ MAP: ἀλλ' ἡ H 23 τῆς γῆς coni. Mang. τὰ τοῦ σώματος HP 23. 24 πολιχνεύουσα H 26 δὲ HP 27 τὴν γῆν HP τὸ om. A

καὶ τὸ ἀδελφὸν αὐτῇ πάθος, τὸν θυμόν, προσεκτήσαντο, βουληθέντες ὅλον τὸ τῆς ψυχῆς ἄλογον ἐκζωπυρῆσαι μέρος, τὸν δὲ νοῦν διαφθεῖραι· τὸ γὰρ εἰρημένον λόγῳ μὲν ἐπὶ ὄφεως, ἔργῳ δὲ ἐπὶ παντὸς ἀλόγου καὶ φιλοπαθοῦς ἀνθρώπου χρησμὸς ὡς ἀληθῶς ἐστι θεῖος· „ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ“ (Gen. 3,14)· περὶ μὲν γὰρ τὰ στέρνα ὁ θυμός, τὸ δὲ ἐπιθυμίας εἶδος ἐν κοιλίᾳ. πορεύεται δὲ ὁ ἄφρων δι' ἀμφοτέρων, 67
θυμοῦ τε καὶ ἐπιθυμίας, ἀεὶ μηδένα διαλείπων χρόνον, τὸν ἡνίοχον καὶ βραβευτὴν νοῦν ἀποβαλών· ὁ δ' ἐναντίος τούτῳ θυμὸν μὲν καὶ ἐπιθυμίαν ἐκτέτμηται, κυβερνήτην δὲ ἐπιγέγραπται λόγον θεῖον, καθὰ καὶ Μωυσῆς ὁ θεοφιλέστατος, ὅς, ὅταν τὰς ὁλοκαύτους τῆς ψυχῆς ἱερουργῇ θυσίας, „τὴν μὲν κοιλίαν ἐκπλυνεῖ“ (Lev. 8, 21), τουτέστιν ὅλον τὸ ἐπιθυμίας εἶδος ἐκνίψεται, τὸ δὲ „στηθύνιον ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως ἀφελεῖ“ (Lev. 8, 29), σύμπαντα δήπου τὸν πολεμικὸν θυμόν, ἵνα τὸ λοιπὸν μέρος καὶ ἄμεινον τῆς ψυχῆς, τὸ λογικόν, μηδενὸς ἀντισπῶντος ἔτι καὶ μεθέλκοντος ἐλευθέροις καὶ εὐγενέσι τῷ ὄντι χρήσηται πρὸς τὰ καλὰ πάντα ὁρμαῖς. οὕτως γὰρ εἴς τε πλῆθος καὶ μέγεθος ἐπιδώσει· 68
λέγεται γάρ· „ἕως τίνος παροξυνοῦσιν ὁ λαὸς οὗτος; καὶ ἕως τίνος οὐ πιστεύσουσί μοι ἐν πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς; πατάξω αὐτοὺς θανάτῳ καὶ ἀπολῶ αὐτούς, καὶ ποιήσω σὲ καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα καὶ πολὺ ἢ τοῦτο“ (Num. 14, 11. 12)· ἐπειδὰν γὰρ ὁ θυμῷ καὶ ἐπιθυμίᾳ χρώμενος πολὺς ὅμιλος καταλυθῇ τῆς ψυχῆς, πάντως εὐθὺς ὁ τῆς λογικῆς φύσεως διεξηρτημένος ἀνίσχει καὶ ἀνατέλλει. ὥσπερ δὲ τὸ πολύπουν καὶ ἄπουν, ἐναντία ὄντα ἐν τῷ 69
p. 447 M. γένει τῶν ἑρπετῶν, ἀκάθαρτα | ἀναγράφεται, οὕτως καὶ ἡ ἄθεος καὶ πολύθεος ἀντίπαλοι ἐν ψυχῇ δόξαι βέβηλοι. σημεῖον δέ· ἀμφοτέρας ὁ

---

6 ἔδος coni. Mang. 8 βραβευτὴν] κυβερνήτην coni. Mang. νοῦν] λόγον H τούτῳ H: τούτων MAP 9 θεῖον λόγον HP 12 εἶδος om. A, ἔδος Mang. 13 ἀφελῇ A δήπου MA: δὴ HP 15 post εὐγενέσιν add. ὀφθαλμοῖς H², ὁρμαῖς (lin. 16) hic posuit Mang. 16 ὁρμαῖς] ὁρᾶν H 22 τῆς ψυχῆς om. MA 25 ἀντίπαλος P ψυχαῖς A

---

23 sqq. *Clemens Protrept. § 25 p. 21 P:* ἀκρότητες ἄρα ἀμαθίας ἀθεότης καὶ δεισιδαιμονία, ὧν ἐκτὸς μένειν σπουδαστέον. οὐχ ὁρᾷς τὸν ἱεροφάντην τῆς ἀληθείας Μωυσέα προστάττοντα θλαδίαν καὶ ἀποκεκομμένον μὴ ἐκκλησιάζειν καὶ προσέτι τὸν ἐκ πόρνης; αἰνίττεται δὲ διὰ μὲν τῶν προτέρων τὸν ἄθεον τρόπον τὸν τῆς θείας καὶ γονίμου δυνάμεως ἐστερημένον, διὰ δὲ τοῦ λοιποῦ τοῦ τρίτου τὸν πολλοὺς ἐπιγραφόμενον ψευδωνύμους θεοὺς ἀντὶ τοῦ μόνου ὄντος θεοῦ, ὥσπερ ὁ ἐκ τῆς πόρνης τοὺς πολλοὺς ἐπιγράφεται πατέρας ἀγνοίᾳ τοῦ πρὸς ἀλήθειαν πατρός.

νόμος ἐκκλησίας ἱερᾶς ἀπελήλακε, τὴν μὲν ἄθεον θλαδίαν καὶ ἀποκεκομμένον εἴρξας ἐκκλησιάζειν, τὴν δὲ πολύθεον τὸν ἐκ πόρνης ὁμοίως κωλύσας ἀκούειν ἢ λέγειν (Deut. 23, 1. 2)· ἄθεος μὲν γὰρ ὁ ἄγονος, πολύθεος δὲ ὁ ἐκ πόρνης τυφλώττων περὶ τὸν ἀληθῆ πατέρα καὶ διὰ τοῦτο πολλοὺς ἀνθ' ἑνὸς γονεῖς ἐπιγραφόμενος.

70 (13.) Δύο μὲν αὗται δωρεαὶ προείρηνται, θεωρητικοῦ τε ἐλπὶς βίου καὶ πρὸς πλῆθος καὶ μέγεθος τῶν καλῶν ἐπίδοσις. τρίτη δ' ἐστὶν εὐλογία, ἧς ἄνευ βεβαιώσασθαι τὰς προτέρας χάριτας οὐκ ἔστι· λέγει γάρ· „καὶ εὐλογήσω σε", τουτέστιν ἐπαινετὸν λόγον δωρήσομαι· τὸ γὰρ εὖ
71 πάντως ἐπ' ἀρετῆς· λόγος δὲ ὁ μὲν πηγῇ ἔοικεν, ὁ δὲ ἀπορροῇ, πηγῇ μὲν ὁ ἐν διανοίᾳ, προφορὰ δὲ ἡ διὰ στόματος καὶ γλώττης ἀπορροῇ. ἑκάτερον δὲ εἶδος λόγου βελτιωθῆναι πολὺς πλοῦτος, διάνοιαν μὲν εὐλογιστίᾳ πρὸς πάντα μικρὰ καὶ μείζω χρωμένην, προφορὰν δὲ ὑπὸ
72 παιδείας ὀρθῆς ἡνιοχουμένην. πολλοὶ γὰρ λογίζονται μὲν τὰ βέλτιστα, ὑπὸ δὲ ἑρμηνέως κακοῦ προὐδόθησαν, λόγου, μουσικὴν τὴν ἐγκύκλιον οὐκ ἐκπονήσαντες· οἱ δὲ ἔμπαλιν ἑρμηνεῦσαι μὲν ἐγένοντο δυνατώτατοι, βουλεύσασθαι δὲ φαυλότατοι, καθάπερ οἱ λεγόμενοι σοφισταί· τούτων γὰρ ἀχόρευτος μὲν καὶ ἄμουσος ἡ διάνοια, πάμμουσοι δὲ αἱ διὰ τῶν φωνη-
73 τηρίων ὀργάνων διέξοδοι. χαρίζεται δὲ ὁ θεὸς τοῖς ὑπηκόοις ἀτελὲς οὐδέν, πλήρη δὲ καὶ τέλεια πάντα· διὸ καὶ νῦν τὴν εὐλογίαν οὐχ ἑνὶ λόγου τμήματι, τοῖς δὲ μέρεσιν ἀμφοτέροις ἐπιπέμπει δικαιῶν τὸν εὐεργετούμενον καὶ ἐνθυμεῖσθαι τὰ βέλτιστα καὶ ἐξαγγέλλειν τὰ νοηθέντα δυνατῶς· ἡ γὰρ τελειότης δι' ἀμφοῖν, ὡς ἔοικε, τοῦ τε ὑποβάλλοντος
74 τὰ ἐνθυμήματα καθαρῶς καὶ τοῦ διερμηνεύοντος αὐτὰ ἀπταίστως. ἢ οὐχ ὁρᾷς τὸν Ἄβελ — ὄνομα δέ ἐστι τὰ θνητὰ πενθοῦντος καὶ τὰ ἀθάνατα εὐδαιμονίζοντος —, ὡς ἀνεπιλήπτῳ μὲν κέχρηται διανοίᾳ, τῷ δὲ μὴ γεγυμνάσθαι περὶ λόγους ἥττηται πρὸς δεινοῦ παλαῖσαι Κάιν τέχνῃ
75 μᾶλλον ἢ ῥώμῃ περιγενέσθαι δυναμένου; διὸ καὶ θαυμάζων τῆς περὶ τὴν φύσιν εὐμοιρίας τὸν τρόπον αἰτιῶμαι τοσοῦτον, ὅτι προκληθεὶς εἰς

---

1 τῶ ante θλαδίαν add. H² 1. 2 ἀποκεκομμένην A 2 τὸν A: τὸ P, τῶ H, om. M, τῷ τὸν v 5 ἐπιγραφόμενος scripsi (cf. Clem.): αἰνιττόμενος codd. 7 δέ ἐστιν M 8 πρότερον H 10 ἐπ' ἀρετῆς] ἐπαινετόν Mang. ἔοικεν om. A 11 προφορὰ H²: προφορᾶ MH¹P, προφοραὶ A διὰ] ἀπὸ H 11. 12 ἀπορροῆ H: ἀπορροή MAP 12 διάνοια HP 13 μείζονα HP χρωμένην Turn.: χρωμένη codd. προφορὰ H 14 ἡνιοχουμένη HP βέλτια P 18 διὰ om. M 21 ἐπινέμει coni. Mang. 23 τε Cohn: γε codd. 25 ἐστι τοῦ τὰ H² 27 Κάιν Mang.: καὶ codd. 28 ante τῆς add. αὐτὸν H² 29 τοῦτον H²

ἅμιλλαν λόγων ἦκεν ἀγωνιούμενος, δέον ἐπὶ τῆς συνήθους ἠρεμίας στῆναι πολλὰ χαίρειν φράσαντα τῷ φιλονείκῳ, εἰ δ' ἄρα ἐβούλετο πάντως διαγωνίσασθαι, μὴ πρότερον κονίσασθαι ἢ τοῖς | τεχνικοῖς παλαίσμασιν ἐνασκηθῆναι· τῶν γὰρ ἀγροικοσόφων οἱ τὰ πολιτικὰ κεκομψευμένοι μάλιστά πως εἰώθασι περιεῖναι. (14.) διὸ καὶ Μωυσῆς ὁ πάνσοφος παραιτεῖται μὲν εἰς τὴν τῶν εὐλόγων καὶ πιθανῶν ἐπίσκεψιν ἐλθεῖν, ἀφ' οὗ τὸ ἀληθείας φέγγος ἥρξατο ὁ θεὸς ἐναστράπτειν αὐτῷ διὰ τῶν ἐπιστήμης καὶ σοφίας αὐτῆς ἀθανάτων λόγων, ἄγεται δὲ οὐδὲν ἧττον πρὸς τὴν θέαν αὐτῶν οὐχ ἕνεκα τοῦ πλειόνων ἔμπειρος γενέσθαι πραγμάτων — ἀποχρῶσι γὰρ αἱ περὶ θεοῦ καὶ τῶν ἱερωτάτων αὐτοῦ δυνάμεων ζητήσεις τῷ φιλοθεάμονι —, ἀλλ' ὑπὲρ τοῦ περιγενέσθαι τῶν ἐν Αἰγύπτῳ σοφιστῶν, οἷς αἱ μυθικαὶ πιθανότητες πρὸ τῆς τῶν ἀληθῶν ἐναργείας τετίμηνται. ὅταν μὲν οὖν τοῖς τοῦ πανηγεμόνος ἐμπεριπατῇ πράγμασιν ὁ νοῦς, οὐδενὸς ἑτέρου προσδεῖται πρὸς τὴν θεωρίαν, ἐπειδὴ τῶν νοητῶν μόνη διάνοια ὀφθαλμὸς ὀξυωπέστατος· ὅταν δὲ καὶ τοῖς κατὰ αἴσθησιν ἢ πάθος ἢ σῶμα, ὧν ἐστιν ἡ Αἰγύπτου χώρα σύμβολον, δεήσεται καὶ τῆς περὶ λόγους τέχνης ὁμοῦ καὶ δυνάμεως. οὗ χάριν ἐπάγεσθαι τὸν Ἀαρὼν αὐτῷ διείρηται, τὸν προφορικὸν λόγον· „οὐκ ἰδοὺ“ φησίν „Ἀαρὼν ὁ ἀδελφός σου“; μιᾶς γὰρ ἀμφοῖν τῆς λογικῆς φύσεως μητρὸς οὔσης ἀδελφὰ δήπου τὰ γεννήματα. „ἐπίσταμαι, ὅτι λαλήσει“· διανοίας μὲν γὰρ τὸ καταλαμβάνειν, προφορᾶς δὲ τὸ λαλεῖν ἴδιον. „λαλήσει“ φησίν „αὐτός σοι“· τὰ γὰρ ἐν αὐτῷ ταμιευόμενα μὴ δυνάμενος ὁ νοῦς ἀπαγγεῖλαι τῷ πλησίον ἑρμηνεῖ χρῆται λόγῳ πρὸς τὴν ὧν πέπονθε δήλωσιν. εἶτ' ἐπιλέγει· „ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι“, ἐπειδὴ τῷ ὄντι ὁ λόγος τοῖς ἐνθυμήμασιν ὑπαντῶν, ῥήματα καὶ ὀνόματα προστιθεὶς χαράττει τὰ ἄσημα, ὡς ἐπίσημα ποιεῖν. καὶ „ἰδών σε“ φησί „χαρήσεται ἐν αὐτῷ“ (Exod. 4, 14)· γήθει γὰρ ὁ λόγος καὶ εὐφραίνεται, ὅταν μὴ ἀμυδρὸν ᾖ τὸ ἐνθύμημα, διότι τηλαυγοῦς ὄντος ἀπταίστῳ καὶ εὐτρόχῳ διερμηνεύσει χρῆται κυρίων καὶ εὐθυβόλων καὶ γεμόντων πολλῆς ἐμφάσεως εὐπορῶν ὀνομάτων· (15.) ἐπειδὰν γοῦν ἀδηλότερά πως ᾖ τὰ νοήματα, κατὰ κενοῦ βαίνει καὶ ὀλισθὼν πολλάκις μέγα πτῶμα ἔπεσεν,

p. 448 M.

---

1 λόγων om. A συνηθείας L ἠρεμίας om. HP 8 αὐτῆς om. HP λέγεται H δ' H 9. 10 ἀποχρῶσαι A 12 οἷς αἱ Mang.: ὅσαι codd. πρὸς H¹ 15 ὀξυδερκέστατος A κατ' H² 18 διήρηται A 19 post ἀμφοῖν add. οὔσης HP 20 λαλήσει M: λαλεῖ AHP 22 αὐτῷ H² 23 πέπονθεν M 24 σοι M: σου AHP 27 γηθεῖ v εὐφραίνεται Mang.: εὐφορεῖ MHP, εὐφορία A 30 ἀπορῶν A

ὡς μηκέτι ἀναστῆναι δύνασθαι. „καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ“, ἴσον τῷ ὑπηχήσεις αὐτῷ τὰ ἐνθυμήματα, ἃ ῥημάτων καὶ λόγων ἀδιαφορεῖ θείων· ἄνευ γὰρ τοῦ ὑποβολέως
81 οὐ φθέγξεται ὁ λόγος, ὑποβολεὺς δὲ λόγου νοῦς, ὡς νοῦ θεός. „καὶ αὐτός σοι προσλαλήσει πρὸς τὸν λαόν, καὶ αὐτὸς ἔσται σου στόμα· σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν“ (Exod. 4, 15. 16)· ἐμφαντικώτατα τό τε „προσλαλήσει σοι“ φάναι, οἷον διερμηνεύσει τὰ σά, καὶ ὅτι „ἔσται σου | στόμα“· διὰ γὰρ γλώττης καὶ στόματος φερόμενον τὸ τοῦ λόγου p. 449 M.
νᾶμα συνεχφέρει τὰ νοήματα. ἀλλ᾽ ὁ μὲν λόγος ἑρμηνεὺς διανοίας πρὸς ἀνθρώπους, ἡ δὲ διάνοια γίνεται τῷ λόγῳ τὰ πρὸς τὸν θεόν, ταῦτα δέ
82 ἐστιν ἐνθυμήματα, ὧν μόνος ὁ θεὸς ἐπίσκοπος. ἀναγκαῖον οὖν ἐστι τῷ μέλλοντι πρὸς ἀγῶνα σοφιστικὸν ἁπάντων ἐπιμεμελῆσθαι λόγων ἐρρωμένως οὕτως, ὡς μὴ μόνον ἐκφεύγειν τὰ παλαίσματα, ἀλλὰ καὶ ἀντεπιτι-
83 θέμενον ἀμφοτέροις, τέχνῃ τε καὶ δυνάμει, περιεῖναι. ἢ οὐχ ὁρᾷς τοὺς ἐπαοιδοὺς καὶ φαρμακευτὰς ἀντισοφιστεύοντας τῷ θείῳ λόγῳ καὶ τοῖς παραπλησίοις τολμῶντας ἐγχειρεῖν, οὐχ οὕτως ἐπὶ τῷ τὴν ἰδίαν ἐπιστήμην ἀποφῆναι περιβόητον, ὡς ἐπὶ τῷ διασῦραι καὶ χλευάσαι τὰ γινόμενα; καὶ γὰρ τὰς βακτηρίας εἰς δρακόντων μεταστοιχειοῦσι φύσεις, καὶ τὸ ὕδωρ εἰς αἵματος χρόαν μετατρέπουσι, καὶ τῶν βατράχων τὸ ὑπολειφθὲν ἐπῳδαῖς ἀνέλκουσιν ἐπὶ γῆν (Exod. 7, 12. 22. 8, 7), καὶ πάντα
84 οἱ κακοδαίμονες τὰ πρὸς τὸν οἰκεῖον ὄλεθρον συναύξοντες ἀπατᾶν δοκοῦντες ἀπατῶνται. πρὸς οὓς πῶς ἐνῆν ἀπαντῆσαι μὴ τὸν ἑρμηνέα διανοίας λόγον, Ἀαρὼν ἐπίκλησιν, ἑτοιμασάμενον; ὃς νῦν μὲν εἴρηται στόμα, αὖθις δὲ καὶ προφήτης κεκλήσεται, ὅταν καὶ ὁ νοῦς ἐπιθειάσας προσρηθῇ θεός· „δίδωμι γάρ σε“ φησί „θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης“ (Exod. 7, 1). ὧ ἀκολουθίας ἐναρμονίου· τὸ γὰρ ἑρμηνεῦον τὰ θεοῦ προφητικόν ἐστι γένος ἐνθέῳ κατοκωχῇ
85 τε καὶ μανίᾳ χρώμενον. τοιγαροῦν „ἡ ῥάβδος ἡ Ἀαρὼν κατέπιε τὰς

---

2 ὑπηχήσεις H: ὑφηχήσεις MA, ἐπηχήσεις P 3 ἄνευ] ἐκ A 4 λόγου] λόγχης A 5 post προσλαλήσει add. καὶ M σου] σοι HP¹ σὺ] σοὶ H 6 αὐτὸς A ἐμφατικώτατα M 7 σοι om. P 7 διερμηνεύσει τὰ σά HP: διερμηνεύσεται M, διερμηνεὺς A 12 ἐπιμεμελῆσθαι MP: ἐπιμελεῖσθαι AH 12. 13 ἐρρωμένος A 19 τρέπουσι v 20 ἀνέχουσιν A 24 στόμα Mang.: σόφισμα codd. κληθήσεται A 25 προρηθῇ M ὁ θεός A σε] σοι A ὁ Ἀαρὼν ὁ A 26 ἔσται σου om. P 27 ἐν θεῷ AH κατοκωχῇ scripsi: κατακωχῇ codd. 28 ἡ Ἀαρὼν M: Ἀαρὼν ceteri

---

21. 22 cf. Rh. Mus. XLIX p. 309.

ἐκείνων ῥάβδους“ (Exod. 7,12), ὡς δηλοῖ τὸ λόγιον· ἐγκαταπίνονται γὰρ καὶ ἀφανίζονται πάντες οἱ σοφιστικοὶ λόγοι τῇ τῆς φύσεως ἐντέχνῳ ποικιλίᾳ, ὡς ὁμολογεῖν ὅτι „δάκτυλος θεοῦ“ (Exod. 8, 19) τὰ γινόμενά ἐστιν, ἴσον τῷ γράμμα θεῖον διαγορεῦον ἀεὶ σοφιστείαν ὑπὸ σοφίας ἡττᾶσθαι· δακτύλῳ γὰρ θεοῦ καὶ τὰς πλάκας, ἐν αἷς ἐστηλιτεύθησαν οἱ χρησμοί, φησὶν ὁ ἱερὸς λόγος γραφῆναι (Exod. 32, 16). διόπερ οὐκέτι δύνανται οἱ φαρμακευταὶ στῆναι ἐναντίον Μωυσεῖ, πίπτουσι δ' ὡς ἐν ἀγῶνι ῥώμῃ τοῦ ἀντιπάλου νικηθέντες καρτερᾷ (Exod. 8, 18).

(16.) Τίς οὖν ἡ τετάρτη δωρεά; τὸ μεγαλώνυμον· φησὶ γάρ· 86
„μεγαλυνῶ τὸ ὄνομά σου“ (Gen. 12, 2). τὸ δέ ἐστιν, ὥς γ' ἐμοὶ φαίνεται, τοιόνδε· ὥσπερ τὸ ἀγαθὸν εἶναι καὶ καλόν, οὕτω καὶ τὸ δοκεῖν εἶναι λυσιτελές. καὶ ἀμείνων μὲν δόξης ἀλήθεια, εὔδαιμον δὲ τὸ ἐξ ἀμφοῖν· μυρίοι γὰρ ἀνόθως καὶ ἀκολάκευτως προσελθόντες ἀρετῇ καὶ τὸ γνήσιον αὐτῆς ἐναυγασάμενοι κάλλος, τῆς παρὰ τοῖς πολλοῖς φήμης οὐ φροντίσαντες ἐπεβουλεύθησαν, κακοὶ νομισθέντες οἱ πρὸς ἀλήθειαν ἀγα-
p. 450 M. θοί. καὶ μὴν | οὐδὲ τοῦ δοκεῖν ὄφελος μὴ πολὺ πρότερον τοῦ εἶναι 87
προσόντος, ὥσπερ ἐπὶ σωμάτων πέφυκεν ἔχειν· εἰ γὰρ πάντες ἄνθρωποι τὸν νοσοῦντα ὑγιαίνειν ἢ τὸν ὑγιαίνοντα νοσεῖν ὑπολάβοιεν, ἡ δόξα καθ' αὑτὴν οὔτε νόσον οὔτε ὑγείαν ἐργάσεται. ᾧ δὲ ἀμφότερα δεδώρηται 88
ὁ θεός, καὶ τὸ εἶναι καλῷ καὶ ἀγαθῷ καὶ τὸ δοκεῖν εἶναι, οὗτος πρὸς ἀλήθειαν εὐδαίμων καὶ τῷ ὄντι μεγαλώνυμος. προνοητέον δ' ὡς μεγάλου πράγματος καὶ πολλὰ τὸν μετὰ σώματος βίον ὠφελοῦντος εὐφημίας. περιγίνεται δ' αὕτη σχεδὸν ἅπασιν, ὅσοι χαίροντες σὺν ἀσμενισμῷ μηδὲν κινοῦσι τῶν καθεστηκότων νομίμων, ἀλλὰ τὴν πάτριον πολιτείαν οὐκ ἀμελῶς φυλάττουσιν. εἰσὶ γάρ τινες οἳ τοὺς ῥητοὺς νόμους σύμβολα 89
νοητῶν πραγμάτων ὑπολαμβάνοντες τὰ μὲν ἄγαν ἠκρίβωσαν, τῶν δὲ ῥᾳθύμως ὠλιγώρησαν· οὓς μεμψαίμην ἂν ἔγωγε τῆς εὐχερείας· ἔδει γὰρ ἀμφοτέρων ἐπιμεληθῆναι, ζητήσεώς τε τῶν ἀφανῶν ἀκριβεστέρας καὶ

---

2 τῇ om. A ἀτέχνῳ conicio 4 ἴσον τῷ (corr. ex τὸ) H: εἰς ὃν τὸ MAP σοφίαν A 4. 5 σοφιστείας P 7 Μωσεῖ codd. 8 κραταιοτέρᾳ coni. Mang. 10 γέ μοι MA 12 ἀμεῖνον (sic!) ex corr. A 14 ἐναγασάμενοι H² παρὰ] περὶ H 16 καὶ MA: οὐ HP τοῦ M: τὸ AHP 17 εἰ] οἱ A 20 καλὸν καὶ ἀγαθὸν A 22 ὠφελοῦντας A 23 παραγίνεται H 27 ῥαθύμων A 28 ἀκριβεστάτης conicio 28. 286,1 καὶ ταμιείας Mang.: καὶ ταμίας HP¹, κατὰ μιᾶς M, κατὰ μίαν AP²

---

10 qq. Teletis reliquiae ed. Hense p. 1. 2.

90 ταμιείας τῶν φανερῶν ἀνεπιλήπτου. νυνὶ δ' ὥσπερ ἐν ἐρημίᾳ καθ' ἑαυτοὺς μόνοι ζῶντες ἢ ἀσώματοι ψυχαὶ γεγονότες καὶ μήτε πόλιν μήτε κώμην μήτ' οἰκίαν μήτε συνόλως θίασον ἀνθρώπων εἰδότες, τὰ δοκοῦντα τοῖς πολλοῖς ὑπερκύψαντες τὴν ἀλήθειαν γυμνὴν αὐτὴν ἐφ' ἑαυτῆς ἐρευνῶσιν· οὓς ὁ ἱερὸς λόγος διδάσκει χρηστῆς ὑπολήψεως πεφροντικέναι καὶ μηδὲν τῶν ἐν τοῖς ἔθεσι λύειν, ἃ θεσπέσιοι καὶ μείζους ἄνδρες ἢ
91 καθ' ἡμᾶς ὥρισαν. μὴ γὰρ ὅτι ἡ ἑβδόμη δυνάμεως μὲν τῆς περὶ τὸ ἀγένητον, ἀπραξίας δὲ τῆς περὶ τὸ γενητὸν δίδαγμά ἐστι, τὰ ἐπ' αὐτῇ νομοθετηθέντα λύωμεν, ὡς πῦρ ἐναύειν ἢ γεωπονεῖν ἢ ἀχθοφορεῖν ἢ ἐγκαλεῖν ἢ δικάζειν ἢ παρακαταθήκας ἀπαιτεῖν ἢ δάνεια ἀναπράττειν
92 ἢ τὰ ἄλλα ποιεῖν, ὅσα κἀν τοῖς μὴ ἑορτώδεσι καιροῖς ἐφεῖται· μηδ' ὅτι ἡ ἑορτὴ σύμβολον ψυχικῆς εὐφροσύνης ἐστὶ καὶ τῆς πρὸς θεὸν εὐχαριστίας, ἀποταξώμεθα ταῖς κατὰ τὰς ἐτησίους ὥρας πανηγύρεσι· μηδ' ὅτι τὸ περιτέμνεσθαι ἡδονῆς καὶ παθῶν πάντων ἐκτομὴν καὶ δόξης ἀναίρεσιν ἀσεβοῦς ἐμφαίνει, καθ' ἣν ὑπέλαβεν ὁ νοῦς ἱκανὸς εἶναι γεννᾶν
δι' ἑαυτοῦ, ἀνέλωμεν τὸν ἐπὶ τῇ περιτομῇ τεθέντα νόμον· ἐπεὶ καὶ τῆς περὶ τὸ ἱερὸν ἁγιστείας καὶ μυρίων ἄλλων ἀμελήσομεν, εἰ μόνοις προσ-
93 έξομεν τοῖς δι' ὑπονοιῶν δηλουμένοις. ἀλλὰ χρὴ ταῦτα μὲν σώματι ἐοικέναι νομίζειν, ψυχῇ δὲ ἐκεῖνα· ὥσπερ οὖν σώματος, ἐπειδὴ | ψυχῆς p. 451 M.
ἐστιν οἶκος, προνοητέον, οὕτω καὶ τῶν ῥητῶν νόμων ἐπιμελητέον· φυλαττομένων γὰρ τούτων ἀριδηλότερον κἀκεῖνα γνωρισθήσεται, ὧν εἰσιν οὗτοι σύμβολα, πρὸς τῷ καὶ τὰς ἀπὸ τῶν πολλῶν μέμψεις καὶ κατηγο-
94 ρίας ἀποδιδράσκειν. οὐχ ὁρᾷς, ὅτι καὶ Ἀβραὰμ τῷ σοφῷ καὶ μεγάλα ἀγαθὰ καὶ μικρὰ προσεῖναί φησι, καὶ καλεῖ τὰ μὲν μεγάλα ὑπάρχοντα καὶ ὑπαρκτά, ἃ τῷ γνησίῳ κληρονομεῖν ἐφεῖται μόνῳ, τὰ δὲ μικρὰ δόματα, ὧν οἱ νόθοι καὶ ἐκ παλλακῶν ἀξιοῦνται (Gen. 25,5. 6)· ἐκεῖνα
95 μὲν οὖν ἔοικε τοῖς φύσει, ταῦτα δὲ τοῖς θέσει νομίμοις. (17.) ἄγαμαι καὶ τῆς παναρέτου Λείας, ἥτις ἐπὶ τῆς Ἀσὴρ γενέσεως, ὅς ἐστι τοῦ

---

1 δὲ M 2. 3 μήτε κώμην om. P 3 οἰκείαν H¹ 4 τὴν] ἢ τὴν A ἑαυτῆς Turn.: ἑαυτῇ H², ἑαυτοὺς MAPH¹ 5 ῥητῆς coni. Mang. 6 ἢ] οἱ A 8 ἀγέννητον AH γεννητὸν AH 9 πῦρ ἐναύειν Mang.: πῦρ ἐναυγεῖν MAP², πυρεναυσεῖν H(P¹?) γεηπονεῖν A 11 μὴ HP: μὴ ἐν MAL 12 τῇ ἑορτῇ M εὐφροσύνης] ἑορτῆς A 13 ταῖς] ἔταις H 14 ἡδονῶν H² 15 ἐμφαίνειν A ὑπέβαλεν A 16 ἀνελάβομεν A 17 ἁγιστίας A ἀμελήσωμεν A 21 τούτων H²: om. ceteri 21 γνωσθήσεται HP 22 τῷ] τὸ A 23 ὁ Ἀβραὰμ AHP 23 σοφῷ μεγάλα A 25 καὶ] ἢ conicio 26 δόγματα A 27 νομίμως A 28 τὴν πανάρετον Λείαν coni. Mang.

αἰσθητοῦ καὶ νόθου σύμβολον πλούτου, φησί· „μακαρία ἐγώ, ὅτι μακαριοῦσί με αἱ γυναῖκες“ (Gen. 30, 13)· στοχάζεται γὰρ ὑπολήψεως ἐπιεικοῦς, δικαιοῦσα μὴ μόνον ὑπὸ ἀρρένων καὶ ἀνδρείων ὡς ἀληθῶς λόγων ἐπαινεῖσθαι, παρ' οἷς ἡ ἀλώβητος φύσις καὶ τὸ ἀληθὲς ἀδέκαστον τετίμηται, ἀλλὰ καὶ πρὸς τῶν θηλυτέρων, οἳ τῶν φαινομένων πάντα τρόπον ἥττηνται μηδὲν ἔξω τούτων θεωρητὸν νοῆσαι δυνάμενοι. τελείας 96 δὲ ψυχῆς ἐστι καὶ τοῦ εἶναι καὶ τοῦ δοκεῖν εἶναι μεταποιεῖσθαι, καὶ σπουδάζειν μὴ μόνον παρὰ τῇ ἀνδρωνίτιδι εὐδοκιμεῖν, ἀλλὰ καὶ πρὸς τῆς γυναικωνίτιδος ἑστίας ἐπαινεῖσθαι. διὸ καὶ Μωυσῆς τὴν τῶν ἱερῶν 97 ἔργων κατασκευὴν οὐ μόνον ἀνδράσιν ἀλλὰ καὶ γυναιξὶν ἐπέτρεψε ποιεῖσθαι· τά τε γὰρ νήματα πάντα τῆς ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου καὶ τριχῶν αἰγείων ἐπιτελοῦσι (Exod. 35, 25. 26), καὶ τὸν ἑαυτῶν κόσμον ἀόκνως εἰσφέρουσι, „σφραγῖδας, ἐνώτια, δακτυλίους, περιδέξια, ἐμπλόκια“ (Exod. 35, 22), πάνθ' ὅσα χρυσὸν εἶχε τὴν ὕλην, τὸν σώματος κόσμον ἀντικαταλλαττόμεναι τοῦ τῆς εὐσεβείας· προσφιλο- 98 τιμούμεναι μέντοι καὶ τὰ κάτοπτρα ἑαυτῶν συγκαθιεροῦσιν εἰς τὴν τοῦ λουτῆρος κατασκευήν (Exod. 38, 26), ἵν' οἱ μέλλοντες ἱερουργεῖν ἀπονιπτόμενοι χεῖρας καὶ πόδας, τὰ ἐγχειρήματα οἷς ἐφορμεῖ καὶ ἐνίδρυται ὁ νοῦς, ἐνοπτρίζωνται ἑαυτοὺς κατὰ μνήμην τῶν ἐσόπτρων, ἐξ ὧν ὁ λουτὴρ δεδημιούργηται· οὕτω γὰρ οὐδὲν αἶσχος ἐν τῷ τῆς ψυχῆς εἴδει περιόψονται γινόμενον, ἤδη δὲ τὸ νηστείας καὶ καρτερίας ἀνάθημα ἀναθήσουσιν ἱεροπρεπέστατον καὶ τελεώτατον ἀναθημάτων. ἀλλ' αὗται μὲν 99 ἀσταί τε καὶ ἀστεῖαι γυναῖκες [αἰσθήσεις] ὡς ἀληθῶς, παρ' αἷς ἡ ἀρετὴ Λεία τετιμῆσθαι βούλεται, αἱ δὲ προσαναφλέγουσαι τὸ πῦρ ἐπὶ τὸν ἄθλιον νοῦν ἀπόλιδες· λέγεται γὰρ ὅτι καὶ „γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ
p. 452 M. ἐπὶ Μωάβ“ (Num. 21, 30). ἀλλ' οὐχ ἑκάστη | τῶν τοῦ ἄφρονος 100 αἰσθήσεων ἐξαπτομένη πρὸς τῶν αἰσθητῶν ἐμπίπρησι τὸν νοῦν, πολλὴν

---

1 καὶ H²: om. ceteri νόμου M φασί A 4 ἀδεκάστως conicio
5 τέτμηται L 6 ⟨λόγῳ⟩ θεωρητὸν conicio 8 παρὰ om. HP περὶ τὴν ἀνδρωνίτιδα A 9 Μωσῆς codd. 15 τὸν MA: τοῦ HP ἀντικαταλλαττόμεναι MA: ἀνταλλαττόμεναι HP 17 λουτροῦ HP ἵν'] ἦν A 17. 18 χεῖρας καὶ πόδας ἀπονιπτόμενοι H 19 ἐνοπτρίζονται A, ἐνοπτρίζηται H¹P 20 ἕδει coni. Mang. 21. 22 ἀναθήσουσιν om. A 22. 23 ἀλλάττεται, spat., καὶ ἀστεῖαι A 23 ἀσταί] post τ in ras. H, ἀστατοί P (sed o in ras.) αἰσθήσεις secl. Mang.
24 Λεία HP: λίαν MA 25 ἀπόλιδες om. A προσέκαυσαν HP 25. 26 πῦρ τοῦτο ἐπὶ A 26 μωαβαλζαάλ· οὐχ ἑκάστη A ἀλλ' οὐχ Mang. (cf. A): ἀλλ' οὐδ' MP(H¹?), ἀλλὰ καὶ H², ἄρ' οὐχ conicio 27 τὸν αἰσθητὸν A ἐμπίπρησι H: ἐμπίμπρησι MAP τὸν om. A πολὺν A

καὶ ἀπέρατον φλόγα ἐπεισχέουσα μετὰ ῥύμης ἀνηνύτου καὶ φορᾶς; ἄριστον οὖν ἐξευμενίζεσθαι τὸ γυναικῶν τάγμα ἐν ψυχῇ, τῶν αἰσθήσεων, καθάπερ καὶ τῶν ἀνδρῶν, τῶν κατὰ μέρος λογισμῶν· οὕτως γὰρ
101 ἀμείνονι βίου διεξόδῳ χρησόμεθα παγκάλως. (18.) διὰ τοῦτο καὶ ὁ αὐτομαθὴς Ἰσαὰκ εὔχεται τῷ σοφίας ἐραστῇ καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ λαβεῖν ἀγαθά· φησὶ γάρ· „δώῃ σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς“ (Gen. 27,28), ἴσον τῷ πρότερον μὲν συνεχῆ σοι τὸν νοητὸν καὶ οὐράνιον ὑετὸν ἄρδοι, μὴ λάβρως ὡς ἐπικλύσαι, ἀλλ' ἠρέμα καὶ πράως καθάπερ δρόσον ὡς ὀνῆσαι· δεύτερον δὲ τὸν αἰσθητὸν καὶ γήινον πλοῦτον χαρίσαιτο λιπαρὸν καὶ πίονα,
102 τὴν ἐναντίαν πενίαν ψυχῆς τε καὶ τῶν αὐτῆς μερῶν ἀφαυάνας. ἐὰν μέντοι καὶ τὸν ἀρχιερέα λόγον ἐξετάζῃς, εὑρήσεις συνῳδὰ φρονοῦντα καὶ τὴν ἱερὰν ἐσθῆτα αὐτῷ πεποικιλμένην ἔκ τε νοητῶν καὶ αἰσθητῶν δυνάμεων· ἧς τὰ μὲν ἄλλα μακροτέρων ἢ κατὰ τὸν παρόντα καιρὸν δεῖται λόγων καὶ ὑπερθετέον, τὰ δὲ πρὸς τοῖς πέρασιν ἐξετάσωμεν,
103 κεφαλῇ τε καὶ βάσεσιν. οὐκοῦν ἐπὶ μὲν τῆς κεφαλῆς ἐστι „πέταλον χρυσοῦν καθαρόν, ἔχον ἐκτύπωμα σφραγῖδος, ἁγίασμα κυρίῳ“ (Exod. 28, 32), ἐπὶ δὲ τοῖς ποσίν ἐπὶ τοῦ τέλους τοῦ ὑποδύτου κώδωνες καὶ ἄνθινα (Exod. 28, 29. 30). ἀλλ' ἐκείνη μὲν ἡ σφραγὶς ἰδέα ἐστὶν ἰδεῶν, καθ' ἣν ὁ θεὸς ἐτύπωσε τὸν κόσμον, ἀσώματος δήπου καὶ νοητή, τὰ δ' ἄνθινα καὶ οἱ κώδωνες αἰσθητῶν ποιοτήτων σύμβολα,
104 ὧν ὅρασις καὶ ἀκοὴ τὰ κριτήρια. ἄγαν δ' ἐξητασμένως ἐπιφέρει ὅτι „ἔσται ἀκουστὴ φωνὴ αὐτοῦ εἰσόντος εἰς τὰ ἅγια“ (Exod. 28,31), ἵνα πρὸς τὰ νοητὰ καὶ θεῖα καὶ ὄντως ἅγια εἰσιούσης τῆς ψυχῆς καὶ αἱ αἰσθήσεις ὠφελούμεναι κατ' ἀρετὴν συνηχῶσι καὶ ὅλον τὸ σύστημα ἡμῶν, ὥσπερ ἐμμελὴς καὶ πολυάνθρωπος χορός, ἐκ διαφερόντων φθόγγων ἀνακεκραμένων ἓν μέλος ἐναρμόνιον συνάδῃ, τὰ μὲν ἐνδόσιμα τῶν νοημάτων ἐμπνεόντων — ἡγεμόνες γὰρ τοῦ χοροῦ τούτου τὰ νοητά —, τὰ δ' ἑπόμενα τῶν αἰσθητῶν συναναμελπόντων, ἃ τοῖς κατὰ μέρος
105 χορευταῖς ἀπεικάζεται. συνόλως γάρ, ἧ φησιν ὁ νόμος, „τὰ δέοντα

---

1 ἀπέρατον MH¹P: ἀπέραντον AH² ἐπιχέουσα A 2 οὖν MA: γοῦν HP 4 χρησώμεθα A ὁ H²: om. ceteri 5 ἐπὶ τῶ A 7 ποιότητος P 8 πρότερον μὲν] πρῶτον H² συνέσει σοι A 9 ὠνῆσαι A 12 ἐξετάσω H 16 κεφαλῆς A 21 ποιητῶν P 23. 24 ἵνα — ἅγια HP: om. MA 24 καὶ ante ὄντως om. H¹P εἰσιούσῃ τῇ ψυχῇ conicio αἱ H²: om. ceteri 25 ὠφελοῦμεν MA συνηχοῦσι A 27 ἀνακεκραμένων M(H²): ἀνακεκρουμένων A, ἀνακεκραμένον H¹, ἀνακεκραμμένον P συνάδει MA 28 νοητῶν conicio ἐμπνεόμενα H

καὶ τὸν ἱματισμὸν καὶ τὴν ὁμιλίαν“ (Exod. 21, 10), τὰ τρία ταῦτα, ἀφαιρεῖσθαι τὴν ψυχὴν οὐκ ἔδει, ἀλλ' ἕκαστον αὐτῶν βεβαίως προσνέμειν. τὰ μὲν οὖν δέοντα ⟨τὰ⟩ νοητά ἐστιν ἀγαθά, ἃ δεῖ καὶ ἃ χρὴ γενέσθαι λόγῳ φύσεως, ὁ δὲ ἱματισμὸς τὰ περὶ τὸν φαινόμενον τοῦ βίου κόσμον, ἡ δ' ὁμιλία ἡ καθ' ἑκάτερον τῶν εἰρημένων εἰδῶν συνέχεια καὶ μελέτη, ἵν' οἷα τὰ ἀφανῆ νοητὰ τοιαῦτα καὶ τὰ αἰσθητὰ φαίνηται.

p. 453 M. | (19.) Πέμπτη τοίνυν ἐστὶ δωρεὰ ἡ κατὰ ψιλὸν μόνον τὸ εἶναι 106 συνισταμένη· λέλεκται δὲ ἐπὶ ταῖς προτέραις, οὐχ ὡς εὐτελεστέρα ἐκείνων, ἀλλ' ὡς ὑπερκύπτουσα καὶ ὑπερβάλλουσα πάσας. τί γὰρ ἂν εἴη τοῦ πεφυκέναι καὶ ἀψευδῶς καὶ ἁπλάστως ἀγαθὸν εἶναι καὶ εὐλογίας ἐπάξιον τελεώτερον; „ἔσῃ“ γάρ φησιν „εὐλογητός“ (Gen. 12, 2), 107 οὐ μόνον εὐλογημένος· τὸ μὲν γὰρ ταῖς τῶν πολλῶν δόξαις τε καὶ φήμαις παραριθμεῖται, τὸ δὲ τῷ πρὸς ἀλήθειαν εὐλογητῷ. ὥσπερ γὰρ 108 τὸ ἐπαινετὸν εἶναι τοῦ ἐπαινεῖσθαι διαφέρει κατὰ τὸ κρεῖττον καὶ τὸ ψεκτὸν εἶναι τοῦ ψέγεσθαι κατὰ τὸ χεῖρον — τὰ μὲν γὰρ τῷ πεφυκέναι, τὰ δὲ τῷ νομίζεσθαι λέγεται μόνον, φύσις δὲ ἡ ἀψευδὴς δοκήσεως ἐχυρώτερον —, οὕτως καὶ τοῦ εὐλογεῖσθαι πρὸς ἀνθρώπων, ὅπερ ἦν εἰς εὐλογίαν ἄγεσθαι δοξαζόμενον, τὸ πεφυκέναι εὐλογίας ἄξιον, κἂν πάντες ἡσυχάζωσι, κρεῖττον, ὅπερ εὐλογητὸν ἐν τοῖς χρησμοῖς ᾄδεται.

(20.) Ταῦτα μὲν τὰ ἆθλα τῷ γενησομένῳ δωρεῖται σοφῷ· ἃ δὲ 109 καὶ τοῖς ἄλλοις ἀπονέμει διὰ τὸν σοφόν, ἑξῆς ἴδωμεν· „εὐλογήσω“ φησί „τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι“ (Gen. 12, 3). τὸ μὲν οὖν ἐπὶ τιμῇ τοῦ σπουδαίου καὶ ταῦτα γίνεσθαι παντί 110 τῳ δῆλον, λέγεται δ' οὐ δι' ἐκεῖνο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐν τοῖς πράγμασιν εὐάρμοστον ἀκολουθίαν· τὸν γὰρ ἀγαθὸν καὶ ὁ ἐπαινῶν ἐγκωμιαστὸς καὶ ὁ ψέγων ἔμπαλιν ψεκτός. ἔπαινον δὲ καὶ ψόγον οὐχ

---

2. 3 προσνέμων A 3 τὰ addidi δεῖ καὶ ἃ χρὴ MA: χρὴ καὶ ἃ δεῖ HP 5 ἡ ante καθ' om. A ἑκάτερον M: ἕτερον Λ, ἑκάτερα HP 6 τοιαῦτα om. L 8 κατὰ τὸ εὐλογημένον αὐτὸν εἶναι coni. Mang. 9 ἐντελεστέρα A 11 ante τοῦ add. μεῖζον H^2 12 τελεώτερον MAH^1: τελεωτέρας H^2P 14 εὐλογητέον A 15 κατὰ] καὶ κατὰ H^1P 16. 17 bis τὸ pro τὰ Mang. ex codice Coll. Nov. 143 18 ἐχυρώτερον M: ἐχυρότερον A, ὀχυρώτερον HP τοῦ Mang.: τὸ codd. 19 εἰς om. P δοξαζόμενον Mang.: διδασκόμενον codd. τὸ Mang.: τῷ codd. 21 λέγεται conicio 22 τὰ ἆθλα Mang.: τὰ ἐσθλὰ H^2, ἐσθλὰ MAH^1P 24 prius σε om. H^1P alterum σε om. P 26 τω MPH^1: ποῦ H^2, om. A δὲ HP οὐ δι' HP: οὐδ' M, οὐκ A 28 ἐγκωμιαστὴς HP

οὕτως ἡ τῶν λεγόντων καὶ γραφόντων πιστοῦται δύναμις, ὡς ἡ τῶν γινομένων ἀλήθεια· ὥστ' οὔτε ἐπαινεῖν οὔτε ψέγειν ἂν δοκοῖεν, ὅσοι τι
111 ψεῦδος ἐν ἑκατέρῳ παραλαμβάνουσιν εἴδει. τοὺς κόλακας οὐχ ὁρᾷς, οἳ μεθ' ἡμέραν καὶ νύκτωρ ἀποκναίουσι τῶν κολακευομένων τὰ ὦτα θρύπτοντες, οὐκ ἐπινεύοντες ἐφ' ἑκάστῳ τῶν λεγομένων αὐτὸ μόνον ἀλλὰ καὶ ῥήσεις μακρὰς συνείροντες καὶ ῥαψῳδοῦντες καὶ εὐχόμενοι μὲν τῇ
112 φωνῇ πολλάκις, ἀεὶ δὲ τῇ διανοίᾳ καταρώμενοι; τί οὖν ἄν τις εὖ φρονῶν εἴποι; ἆρ' οὐχ ὥσπερ ἐχθροὺς μᾶλλον ἢ φίλους τοὺς λέγοντας ὄντας καὶ ψέγειν μᾶλλον ἢ ἐπαινεῖν, κἂν δράματα ὅλα συντιθέντες ἐγκω-
113 μίων ἐπᾴδωσι; τοιγαροῦν ὁ μάταιος Βαλαὰμ ὕμνους μὲν εἰς τὸν θεὸν ὑπερβάλλοντας ᾄδων, ἐν οἷς καὶ τὸ „οὐχ ὡς ἄνθρωπος ὁ θεός“ (Num. 23, 19), ἀσμάτων τὸ ἱεροπρεπέστατον, ἐγκώμια δ' εἰς τὸν ὁρῶντα, Ἰσραήλ, μυρία διεξερχόμενος ἀσεβὴς μὲν καὶ ἐπάρατος καὶ παρὰ τῷ σοφῷ κέκριται νομοθέτῃ, καταρᾶσθαι δέ, οὐκ εὐλογεῖν, νενόμισται.
114 τοῖς γὰρ πολεμίοις φησὶν αὐτὸν ἐπὶ μισθῷ συνταχθέντα μάντιν γενέσθαι κακὸν κακῶν, ἀρὰς | μὲν ἐν ψυχῇ θέμενον χαλεπωτάτας γένει τῷ θεο- p. 454 M.
φιλεῖ, εὐχὰς δὲ ἀναγκασθέντα διὰ στόματος καὶ γλώττης ὑπερφυεστάτας προφητεῦσαι· τὰ μὲν γὰρ λεγόμενα καλὰ ὄντα ὁ φιλάρετος ὑπήχει θεός, τὰ δ' ἐννοούμενα — φαυλότερα γὰρ ἦν — ἔτικτεν ἡ μισάρετος διά-
115 νοια. μαρτυρεῖ δὲ ὁ περὶ τούτων χρησμός· „οὐ γὰρ ἔδωκε“ φησίν „ὁ θεὸς τῷ Βαλαὰμ καταράσασθαί σοι, ἀλλ' ἔστρεψε τὰς κατάρας εἰς εὐλογίαν“ (Deut. 23, 5), καίτοι πάντων ὅσα εἶπε πολλῆς γεμόντων εὐφημίας. ἀλλ' ὁ τῶν ἐν ψυχῇ ταμιευομένων ἐπίσκοπος ἰδών, ᾧ κατιδεῖν ἔξεστι μόνῳ, τὰ ἀθέατα γενέσει, τὴν καταδικάζουσαν ἀπὸ τούτων ψῆφον ἤνεγκε, μάρτυς ἀψευδέστατος ὁμοῦ καὶ κριτὴς ἀδέκαστος ὁ αὐτὸς ὤν·
116 ἐπεὶ καὶ τοὐναντίον ἐπαινετὸν βλασφημεῖν καὶ κατηγορεῖν δοκοῦντα τῇ φωνῇ κατὰ διάνοιαν εὐλογεῖν τε καὶ εὐφημεῖν. σωφρονιστῶν ὡς ἔοικε τοῦτό ἐστι τὸ ἔθος, παιδαγωγῶν, διδασκάλων, γονέων, πρεσβυτέρων, ἀρχόντων, νόμων· ὀνειδίζοντες γάρ, ἔστι δ' ὅπου καὶ κολάζοντες ἕκαστοι

---

1 λεγόντων] λόγων P^1 2 ὥστε HP οὔτ' A δοκεῖεν H
3 εἴδει Mang.: ἴδιον codd. 4 νύκτα HP 6 συναίροντες A 9 ὄντας H^2: οὕτως ceteri 10 μάταιος ⟨λαὸς⟩ coni. Mang. 13 alt. καὶ secl. Cohn
14 κέχρηται PH^1, κέκληται H^2 δέ scripsi: δ' codd. εὐλογεῖν Mang.: εὐλογῶν A, εὔλογον MHP 15 μάντιν scripsi: μάτην $MAPH^1$, μηνυτὴν H^2
16 κακὸν] καὶ (postea del.) H, om. L θέμενον χαλεπωτάτας om. A in lac. θέμενοι M 17 εὐχὰς] εὐλογίας coni. Mang. 18 ὑπήχει Turn.: ὑπηχεῖ HP, ὑφηχεῖ M, ὑφηγῆ A 21 ἀλλὰ M ἔστρεψε P: ἔτρεψε H, ἐπὶ A, om. M
23 ᾧ] ᾷ A 25 ὁ MA: om. HP 29 νομοθετῶν conicio

τούτων ἀμείνους τὰς ψυχὰς ἀπεργάζονται τῶν παιδευομένων. καὶ ἐχθρὸς μὲν οὐδεὶς οὐδενί, φίλοι δὲ πᾶσι πάντες· φίλων δὲ ἀνόθῳ καὶ ἀκιβδήλῳ χρωμένων εὐνοίᾳ τοῦτ' ἐστὶν ἔργον ἐλευθεροστομεῖν ἄνευ τοῦ κακονοεῖν. μηδὲν οὖν μήτε τῶν εἰς εὐλογίας καὶ εὐχὰς μήτε τῶν εἰς 117
βλασφημίας καὶ κατάρας ἐπὶ τὰς ἐν προφορᾷ διεξόδους ἀναφερέσθω μᾶλλον ἢ διάνοιαν, ἀφ' ἧς ὥσπερ ἀπὸ πηγῆς ἑκάτερον εἶδος τῶν λεχθέντων δοκιμάζεται.

(12.) Ταῦτα μὲν δὴ πρῶτον διὰ τὸν ἀστεῖον ἑτέροις συντυγχάνειν 118
φησίν, ὅταν ἢ ψόγον ἢ ἔπαινον ἢ εὐχὰς ἢ κατάρας ἐθελήσωσιν αὐτῷ τίθεσθαι· μέγιστον δ' ἐξῆς, ὅταν ἡσυχάζωσιν ἐκεῖνοι, τὸ μηδὲν μέρος φύσεως λογικῆς ἀμέτοχον εὐεργεσίας ἀπολείπεσθαι· λέγει γὰρ ὅτι „ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς“ (Gen. 12, 3). ἔστι δὲ τοῦτο δογματικώτατον· ἐὰν γὰρ ὁ νοῦς ἄνοσος καὶ ἀπήμων 119
διατελῇ, ταῖς περὶ αὐτὸν ἁπάσαις φυλαῖς τε καὶ δυνάμεσιν ὑγιαινούσαις χρῆται, ταῖς τε καθ' ὅρασιν καὶ ἀκοὴν καὶ ὅσαι αἰσθητικαὶ καὶ πάλιν ταῖς κατὰ τὰς ἡδονάς τε καὶ ἐπιθυμίας καὶ ὅσαι ἀντὶ παθῶν εἰς εὐπάθειαν μεταχαράττονται. ἤδη μέντοι καὶ οἶκος καὶ πόλις καὶ χώρα καὶ 120
ἔθνη καὶ κλίματα γῆς ἑνὸς ἀνδρὸς καλοκἀγαθίας προμηθουμένου μεγάλης ἀπήλαυσαν εὐδαιμονίας, καὶ μάλισθ' ὅτῳ μετὰ γνώμης ἀγαθῆς ὁ θεὸς καὶ δύναμιν ἔδωκεν ἀνανταγώνιστον, ὡς μουσικῷ καὶ παντὶ τεχνίτῃ τὰ κατὰ μουσικὴν καὶ πᾶσαν τέχνην ὄργανα ἢ ξύλων ὕλην πυρί. τῷ 121
γὰρ ὄντι ἔρεισμα τοῦ γένους τῶν ἀνθρώπων ἐστὶν ὁ δίκαιος, καὶ ὅσα
p. 455 M. μὲν αὐτὸς ἔχει, προφέρων εἰς μέσον ἐπ' ὠφελείᾳ τῶν | χρησομένων ἄφθονα δίδωσιν, ὅσα δ' ἂν μὴ εὑρίσκῃ παρ' ἑαυτῷ, τὸν μόνον πάμπλουτον αἰτεῖται θεόν· ὁ δὲ τὸν οὐράνιον ἀνοίξας θησαυρὸν ὀμβρεῖ καὶ ἐπινίφει τὰ ἀγαθὰ ἀθρόα, ὡς τῶν περιγείων ἁπάντων τὰς δεξαμενὰς πλημμυρούσας ἀναχυθῆναι. ταῦτα δὲ τὸν ἱκέτην ἑαυτοῦ λόγον οὐκ 122
ἀποστραφεὶς εἴωθε δωρεῖσθαι· λέγεται γὰρ ἑτέρωθι Μωυσέως ἱκετεύσαντος· „ἵλεως αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου“ (Num. 14, 20)· τοῦτο δέ, ὡς ἔοικεν, ἰσοδυναμεῖ τῷ „ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.“ οὗ χάριν καὶ ὁ σοφὸς Ἀβραὰμ πεπειραμένος τῆς ἐν ἅπασι

---

2 φλων] φλω MA ἀνόθων L 4 μὴ δὲ νοῦν A 5 τὰς] ταῖς H² διεξόδοις H² 6 διάνοιαν A: διανοία M(?)HP 8 συντυγχάνει H 11 εὐλογίας coni. Mang. 14 αὐτὸν v 15 ὅσα αἰσθητικὰ H 18 προμηθουμένων A 19 ἀπέλαυσαν M 20 ἀνταγώνιστον H¹P 21 ξύλων ἢ ὕλην A 26 ἐπιγείων P 27 ἀναχεθῆναι H¹ 28 Μωυσέως M: Μωυσέος AHP 30 ἰσοδυναμοῖ M 31 Ἀβραὰμ HP

τοῦ θεοῦ χρηστότητος πεπίστευκεν ὅτι, κἂν πάντα τὰ ἄλλα ἀφανισθῇ, μικρὸν δέ τι λείψανον ἀρετῆς ὥσπερ ἐμπύρευμα διασῴζηται, διὰ τὸ βραχὺ τοῦτο κἀκεῖνα οἰκτείρει, ὡς πεπτωκότα ἐγείρειν καὶ τεθνηκότα
123 ζωπυρεῖν (Gen. 18,24sqq.). σπινθὴρ γὰρ καὶ ὁ βραχύτατος ἐντυφόμενος, ὅταν καταπνευσθεὶς ζωπυρηθῇ, μεγάλην ἐξάπτει πυράν· καὶ τὸ βραχύτατον οὖν ἀρετῆς, ὅταν ἐλπίσι χρησταῖς ὑποθαλπόμενον ἀναλάμψῃ, καὶ τὰ τέως μεμυκότα καὶ τυφλὰ ἐξωμμάτωσε καὶ τὰ ἀφαυανθέντα ἀναβλαστεῖν ἐποίησε καὶ ὅσα ὑπὸ ἀγονίας ἐστείρωτο εἰς εὐφορίαν εὐτοκίας περιήγαγεν. οὕτω τὸ σπάνιον ἀγαθὸν ἐπιφροσύνῃ θεοῦ πολὺ γίνε-
124 ται χεόμενον, ἐξομοιοῦν τὰ ἄλλα ἑαυτῷ. (22.) εὐχώμεθα οὖν τὸν ὡς ἐν οἰκίᾳ στῦλον νοῦν μὲν ἐν ψυχῇ, ἄνθρωπον δὲ ἐν τῷ γένει τῶν ἀνθρώπων τὸν δίκαιον διαμένειν εἰς τὴν τῶν νόσων ἄκεσιν· τούτου γὰρ ὑγιαίνοντος τὰς εἰς παντελῆ σωτηρίαν οὐκ ἀπογνωστέον ἐλπίδας, διότι οἶμαι ὁ σωτὴρ θεὸς τὸ πανακέστατον φάρμακον, τὴν ἴλεω δύναμιν, τῷ ἱκέτῃ καὶ θεραπευτῇ προτείνας ἑαυτοῦ χρῆσθαι πρὸς τὴν τῶν καμνόντων σωτηρίαν ἐπιτρέπει, καταπλάττοντι τῶν ψυχῆς τραυμάτων, ἅπερ ἀφροσύναι καὶ ἀδικίαι καὶ ὁ ἄλλος τῶν κακιῶν ὅμιλος ἀκονηθεὶς διεῖλεν.
125 ἐναργέστατον δὲ παράδειγμα Νῶε ὁ δίκαιος, ὃς τῷ μεγάλῳ κατακλυσμῷ τῶν τοσούτων μερῶν τῆς ψυχῆς ἐγκαταποθέντων ἐρρωμένως ἐπικυματίζων καὶ ἐπινηχόμενος ὑπεράνω μὲν ἔστη τῶν δεινῶν ἁπάντων, διασωθεὶς δὲ μεγάλας καὶ καλὰς ἀφ' αὑτοῦ ῥίζας ἐβάλετο, ἐξ ὧν οἷα φυτὸν τὸ σοφίας ἀνεβλάστησε γένος· ὅπερ ἡμεροτοκῆσαν τοὺς τοῦ ὁρῶντος, Ἰσραήλ, τριττοὺς ἤνεγκε καρπούς, αἰῶνος μέτρα, τὸν Ἀβραάμ, τὸν
126 Ἰσαάκ, τὸν Ἰακώβ· καὶ γὰρ ἔστι καὶ ἔσται καὶ γέγονεν ἐν τῷ παντὶ ἀρετή, ἣν ἀκαιρίαι μὲν ἴσως ἀνθρώπων ἐπισκιάζουσιν, ὁ δὲ ὀπαδὸς θεοῦ καιρὸς ἀποκαλύπτει πάλιν, ἐν ᾧ καὶ ἡ φρόνησις ἀρρενογονεῖ Σάρρα, οὐ κατὰ τὰς χρονικὰς τοῦ ἔτους ὥρας, ἀλλὰ κατὰ τὰς ἀχρόνους ἀκμὰς καὶ εὐκαιρίας ἐπανθοῦσα· λέγεται γάρ· | „ἐπαναστρέφων ἥξω p. 456 M.
πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου“ (Gen. 18,10).

---

2 διὰ HP: δὴ M, om. A 3 οἰκτείρη PH¹, οἰκτερεῖ Mang. 4 καὶ] κἂν coni. Mang. 8 ἀγονίας Mang.: ἀγνοίας codd. 9 ἐπιφροσύνη M: ἐπ' εὐφροσύνη ΛHP 13 διότι scripsi: δι' οὗ ἔτι codd., διὰ τί; ὅτι coni. Cohn 15 οἰκέτῃ A 16 τῆς ψυχῆς HP 18 ὃς M: ὁ ΛHP 21 ἀφ' MA: ὑφ' HP αὑτοῦ M ἐβάλλετο v 22 τῆς σοφίας P ἐβλάστησε HP 23 περιττοὺς P Ἀβραάμ HP 25 ἦν] ὂν A 26 θεοῦ P: θεῶ MΛH 29 τὸν H²: om. ceteri

(23.) Περὶ μὲν οὖν τῶν δωρεῶν, ἃς καὶ τοῖς γενησομένοις τελείοις 127
καὶ δι' αὐτοὺς ὁ θεὸς ἑτέροις εἴωθε χαρίζεσθαι, δεδήλωται. λέγεται
δὲ ἑξῆς ὅτι „ἐπορεύθη Ἀβραὰμ καθάπερ ἐλάλησεν αὐτῷ κύριος“ (Gen.
12, 4). τοῦτο δέ ἐστι τὸ παρὰ τοῖς ἄριστα φιλοσοφήσασιν ἀδόμενον 128
τέλος, τὸ ἀκολούθως τῇ φύσει ζῆν· γίνεται δέ, ὅταν ὁ νοῦς εἰς τὴν
ἀρετῆς ἀτραπὸν ἐλθὼν κατ' ἴχνος ὀρθοῦ λόγου βαίνῃ καὶ ἕπηται θεῷ,
τῶν προστάξεων αὐτοῦ διαμεμνημένος καὶ πάσας ἀεὶ καὶ πανταχοῦ
ἔργοις τε καὶ λόγοις βεβαιούμενος. „ἐπορεύθη γάρ, καθὰ ἐλάλησεν 129
αὐτῷ κύριος“· τοῦτο δέ ἐστι τοιοῦτον· ὡς λαλεῖ ὁ θεὸς — λαλεῖ δὲ
παγκάλως καὶ ἐπαινετῶς —, οὕτως ὁ σπουδαῖος ἕκαστα δρᾷ τὴν ἀτρα-
πὸν εὐθύνων ἀμέμπτως τοῦ βίου, ὥστε τὰ ἔργα τοῦ σοφοῦ λόγων ἀδια-
φορεῖν θείων. ἑτέρωθι γοῦν φησιν ὅτι ἐποίησεν Ἀβραὰμ „πάντα τὸν 130
νόμον μου“ (Gen. 26, 5)· νόμος δὲ οὐδὲν ἄρα ἢ λόγος θεῖος προστάτ-
των ἃ δεῖ καὶ ἀπαγορεύων ἃ μὴ χρή, ὡς μαρτυρεῖ φάσκων ὅτι „ἐδέ-
ξατο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον“ (Deut. 33, 3. 4). εἰ τοίνυν λόγος
μέν ἐστι θεῖος ὁ νόμος, ποιεῖ δ' ὁ ἀστεῖος τὸν νόμον, ποιεῖ πάντως
καὶ τὸν λόγον· ὥσθ', ὅπερ ἔφην, τοὺς τοῦ θεοῦ λόγους πράξεις εἶναι
τοῦ σοφοῦ. τέλος οὖν ἐστι κατὰ τὸν ἱερώτατον Μωυσῆν τὸ ἕπεσθαι 131
θεῷ, ὡς καὶ ἐν ἑτέροις φησίν· „ὀπίσω κυρίου τοῦ θεοῦ σου πορεύσῃ“
(Deut. 13, 4), ⟨οὐ⟩ κινήσει χρώμενον τῇ διὰ σκελῶν — ἀνθρώπου μὲν

---

1 οὖν om. A 3 Ἀβραὰμ HP 6 ἕπηται] ἐπὶ τῶ A 7 ἀεὶ] ὁμοῦ L
8 γάρ ⟨φησι⟩ conicio 9 τοιοῦτον A: τοιοῦτο MHP 12 Ἀβραὰμ HP
13 ἄρα] ἄλλο coni. Cohn 17 λόγου A 18 Μωσῆν codd. 20 οὐ Turn.:
om. codd. post κινήσει add. μὲν AH¹P χρώμενον MHP: χρώμενος A

---

3 sqq. *Ambrosius De Abraham II 2,5:* „exiit Abraham, quemadmodu.n locutus est ei dominus“. hinc ferunt gentiles septem sapientum sententiam „sequere deum“ quasi inventum suum, cum longe anterior, non dico Abraham, sed Moyses fuerit, per quem lex data est, dicens: „post dominum deum tuum ambulabis“ *(cf. Philonem lin. 19). cf. ibidem I 2,4. Clemens Strom. II 69,70 p. 465 P* ταύτῃ πλέον ἐπαινετὸς ὁ Ἀβραάμ, ὅτι „ἐπορεύθη καθάπερ ἐλάλησεν αὐτῷ ὁ κύριος“. ἐντεῦθεν ἁρυσάμενός τις τῶν παρ' Ἕλλησι σοφῶν τὸ „ἕπου θεῷ“ ἀπεφθέγξατο. *II 100 p. 482 P:* φησὶ γὰρ ὁ νόμος· „ὀπίσω κυρίου τοῦ θεοῦ ὑμῶν πορεύεσθε καὶ τὰς ἐντολάς μου φυλάξατε“ .... *101* ἐντεῦθεν καὶ οἱ Στωϊκοὶ τὸ ἀκολούθως τῇ φύσει ζῆν τέλος εἶναι ἐδογμάτισαν. *V 95. 96 p. 703 P:* ἑτέρῳ δ' εἰ βούλει παραλαβεῖν ὀνόματι τὴν ἐξομοίωσιν, εὕροις ἂν παρὰ τῷ Μωυσεῖ ἀκολουθίαν ὀνομαζομένην θείαν. φησὶ γάρ· „ὀπίσω κυρίου τοῦ θεοῦ ὑμῶν πορεύεσθε καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξατε“ .... ἐντεῦθεν οἱ μὲν Στωϊκοὶ τὸ τέλος τῆς φιλοσοφίας τὸ ἀκολούθως τῇ φύσει ζῆν εἰρήκασι .... 19—21 *Origenes Contra Celsum VII 34 p. 717:* τὸ ἕπεσθαι οὖν πρὸς τὸν θεὸν οὐ σωματικῶς προστέτακται ἡμῖν τὸ (τῷ?) „ὀπίσω κυρίου τοῦ θεοῦ σου πορεύσῃ“ ....

γὰρ ὄχημα γῆ, θεοῦ δὲ εἰ καὶ σύμπας ὁ κόσμος, οὐκ οἶδα —, ἀλλ' ἔοικεν ἀλληγορεῖν τὴν τῆς ψυχῆς πρὸς τὰ θεῖα δόγματα παριστὰς ἀκολουθίαν, ὧν ἡ ἀναφορὰ πρὸς τὴν τοῦ πάντων αἰτίου γίνεται τιμήν.
132 (24.) ἐπιτείνων δὲ τὸν ἀκάθεκτον πόθον τοῦ καλοῦ παραινεῖ καὶ κολλᾶσθαι αὐτῷ· „κύριον" γάρ φησι „τὸν θεόν σου φοβηθήσῃ καὶ αὐτῷ λατρεύσεις καὶ πρὸς αὐτὸν κολληθήσῃ" (Deut. 10, 20). τίς οὖν ἡ κόλλα; τίς; εὐσέβεια δήπου καὶ πίστις· ἁρμόζουσι γὰρ καὶ ἑνοῦσιν αἱ ἀρεταὶ ἀφθάρτῳ φύσει διάνοιαν· καὶ γὰρ Ἀβραὰμ πιστεύσας „ἐγγίζειν
133 θεῷ" (Gen. 18, 23) λέγεται. ἐὰν μέντοι πορευόμενος μήτε κάμῃ, ὡς ὑπενδοὺς ὀκλάσαι, μήτε ῥᾳθυμήσῃ, ὡς παρ' ἑκάτερα ἐκτραπόμενος πλανᾶσθαι τῆς μέσης καὶ εὐθυτενοῦς διαμαρτὼν ὁδοῦ, μιμησάμενος δὲ τοὺς ἀγαθοὺς δρομεῖς τὸ στάδιον ἀπταίστως ἀνύσῃ τοῦ βίου, στεφάνων
134 καὶ ἄθλων ἐπαξίων τεύξεται πρὸς τὸ τέλος ἐλθών. ἢ οὐ τοῦτ' εἰσὶν οἱ στέφανοι καὶ τὰ ἆθλα, μὴ ἀτυχῆσαι τοῦ | τέλους τῶν πονηθέντων, p. 457 M.
ἀλλ' ἐφικέσθαι τῶν δυσεφίκτων φρονήσεως περάτων; τί οὖν τοῦ φρονεῖν ὀρθῶς ἐστι τέλος; ἀφροσύνην ἑαυτοῦ καὶ παντὸς τοῦ γενητοῦ καταψηφίσασθαι· τὸ γὰρ μηδὲν οἴεσθαι εἰδέναι πέρας ἐπιστήμης, ἑνὸς ὄντος
135 μόνου σοφοῦ τοῦ καὶ μόνου θεοῦ. διὸ καὶ παγκάλως Μωυσῆς καὶ πατέρα τῶν ὅλων καὶ ἐπίσκοπον τῶν γενομένων αὐτὸν εἰσήγαγεν εἰπών· „εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν" (Gen. 1,31)· οὐδενὶ γὰρ ἐξῆν τὰ συσταθέντα κατιδεῖν ἄκρως ὅτι μὴ τῷ πεποιηκότι.
136 πάριτε νῦν οἱ τύφου καὶ ἀπαιδευσίας καὶ πολλῆς ἀλαζονείας γέμοντες, οἱ δοκησίσοφοι καὶ μὴ μόνον ὅ ἐστιν ἕκαστον εἰδέναι σαφῶς ἐπιφάσκοντες, ἀλλὰ καὶ τὰς αἰτίας προσαποδιδόναι διὰ θρασύτητα τολμῶντες, ὥσπερ ἢ τῇ τοῦ κόσμου γενέσει παρατυχόντες καὶ ὡς ἕκαστα καὶ ἐξ ὧν ἀπετελεῖτο κατιδόντες ἢ σύμβουλοι περὶ τῶν κατασκευαζομένων τῷ
137 δημιουργῷ γενόμενοι. εἶτα τῶν ἄλλων ἅπαξ ἁπάντων μεθέμενοι γνωρίσατε ἑαυτοὺς καὶ οἵτινές ἐστε σαφῶς εἴπατε, κατὰ τὸ σῶμα, κατὰ τὴν ψυχήν, κατὰ τὴν αἴσθησιν, κατὰ τὸν λόγον, καθ' ἕν τι κἂν τὸ βραχύτατον τῶν εἰδῶν. τί ἐστιν ὅρασις ἀποφήνασθε καὶ πῶς ὁρᾶτε, τί ἀκοὴ καὶ πῶς

---

2 παριστᾶν A 5 φησὶν αὐτῶ τὸν M αὐτῷ] αὐτῷ μόνῳ v 7 ἁρμόζονται A ⟨αὗται⟩ αἱ coni. Mang. 8 Ἀβραὰμ AHP 10 ὡς παρ'] ὥσπερ A ἐκτρεπόμενος A 11 εὐθυγενοῦς A ἁμαρτὼν P 12 ἀνύσει M 13 ἢ H²: οἱ εἰ ceteri τοιοῦτ' A, τοῦτ' P 16 γεννητοῦ H 17 μὴ δὲ M 18 Μωσῆς codd. 19 ἐπίκρισιν H² 23. 24 ἐπιφάσκοντες scripsi: ἔτι φάσκοντες codd. 24 προσαποδοῦναι H 27 γινόμενοι HP ἁπαξαπάντων AHP 29 κἂν HP: καὶ MA τῶν om. L 30 ἀποφήνασθαι A

ἀκούετε, τί γεῦσις, τί ἁφή, τί ὄσφρησις καὶ πῶς καθ' ἑκάστην ἐνεργεῖτε
ἢ τίνες εἰσὶν αἱ τούτων πηγαί, ἀφ' ὧν καὶ τὸ εἶναι ταῦτα συμβέβηκε.
μὴ γάρ μοι περὶ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ὅσα κατ' οὐρανὸν 138
καὶ κόσμον οὕτως μακρὰν διῳκισμένων καὶ τὰς φύσεις διαφερόντων
ἀερομυθεῖτε, ὦ κενοὶ φρενῶν, πρὶν ἑαυτοὺς ἐρευνῆσαι καὶ γνῶναι.
τηνικαῦτα γὰρ ἴσως καὶ περὶ ἑτέρων διεξιοῦσι πιστευτέον· πρὶν δὲ οἵτινές
ἐστε [αὐτοὶ παραστῆσαι, μὴ νομίζετε κριταὶ τῶν ἄλλων ἢ μάρτυρες
ἀψευδέστατοί ποτε γενήσεσθαι. (25.) τούτων δὴ τοῦτον ἐχόντων τὸν 139
τρόπον τελειωθεὶς ὁ νοῦς ἀποδώσει τὸ τέλος τῷ τελεσφόρῳ θεῷ κατὰ
τὸ ἱερώτατον γράμμα· νόμος γάρ ἐστι τὸ τέλος εἶναι κυρίου (Num.
31, 28 sqq.). πότε οὖν ἀποδίδωσιν; ὅταν „ἐπὶ τὸν τόπον ὃν εἶπεν
αὐτῷ ὁ θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ“ παραγένηται (Gen. 22, 3), παρελθὼν
τὰς πλείους μοίρας τῶν χρονικῶν διαστημάτων καὶ ἤδη πρὸς τὴν ἄχρο-
νον μεταβαίνων φύσιν· τότε γὰρ καὶ τὸν ἀγαπητὸν υἱὸν ἱερουργήσει, 140
οὐχὶ ἄνθρωπον — οὐ γὰρ τεκνοκτόνος ὁ σοφός —, ἀλλὰ τὸ τῆς ἀρε-
τώσης ψυχῆς γέννημα ἄρρεν, τὸν ἐπανθήσαντα καρπὸν αὐτῇ, ὃν πῶς
ἤνεγκεν οὐκ ἔγνω, βλάστημα θεῖον, οὗ φανέντος ἡ δόξασα κυοφορῆσαι
τὴν ἄγνοιαν τοῦ συμβάντος ἀγαθοῦ διηγεῖται φάσκουσα· „τίς ἀναγγελεῖ
Ἀβραὰμ“ ὡς ἀπιστοῦντι δήπου περὶ τὴν τοῦ αὐτομαθοῦς γένους ἀνα-
τολήν, ὅτι „θηλάζει παιδίον Σάρρα“ (Gen. 21, 7), οὐχὶ πρὸς Σάρρας
p. 458 M. θηλάζεται; τὸ γὰρ αὐτοδίδακτον τρέφεται μὲν ὑπ' οὐδενός, | τροφὴ δ'
ἐστὶν ἄλλων, ἅτε ἱκανὸν διδάσκειν καὶ μανθάνειν οὐ δεόμενον. „ἔτεκον 141
γὰρ υἱόν“, οὐχ ὡς γυναῖκες Αἰγύπτιαι κατὰ τὴν τοῦ σώματος ἀκμήν
(Exod. 1, 19), ἀλλ' ὡς αἱ Ἑβραῖαι ψυχαί, „ἐν τῷ γήρᾳ μου“ (Gen.
21, 7), ὅτε τὰ μὲν ὅσα αἰσθητὰ καὶ θνητὰ μεμάρανται, τὰ δὲ νοητὰ
καὶ ἀθάνατα ἀνήβηκεν, ἃ γέρως καὶ τιμῆς ἐστιν ἐπάξια. καὶ ἔτεκον 142
μαιευτικῆς τέχνης οὐ προσδεηθεῖσα· τίκτομεν γὰρ καὶ πρὶν εἰσελθεῖν
τινας ἐπινοίας καὶ ἐπιστήμας ἀνθρώπων πρὸς ἡμᾶς ἄνευ τῶν ἐξ ἔθους
συνεργούντων, σπείροντος καὶ γεννῶντος θεοῦ τὰ ἀστεῖα γεννήματα, ἃ
τῷ δόντι προσηκόντως κατὰ τὸν ἐπ' εὐχαριστίᾳ τεθέντα νόμον ἀπο-
δίδοται· „τὰ γὰρ δῶρά μου, δόματά μου, καρπώματά μου“ φησί

---

5 ἐρευνήσατε καὶ γνῶτε A 8 γενήσεσθε A δὴ] ἤδη A 16 ἀπανθή-
σαντα L ὃν MA: ὃ HP (ὅπως P) 17 ἡ om. v 18 τοῦ συμβάντος ἀγαθοῦ
τὴν ἄγνοιαν HP 19 Ἀβραάμ HP ἀπιστοῦντι Mang.: ἀπειθοῦντι codd.
20 Σάρραν coni. Mang. 21 δέ MA 23 αἱ Αἰγύπτιαι H²
29 ἃ om. H¹P¹ 30 δόντι Mang.: ἰδόντι MAH¹P, διδόντι H² εὐχαρι-
στεία H 31 φησίν HP

143 „διατηρήσατε προσφέρειν ἐμοί“ (Num. 28, 2). (26.) τοῦτ' ἐστὶ τὸ τέλος τῆς ὁδοῦ τῶν ἑπομένων λόγοις καὶ προστάξεσι νομίμοις καὶ ταύτῃ βαδιζόντων, ᾗ ἂν ὁ θεὸς ἀφηγῆται· ὁ δὲ ὑπενδοὺς ὑπὸ τοῦ πεινῶντος ἡδονῆς καὶ λίχνου παθῶν, ὄνομα Ἀμαλὴκ — ἑρμηνεύεται γὰρ λαὸς
144 ἐκλείχων —, ἐκτετμήσεται. μηνύουσι δὲ οἱ χρησμοὶ ὅτι λοχῶν ὁ τρόπος οὗτος, ἐπειδὰν τὸ ἐρρωμενέστερον τῆς ψυχικῆς δυνάμεως κατίδῃ περαιωθέν, ὑπανιστάμενος τῆς ἐνέδρας τὸ κεκμηκὸς μέρος ὡς „οὐραγίαν κόπτει“ (Deut. 25, 17. 18). κάματος δ' ὁ μέν ἐστιν εὐένδοτος ἀσθένεια λογισμοῦ μὴ δυναμένου τοὺς ὑπὲρ ἀρετῆς ἀχθοφορῆσαι πόνους, ἐν ἐσχατιαῖς οὗτος εὑρισκόμενος εὐαλωτότατος, ὁ δέ ἐστιν ὑπομονὴ τῶν καλῶν, τὰ μὲν καλὰ ἀθρόα ἐρρωμένως ἀναδεχομένος, μηδὲν δὲ τῶν φαύλων, κἂν εἰ κουφότατον εἴη, βαστάσαι δικαιῶν, ἀλλ' ὡς βαρύ-
145 τατον ἄχθος ἀπορρίπτων. διὸ καὶ τὴν ἀρετὴν ὁ νόμος εὐθυβόλῳ προσεῖπεν ὀνόματι Λείαν, ἥτις ἑρμηνευθεῖσα λέγεται κοπιῶσα· τὸν γὰρ τῶν φαύλων βίον ἐπαχθῆ καὶ βαρὺν ὄντα φύσει κοπώδη προσηκόντως αὕτη νενόμικε καὶ οὐδὲ προσιδεῖν ἀξιοῖ, τὰς ὄψεις πρὸς μόνον τὸ καλὸν
146 ἀποκλίνουσα. σπουδαζέτω δ' ὁ νοῦς μὴ μόνον ἀνενδότως καὶ εὐτόνως ἕπεσθαι θεῷ, ἀλλὰ καὶ τὴν εὐθεῖαν ἀτραπὸν ἰέναι πρὸς μηδέτερα νεύων, μήτε τὰ δεξιὰ μήτε τὰ εὐώνυμα, οἷς ὁ γήινος Ἐδὼμ ἐμπεφώλευκε, τοτὲ μὲν ὑπερβολαῖς καὶ περιουσίαις, τοτὲ δὲ ἐλλείψεσι καὶ ἐνδείαις χρώμενος. ἄμεινον γὰρ ὁδῷ τῇ μέσῃ βαδίζειν ἐστὶ τῇ πρὸς ἀλήθειαν βασιλικῇ (Num. 20,17), ἣν ὁ μέγας καὶ μόνος βασιλεὺς θεὸς
147 ταῖς φιλαρέτοις ψυχαῖς ηὗρυνεν ἐνδιαίτημα κάλλιστον. διὸ καί τινες τῶν τὴν ἥμερον καὶ κοινωνικὴν μετιόντων φιλοσοφίαν μεσότητας τὰς ἀρετὰς εἶπον εἶναι, ἐν μεθορίῳ στήσαντες αὐτάς, ἐπειδὴ τό τε ὑπέραυχον ἀλα-
ζονείας γέμον πολλῆς | κακὸν καὶ τὸ ταπεινοῦ καὶ ἀφανοῦς μεταποι- p. 459 M.
εῖσθαι σχήματος εὐεπίβατον, τὸ δὲ μεταξὺ ἀμφοῖν κεκραμένον ἐπιεικῶς ὠφέλιμον.

---

1 διατηρήσατε MA: καὶ τηρήσατε HP, διατηρήσετε conicio 2 πράξεσι L
4 λαὸν coni. Mang. 5 ἐκ λίθων AP^2 ἐκτέτμησαι A λόχον Λ
6 τὸ AH^{1}P: γὰρ τὸ MH^2 ἐρρωμενέστατον H 7 ὡς] εἰς coni. Mang. 8. 9 λογισμοῦ ἀσθένεια HP 9 ὑπὲρ Mang.: ὑπ' codd.
10 εὐαλώτατος Turn., εὐάλωτος Mang. ὁ] ὦ MA 12 κουφοτάτων H
13 εὐθυβόλως A 14 Λείαν H: Λεία MAP 16 νενόμικε καὶ οὐδὲ H^2: νενόμικεν οὐδὲ MAH^{1}P 19. 20 γήινος δεδωκέναι πέφυκεν A
23 εὔρυνεν Cohn, post ηὗρυνεν lacunam statuit Mang. 24 μεσότητα H
26 τὸ scripsi: τοῦ codd.

(27.) Τὸ δὲ „ᾤχετο μετ' αὐτοῦ Λὼτ“ (Gen. 12, 4) τίνα ἔχει 148
λόγον σκεπτέον. ἔστι μὲν οὖν Λὼτ ἑρμηνευθεὶς ἀπόκλισις· κλίνεται
δὲ ὁ νοῦς τοτὲ μὲν τἀγαθόν, τοτὲ δ' αὖ τὸ κακὸν ἀποστρεφόμενος.
ἄμφω δὲ ταῦτα πολλάκις περὶ ἕνα καὶ τὸν αὐτὸν θεωρεῖται· εἰσὶ γάρ
τινες ἐνδοιασταὶ καὶ ἐπαμφοτερισταί, πρὸς ἑκάτερον τοῖχον ὥσπερ σκάφος
ὑπ' ἐναντίων πνευμάτων διαφερόμενον ἀποκλίνοντες ἢ καθάπερ ἐπὶ
πλάστιγγος ἀντιρρέποντες, ἐφ' ἑνὸς στηριχθῆναι βεβαίως ἀδυνατοῦντες,
ὧν οὐδὲ τὴν ἐπὶ τὰ ἀμείνω τροπὴν ἐπαινετέον· φορᾷ γάρ, ἀλλ' οὐ
γνώμῃ γίνεται. τούτων καὶ ὁ Λὼτ ἐστι θιασώτης, ὃν φησιν οἴχεσθαι 149
μετὰ τοῦ σοφίας ἐραστοῦ. καλὸν δ' ἦν ἀρξάμενον ἐκείνῳ παρακολου-
θεῖν ἀπομαθεῖν ἀμαθίαν καὶ μηκέτι παλινδρομῆσαι πρὸς αὐτήν. ἀλλὰ
γὰρ οὐχ ἕνεκα τοῦ μιμησάμενον τὸν ἀμείνω βελτιωθῆναι συνέρχεται,
ἀλλ' ὑπὲρ τοῦ κἀκείνῳ παρασχεῖν ἀντισπάσματα καὶ μεθολκὰς καὶ κατὰ
τὴν ἔνθεν ὀλίσθους. τεκμήριον δέ· ὁ μὲν ἐπὶ τὴν ἀρχαίαν ὑποτρο- 150
πιάσας νόσον οἰχήσεται ληφθεὶς αἰχμάλωτος ὑπὸ τῶν ἐν ψυχῇ πολε-
μίων, ὁ δὲ τὰς ἐξ ἐνέδρας ἐπιβουλὰς αὐτοῦ φυλαξάμενος πάσῃ μηχανῇ
διοικισθήσεται. τὸν δὲ διοικισμὸν αὖθις μέν, οὔπω δὲ ποιήσεται. νῦν
μὲν γὰρ τὰ θεωρήματα αὐτῷ ὡς ἂν ἄρτι ἀρχομένῳ τῆς θείας θεωρίας
πλαδᾷ καὶ σαλεύει· ὅταν δ' ἤδη παγέντα κραταιότερον ἱδρυθῇ, δυνή-
σεται τὸ δελεάζον καὶ κολακεῦον ὡς ἐχθρὸν ἀκατάλλακτον καὶ δυσθή-
ρατον φύσει διαζεῦξαι. τοῦτο γὰρ ἔσθ' ὃ δυσαπότριπτον ὂν παρέπεται 151
ψυχῇ κωλῦον αὐτὴν πρὸς ἀρετὴν ὠκυδρομεῖν· τοῦθ', ἡνίκα καὶ τὴν

---

1 ἐν ἄλλοις ἀπ' ὧδε λόγος δεύτερος περὶ ἀποικίας mg. H μετὰ τοῦ HP 2 ἀπο-
κλίνεται coni. Mang. 3 αὖ τὸ H: αὐτὸ MAP 6 ὑπὸ HP 7 ἐφ'] ὑφ' A
8 ῥοπὴν coni. Mang. 9 θιασώτης Mang.: θεατής codd. 13 κἀκεῖνο P, κἀκεί-
νου A 13. 14 κατὰ τὴν (καταγὴν L) ἔνθεν ὀλίσθους corrupta, κατάγειν ἔνθεν ὄλισθος
v, κατὰ τὴν ὁδὸν ἐμποιεῖν (ἐνθεῖναι Cohn) ὀλίσθους conicio 14 ἐπὶ Mang.: ὑπὸ
codd. 19 σαλεύη APH¹ δ' εἰδεῖ A (δ' εἰ in ras.) 20. 21 δυσθεράπευτον
coni. Mang. 21 δυσαπότρεπτον coni. Mang. 22 κολῦον M 22. 298,1 καὶ
τὴν Αἴγυπτον om. MA

---

1 sqq. *Ambrosius De Abraham II 2, 6*: unde et addidit „et exivit cum eo Lot“, hoc est declinatio. id enim nominis significat interpretatio, eo quod, ut viantes incognitam carpentes viam semitis aliquibus saepe falluntur, ut a directo deflectant tramite, et tamen, si prudentes sunt, non deviant, sed cunctabundi licet regionis ipsius contuitu viam colligunt, ita et Abraham nutabundus quidem tamen tramitem veri sequebatur. ducebatur plerumque falsa specie bonorum, sed non penitus inclinabatur. perfecti est enim non deflectere, prudentis non penitus declinare. *6,25* declinatio enim dicitur Lot .... declinat autem quisque aut bonum aut malum.

Αἴγυπτον ἀπελείπομεν, τὴν σωματικὴν χώραν ἅπασαν, ἀπομαθεῖν τὰ πάθη σπουδάσαντες κατὰ τὰς τοῦ προφήτου λόγου, Μωυσέως, ὑφηγήσεις, ἠκολούθησεν ἡμῖν, ἐλλαμβανόμενον τῆς περὶ τὴν ἔξοδον σπουδῆς
152 καὶ τῷ τάχει τῆς ἀπολείψεως ὑπὸ φθόνου βραδυτῆτας ἐμποιοῦν· λέγεται γὰρ ὅτι „καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα καὶ βόες καὶ κτήνη πολλὰ σφόδρα“ (Exod. 12, 38), ὁ δὲ ἐπίμικτος οὗτος ἦν τὰ κτηνώδη καὶ ἄλογα τῆς ψυχῆς, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δόγματα. (28.) παγκάλως δὲ καὶ εὐθυβόλως τὴν τοῦ φαύλου ψυχὴν ἐπίμικτον καλεῖ· συνηρημένη γὰρ καὶ συμπεφορημένη καὶ μιγὰς ὄντως ἐκ πλειόνων καὶ μαχομένων δοξῶν, μία μὲν οὖσα ἀριθμῷ, μυριὰς δὲ τῷ πολυ-
153 τρόπῳ. διὸ καὶ τῷ ἐπίμικτος πρόσκειται πολύς· ὁ μὲν γὰρ πρὸς ἓν μόνον ἀφορῶν ἁπλοῦς καὶ | ἀμιγὴς καὶ λεῖος ὄντως, ὁ δὲ πολλὰ τέλη p. 460 M.
τοῦ βίου προτιθέμενος πολὺς καὶ μιγὰς καὶ δασὺς ἀληθείᾳ. οὗ χάριν οἱ χρησμοὶ τὸν μὲν ἀσκητὴν τῶν καλῶν Ἰακὼβ λεῖον, τὸν δὲ τῶν
154 αἰσχίστων Ἡσαῦ δασὺν εἰσάγουσι (Gen. 27, 11). διὰ τὸν ἐπίμικτον καὶ δασὺν τοῦτον ὄχλον ἐκ μιγάδων καὶ συγκλύδων συμπεφυρμένον δοξῶν ὠκυδρομῆσαι δυνάμενος ὁ νοῦς, ὅτε τὴν σωματικὴν χώραν ἀπεδίδρασκεν Αἴγυπτον, καὶ τρισὶν ἡμέραις (Gen. 22, 3) διαδέξασθαι τὸν ἀρετῆς κλῆρον φωτὶ τρισσῷ, μνήμῃ τῶν παρεληλυθότων καὶ ἐναργείᾳ τῶν παρόντων καὶ τῇ τῶν μελλόντων ἐλπίδι, τεσσαράκοντα ἐτῶν ἀριθμόν,
μῆκος τοσούτου χρόνου, τρίβεται τὴν ἐν κύκλῳ περιάγων καὶ ἀλώμενος ἕνεκα τοῦ πολυτρόπου, τὴν ἐπ' εὐθείας ἀνυσιμωτάτην οὖσαν δέον.
155 οὗτός ἐστιν ὁ μὴ μόνον ὀλίγοις εἴδεσιν ἐπιθυμίας χαίρων, ἀλλὰ μηδὲν τὸ παράπαν ἀπολιπεῖν δικαιῶν, ἵνα ὅλον δι' ὅλων τὸ γένος, ᾧ πᾶν εἶδος ἐμφέρεται, μετέρχηται· λέγεται γὰρ ὅτι „ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν“ αὐτοῦ τοῦ γένους, οὐχ ἑνός τινος τῶν εἰδῶν, „καὶ καθίσαντες ἔκλαιον“ (Num. 11, 4). συνίησι γὰρ ὀλιγοδρανοῦσα

---

1 ἀπελείπομεν scripsi: ἀπολείπομεν HP, ἀπολιπομένην M, ἀπολειπομένων A
2 τὰς scripsi: τοὺς codd. τοῦ om. H λόγου P: λόγους ceteri
Μωυσέος AHP post Μωυσέως add. καὶ H^2 3 ἐνλαμβανόμενον
MA 4 ἀπολήψεως A 9 συμπεφυρμένη A 11 τῷ A: τὸ MHP
⟨τὸ⟩ πολὺς coni. Cohn 12 ὄντως] οὗτος A 13 μιγὰς H^2: μέγας ceteri
15 Ἡσαῦ AHP: om. M δασὺν om. A διὸ P 16 συγκλιδῶν συμπεφυρμένων A 19 ἐναργείᾳ Mang.: ἐνεργείᾳ codd. 21 τρίβεται H^2: οὐ τρίβεται ceteri ἀλλόμενος A 22 ἀληθείας L δέον ⟨βαδίζειν⟩ conicio
23 μηδὲ H^1P 25 ἐκφέρεται H^2 ut vid., v μετέρχηται om. A
26 ἐπιθυμίαν A: ἐπιθυμίας MHP αὐτοῦ H^2: αὐτῆς ceteri 27 συνίησι Mang.: σύνεισι codd.

ἡ διάνοια καί, ὁπότε μὴ δύναται τυχεῖν ὧν ὀρέγεται, δακρύει καὶ στενάζει· καίτοι ὤφειλε χαίρειν παθῶν καὶ νοσημάτων ἀτυχοῦσα καὶ μεγάλην εὐπραγίαν νομίζειν τὴν ἔνδειαν καὶ ἀπουσίαν αὐτῶν. ἀλλὰ γὰρ 156
καὶ τοῖς χορευταῖς ἀρετῆς σφαδάζειν καὶ δακρύειν ἔθος, ἢ τὰς τῶν
5 ἀφρόνων ὀδυρομένοις συμφορὰς διὰ τὸ φύσει κοινωνικὸν καὶ φιλάνθρωπον ἢ διὰ περιχάρειαν. γίνεται δὲ αὕτη, ὅταν ἀθρόα ἀγαθὰ μηδὲ προσδοκηθέντα ποτὲ αἰφνίδιον ὀμβρήσαντα πλημμυρῇ· ἀφ' οὗ καὶ τὸ ποιητικὸν εἰρῆσθαί μοι δοκεῖ „δακρυόεν γελάσασα“· προσπεσοῦσα γὰρ 157
ἐκ τοῦ ἀνελπίστου ἡ εὐπαθειῶν ἀρίστη χαρὰ ψυχῇ μείζονα αὐτὴν ἢ
10 πρότερον ἦν ἐποίησεν, ὡς διὰ τὸν ὄγκον μηκέτι χωρεῖν τὸ σῶμα, θλιβόμενον δὲ καὶ πιεζόμενον ἀποστάζειν λιβάδας, ἃς καλεῖν ἔθος δάκρυα, περὶ ὧν ἐν ὕμνοις εἴρηται· „ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων“ (Psalm. 79, 6) καὶ „ἐγένετο τὰ δάκρυά μοι ἄρτος ἡμέρας καὶ νυκτός“ (Psalm. 41, 4). τροφὴ γάρ ἐστι διανοίας τὰ τοῦ ἐνδιαθέτου καὶ σπουδαίου
15 γέλωτος ἐμφανῆ δάκρυα, ἐπειδὰν ὁ θεῖος ἐντακεὶς ἵμερος τὸν τοῦ γεννητοῦ θρῆνον ἄσμα εἰς τὸν ἀγένητον ὕμνου ποιήσῃ. (29.) ἔνιοι μὲν οὖν 158
τὸν μιγάδα καὶ δασὺν τοῦτον ἀπορρίπτουσι καὶ διατειχίζουσιν ἀφ' ἑαυ-
p. 461 M. τῶν τῷ θεοφιλεῖ | μόνῳ γένει χαίροντες· ἔνιοι δὲ καὶ πρὸς αὐτὸν ἑταιρίαν τίθενται, μεσιτεύειν τὸν ἑαυτῶν βίον ἀξιοῦντες καὶ μεθόριον ἀν-
20 θρωπίνων τε καὶ θείων ἀρετῶν τιθέντες, ἵν' ἑκατέρων ἐφάπτωνται, καὶ τῶν ἀληθείᾳ καὶ τῶν δοκήσει. τούτου τοῦ δόγματος ὁ πολιτευόμενος 159
ἐστι τρόπος, ὃν Ἰωσὴφ ὀνομάζειν ἔθος, ᾧ συναπέρχονται μέλλοντι τὸν πατέρα κηδεύειν „πάντες οἱ παῖδες Φαραὼ καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ καὶ πάντες οἱ πρεσβύτεροι τῆς Αἰγύπτου καὶ πᾶσα ἡ πα-
25 νοικία αὐτοῦ Ἰωσὴφ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ“ (Gen. 50, 7. 8). ὁρᾷς ὅτι μέσος τῆς Φαραὼ καὶ τῆς πατρικῆς 160
οἰκίας ὁ πολιτικὸς οὗτος τάττεται, ἵνα καὶ τῶν κατὰ σῶμα, τὴν Αἴγυπτον, καὶ τῶν κατὰ ψυχήν, ἅπερ ἐν τῷ πατρικῷ οἴκῳ θησαυροφυλα-

---

4 στενάζειν coni. Mang. 5 ἀφρόνων] ἀνθρώπων coni. Mang. 6 μηδὲν H 7 πλημμύρῃ P, πλημμυρεῖ H^2 10 ἦν om. A 12 εἴρεται P 13 τὰ M: μοι τὰ AHP μοι MHP: om. A, μου v 15. 16 γεννητοῦ A 16 ἀγένητον A, τοῦ ἀγεννήτου coni. Mang. ὕμνου MP: ὕμνον AH ποιήσῃ scripsi: ποιήσειεν codd. 17 διοικίζουσιν coni. Mang. 19 ἑταιρείαν H^2 μεσιτεύειν A: μεσεύειν MH^1P, μεθοδεύειν H^2 20 ἀρετῶν] ἀγαθῶν conicio 25 prius αὐτοῦ secl. Cohn 28 ἅπερ MAP^2: ἅπαν HP^1, ἃ πάντα v 28. 300,1 θησαυροφυλακῆται A

---

8 Hom. Z 484.

κεῖται, κατ' ἴσον ἐφάπτηται; ὅταν μὲν γὰρ λέγῃ „τοῦ θεοῦ εἰμι“ (Gen. 50, 19) καὶ τὰ ἄλλα ὅσα συγγενῆ τούτῳ, τοῖς τῆς πατρῴας οἰκίας ἐμμένει νομίμοις· ὅταν δὲ ἐπὶ „τὸ δευτερεῖον ἅρμα“ τοῦ βασιλεύειν νοῦ δοκοῦντος ἀνέρχηται, Φαραώ (Gen. 41, 43), τὸν Αἰγυπτιακὸν
161 πάλιν ἱδρύεται τῦφον. ἀθλιώτερος δ' ὁ νομιζόμενος ἐνδοξότερος εἶναι βασιλεύς, ὃς τῷ προηγουμένῳ τῶν ἁρμάτων ἐποχεῖται· τὸ γὰρ μὴ ἐν καλοῖς διαπρέπειν ἐπιφανέστατον αἶσχος, ὡς τὸ φέρεσθαι τὰ ἐν τούτοις
162 δευτερεῖα κουφότερον κακόν. τὸ μέντοι γε ἐπαμφοτερίζον αὐτοῦ καταμάθοις ἂν κἀκ τῶν ὅρκων οὓς πεποίηται, τοτὲ μὲν ὀμνὺς „νὴ τὴν ὑγείαν Φαραώ“ (Gen. 42, 16), τοτὲ δ' ἔμπαλιν οὐ τὴν ὑγείαν Φαραώ (Gen. 42, 15). ἀλλ' ὁ μὲν περιέχων τὴν ἀπόφασιν ὅρκος τῆς πατρικῆς ἂν εἴη διάταγμα οἰκίας ἀεὶ φονώσης κατὰ τοῦ πάθους καὶ βουλομένης αὐτὸ τεθνάναι, ὁ δ' ἕτερος Αἰγύπτου, ᾗ φίλον ἐστὶ τοῦτο σῴζεσθαι.
163 διόπερ καίτοι τοσαύτης πληθύος συνανιούσης ἐπίμικτον ὄχλον οὐκ εἶπεν, ἐπειδὴ τῷ μὲν ἄκρως ὁρατικῷ καὶ φιλαρέτῳ πᾶν ὃ μὴ ἀρετὴ ἢ ἀρετῆς ἔργον ἀναμεμῖχθαι καὶ συγκεχύσθαι δοκεῖ, τῷ δὲ ἔτι χαμαιζήλῳ καθ'
164 αὑτὰ τὰ γῆς ἄθλα ἀξιέραστα καὶ ἀξιοτίμητα νενόμισται. (30.) τὸν μὲν οὖν ὡς κηφῆνα τοὺς μὲν αὐτῶν ὠφελίμους πόνους λυμαίνεσθαι διεγνωκότα καὶ διὰ τοῦτο ἐπακολουθοῦντα διατειχιεῖ, καθάπερ ἔφην, ὁ φρονήσεως ἐραστής, τοὺς δὲ ἕνεκα μιμήσεως παρεπομένους κατὰ τὸν τῶν καλῶν ζῆλον ἀποδέξεται μοίρας αὐτοῖς τὰς ἁρμοττούσας δασάμενος· „τῶν“ γάρ φησι „συμπορευθέντων ἀνδρῶν μετ' ἐμοῦ Ἐσχώλ, Αὐνάν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα“ (Gen. 14, 24)· λέγει δὲ τοὺς εὐφυεῖς
165 τρόπους καὶ φιλοθεάμονας. ὁ μὲν γὰρ Ἐσχὼλ εὐφυΐας σύμβολον πυρὸς ἔχων ὄνομα, ἐπειδὴ καὶ τὸ | εὐφυὲς εὔτολμον καὶ ἔνθερμον καὶ ἐχό- p. 462 M.
μενον ὧν ἂν προσάψηται, ὁ δὲ Αὐνὰν τοῦ φιλοθεάμονος· ὀφθαλμοὶ γὰρ ἑρμηνεύεται τῷ καὶ τὰ ψυχῆς ὑπ' εὐθυμίας ὄμματα διοίγνυσθαι. τούτων δ' ἀμφοτέρων ἐστὶν ὁ θεωρητικὸς βίος κλῆρος, προσαγορευόμενος Μαμβρῆ, ὃ μεταληφθὲν ἀπὸ ὁράσεως καλεῖται· τῷ δὲ θεωρητικῷ τὸ
166 ὁρᾶν συνῳδόν τε καὶ οἰκειότατον. ἐπειδὰν δὲ τούτοις ἀλείπταις χρησά-

---

1 ἐφάπτηται scripsi: ἐφῆται MHP, ἐφεῖται A, ἐφίκηται coni. Mang. 2 τούτῳ H²: τούτων ceteri, quod servari potest, si lacunam lin. 1 post εἰμι statuas 3 ἐμμένειν A 5 ἐνδύεται coni. Mang. 7 τούτῳ HP 8 ἐπαμφοτερίζων A 9 ποτὲ P 12 φονούσης A 16 συγκεχεῖσθαι A δὲ MA, s. s. P²: δ' s. s. H 16. 17 καθ' αὑτὰ] καὶ αὐτὰ conicio 18 αὐτῷ H 19 διοικιεῖ coni. Mang. 21 αὐτῆς A τὰς om. HP¹ 22 Ἐσχώλ] ἐν σιχώλ Π² 25 καὶ ἔνθερμον om. MA 26 ἂν H: ἐὰν MAP 27 καὶ om. A ὑπὸ H²: ὑπὲρ ceteri διηγεῖσθαι A

μενος ὁ νοῦς μηδὲν ἐλλείπῃ τῶν πρὸς ἄσκησιν, συνομαρτεῖ καὶ συντρέχει τελείᾳ φρονήσει, μήθ' ὑπερέχων μήθ' ὑπερεχόμενος, ἀλλὰ ἰσαίτατα καὶ ἰσοστάσια βαίνων. δηλοῖ δὲ τὸ λόγιον ἐν ᾧ σαφῶς εἴρηται, διότι πορευθέντες ἀμφότεροι ἀνῆλθον „ἐπὶ τὸν τόπον ὃν εἶπεν ὁ θεός“ (Gen. 22, 3). ὑπερβάλλουσά γε ἰσότης ἀρετῶν, ἀμιλλησαμένων 167 πόνου μὲν πρὸς εὐεξίαν, τέχνης δὲ πρὸς τὴν αὐτοδίδακτον φύσιν, καὶ δυνηθέντων ἴσα τὰ ἄθλα τῆς ἀρετῆς ἐνέγκασθαι· ὥσπερ ἂν εἰ ζωγραφία καὶ πλαστικὴ μὴ μόνον ὡς νῦν ἀκίνητα καὶ ἄψυχα ἐδημιούργουν, ἴσχυον δὲ κινούμενά τε καὶ ἔμψυχα τὰ γραφόμενα καὶ πλαττόμενα ποιεῖν· ἐδόκουν γὰρ ἂν φύσεως ἔργων οὖσαι τὸ πάλαι μιμητικαὶ τέχναι φύσεις αὐταὶ γεγενῆσθαι τὰ νῦν. (31.) ὁ δὲ ἐπὶ τοσοῦτον ἄνω μετέω- 168 ρος ἐξαρθεὶς οὐδὲν ἔτι τῶν τῆς ψυχῆς μερῶν κάτω τοῖς θνητοῖς ἐνδιατρίβειν ἐάσει, πάντα δ' ὥσπερ ἐκ σειρᾶς ἐκκρεμασθέντα συνεπισπάσεται. διὸ καὶ λόγιον ἐχρήσθη τῷ σοφῷ τοιόνδε· „ἀνάβηθι πρὸς κύριόν σου, σὺ καὶ Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ καὶ ἑβδομήκοντα τῆς γερουσίας Ἰσραήλ“ (Exod. 24, 1). τοῦτο δέ ἐστι τοιοῦτον· ἀνάβηθι, 169 ὦ ψυχή, πρὸς τὴν τοῦ ὄντος θέαν εὐαρμόστως, λογικῶς, ἑκουσίως, ἀφόβως, ἀγαπητικῶς, ἐν ἀριθμοῖς ἁγίοις καὶ τελείοις ἑβδομάδος δεκαπλασασθείσης. Ἀαρὼν μὲν γὰρ προφήτης λέγεται Μωυσέως ἐν τοῖς νόμοις, ὁ γεγωνὸς λόγος προφητεύων διανοίᾳ, Ναδὰβ δὲ ἑκούσιος ἑρμηνεύεται, ὁ μὴ ἀνάγκῃ τιμῶν τὸ θεῖον, καὶ Ἀβιοὺδ πατήρ μου· οὗτος ὁ μὴ δι' ἀφροσύνην δεσπότου μᾶλλον ἢ πατρὸς διὰ φρόνησιν ἄρχοντος θεοῦ δεόμενος. αἵδ' εἰσὶν αἱ τοῦ βασιλεύειν ἀξίου νοῦ δορυφόροι δυνάμεις, ἃς συνέρ- 170 χεσθαι τῷ βασιλεῖ παραπεμπούσας αὐτὸν θέμις. ἀλλὰ γὰρ δέος ἐστὶν ἀναβαίνειν πρὸς τὴν τοῦ ὄντος θέαν ψυχῇ δι' ἑαυτῆς ἀγνοούσῃ τὴν ὁδόν, ὑπὸ ἀμαθίας ἅμα καὶ τόλμης ἐπαρθείσῃ — μεγάλα δὲ τὰ ἐξ ἀνεπιστημοσύνης καὶ πολλοῦ θράσους παραπτώματα —· διόπερ εὔχεται 171
p. 463 M. Μωυσῆς αὐτῷ τῷ θεῷ χρῆσθαι ἡγεμόνι πρὸς τὴν | πρὸς αὐτὸν ἄγουσαν ὁδόν· λέγει γάρ· „εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή με ἀναγάγῃς

---

1 ἐλλείπῃ Turn.: ἐλλείπει AHP, ἐλλίπῃ M συνομαρτῇ H¹P 4 δὴ ὅτι coni. Cohn 5 γε scripsi: τε codd. ἀμιλλησαμένων Cohn: ἀμίλλης ἀμείνων codd. 6 δὲ Turn.: τὲ codd. 7 ἴσα] εἰς A 8 ὡς νῦν M: om. AHP 10 ἔργων Turn.: ἔργον codd. 11 φύσις conicio αὐταὶ scripsi: αὗται codd. 13. 14 συνανασπάσεται Mang. 15 σου om. A Ναδὰμ H¹P ἑβδομήκοντα] ὁ (sic) A 18. 19 ἐν — δεκαπλασιασθείσης in mg. P 19 Μωυσέος AHP 20 γεγωνὸς Turn.: γεγονὼς codd. Ναδὰμ H, ut vid. 21 τιμῶν τὸ θεῖον ἀνάγκῃ HP 27 πτώματα M, πώματα A 29 συμπορεύῃ MA: συμπορεύσῃ HP ἀγάγῃς H

ἐντεῦθεν“ (Exod. 33, 15)· διότι πᾶσα κίνησις ἡ ἄνευ θείας ἐπιφροσύνης ἐπιζήμιον, καὶ ἄμεινον ἐνταυθοῖ καταμένειν τὸν θνητὸν βίον ἀλητεύοντας, ὡς τὸ πλεῖστον ἀνθρώπων γένος, ἢ πρὸς τὸν οὐρανὸν ἐξάραντας ἑαυτοὺς ὑπὸ ἀλαζονείας ἀνατραπῆναι· καθάπερ μυρίοις συνέβη τῶν σοφιστῶν, οἵτινες ᾠήθησαν σοφίαν πιθανὴν εἶναι λόγων εὕρεσιν, ἀλλ’
172 οὐ πραγμάτων ἀληθεστάτην πίστιν. ἴσως δὲ καὶ τοιοῦτόν τι δηλοῦται· μή με ἄνω μετέωρον ἐξάρῃς, πλοῦτον ἢ δόξαν ἢ τιμὰς ἢ ἀρχὰς ἢ ὅσα ἄλλα τῶν ἐν ταῖς λεγομέναις εὐτυχίαις δωρησάμενος, εἰ μὴ μέλλοις αὐτὸς συνέρχεσθαι. ταῦτα γὰρ καὶ ζημίας καὶ ὠφελείας μεγίστας πολλάκις περιποιεῖται τοῖς ἔχουσιν, ὠφελείας μέν, ὅταν ἀφηγῆται τῆς γνώμης ὁ θεός, βλάβας δέ, ὅταν τοὐναντίον· μυρίοις γὰρ τὰ λεγόμενα
173 ἀγαθὰ πρὸς ἀλήθειαν οὐκ ὄντα κακῶν ἀνηκέστων γέγονεν αἴτια. ὁ δὲ ἑπόμενος θεῷ κατὰ ταναγκαῖον συνοδοιπόροις χρῆται τοῖς ἀκολούθοις αὐτοῦ λόγοις, οὓς ὀνομάζειν ἔθος ἀγγέλους· λέγεται γοῦν ὅτι „Ἀβραὰμ συνεπορεύετο συμπροπέμπων αὐτούς“ (Gen. 18, 16). ὧ παγκάλης ἐπανισώσεως, καθ’ ἣν ὁ παραπέμπων παρεπέμπετο, διδοὺς δ ἐλάμβανεν, οὐκ ἀνθ’ ἑτέρου ἕτερον, ἀλλὰ ἓν αὐτὸ μόνον ἐκεῖνο τὸ πρὸς τὰς ἀντι-
174 δόσεις ἕτοιμον. ἕως μὲν γὰρ οὐ τετελείωται, ἡγεμόνι τῆς ὁδοῦ χρῆται λόγῳ θείῳ· χρησμὸς γάρ ἐστιν· „ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν ἣν ἡτοίμασά σοι. πρόσεχε αὐτῷ καὶ εἰσάκουε αὐτοῦ, μὴ ἀπείθει αὐτῷ· οὐ γὰρ μὴ ὑποστείληταί σε· τὸ γάρ ὄνομά μού ἐστιν
175 ἐπ’ αὐτῷ“ (Exod. 23, 20. 21). ἐπειδὰν δὲ πρὸς ἄκραν ἐπιστήμην ἀφίκηται, συντόνως ἐπιδραμὼν ἰσοταχήσει τῷ πρόσθεν ἡγουμένῳ τῆς ὁδοῦ· ἀμφότεροι γὰρ οὕτως ὀπαδοὶ γενήσονται τοῦ πανηγεμόνος θεοῦ μηδενὸς ἔτι τῶν ἑτεροδόξων παρακολουθοῦντος, ἀλλὰ καὶ τοῦ Λώτ, ὃς ἔκλινε τὴν ψυχὴν ὀρθὴν καὶ ἀκαμπῆ φύεσθαι δυναμένην, διοικισθέντος.
176 (32.) „Ἀβραὰμ δὲ ἦν“ φησίν „ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαρράν“ (Gen. 12, 4). περὶ μὲν οὖν τοῦ τῶν πέντε καὶ ἑβδομήκοντα ἐτῶν ἀριθμοῦ — λόγον γὰρ ἔχει συνῳδὸν τοῖς πρόσθεν εἰρημένοις — αὖθις ἀκριβώσομεν. τίς δέ ἐστι Χαρρὰν καὶ τίς ἡ ἐκ ταύ-

---

2 ἐπιζήμιος H² 5 πιθανῶν H² 6 τοιοῦτό τι M 8 ἐν τοῖς λεγομένοις ἀγαθοῖς H² μέλλεις A 9 μεγίστης H 10 περιποιητικὰ v 11 βλάβης HP 14 αὐτῶ A γοῦν] γὰρ A Ἀβραὰμ HP 22 ἀπείθη MA ὑποστελλεται A 27 ἔκκλινε A 28 Ἀβραὰμ HP οε′ MH 29 ἐν Χαρράν H ε′ M 30 ο′ M 30. 31 τοῖς προειρημένοις HP 31 ἀκριβώσομεν HP: ἀκριβώσωμεν MA

της ἀποικία τῆς χώρας, πρότερον ἐρευνήσωμεν. οὐδένα τοίνυν τῶν ἐντε- 177
τυχηκότων τοῖς νόμοις ἀγνοεῖν εἰκός, ὅτι πρότερον μὲν ἐκ τῆς Χαλδαϊκῆς
p. 464 M. ἀναστὰς γῆς Ἀβραὰμ ᾤκησεν εἰς Χαρράν, | τελευτήσαντος δὲ αὐτῷ τοῦ
πατρὸς ἐκεῖθι κἀκ ταύτης μετανίσταται, ὡς δυεῖν ἤδη τόπων ἀπόλειψιν
πεποιῆσθαι. τί οὖν λεκτέον; Χαλδαῖοι τῶν ἄλλων ἀνθρώπων ἐκπεπο- 178
νηκέναι καὶ διαφερόντως δοκοῦσιν ἀστρονομίαν καὶ γενεθλιαλογικήν, τὰ
ἐπίγεια τοῖς μετεώροις καὶ τὰ οὐράνια τοῖς ἐπὶ γῆς ἁρμοζόμενοι καὶ
ὥσπερ διὰ μουσικῆς λόγων τὴν ἐμμελεστάτην συμφωνίαν τοῦ παντὸς
ἐπιδεικνύμενοι τῇ τῶν μερῶν πρὸς ἄλληλα κοινωνίᾳ καὶ συμπαθείᾳ,
τόποις μὲν διεζευγμένων, συγγενείᾳ δὲ οὐ διῳκισμένων. οὗτοι τὸν φαι- 179
νόμενον τοῦτον κόσμον ἐν τοῖς οὖσιν ὑπετόπησαν εἶναι μόνον, ἢ θεὸν
ὄντα αὐτὸν ἢ ἐν αὑτῷ θεὸν περιέχοντα, τὴν τῶν ὅλων ψυχήν· εἱμαρ-
μένην τε καὶ ἀνάγκην θεοπλαστήσαντες ἀσεβείας πολλῆς κατέπλησαν τὸν
ἀνθρώπινον βίον, ἀναδιδάξαντες ὡς δίχα τῶν φαινομένων οὐδενός ἐστιν
οὐδὲν αἴτιον τὸ παράπαν, ἀλλ' ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἀστέ-
ρων αἱ περίοδοι τά τε ἀγαθὰ καὶ τὰ ἐναντία ἑκάστῳ τῶν ὄντων ἀπο-
νέμουσι. Μωυσῆς μέντοι τῇ μὲν ἐν τοῖς μέρεσι κοινωνίᾳ καὶ συμπα- 180
θείᾳ τοῦ παντὸς ἔοικε συνεπιγράφεσθαι, ἕνα καὶ γενητὸν ἀποφηνάμενος
τὸν κόσμον εἶναι — γενομένου γὰρ καὶ ἑνὸς ὑπάρχοντος εὔλογον τάς
γε στοιχειώδεις οὐσίας ὑποβεβλῆσθαι τοῖς ἀποτελουμένοις τὰς αὐτὰς
ἅπασι κατὰ μέρη, καθάπερ ἐπὶ σωμάτων συμβέβηκε τῶν ἡνωμένων
ἀλληλουχεῖν —, τῇ δὲ περὶ θεοῦ δόξῃ διαφέρεσθαι· μήτε γὰρ τὸν 181
κόσμον μήτε τὴν τοῦ κόσμου ψυχὴν τὸν πρῶτον εἶναι θεὸν μηδὲ τοὺς
ἀστέρας ἢ τὰς χορείας αὐτῶν τὰ πρεσβύτατα τῶν συμβαινόντων ἀνθρώ-
ποις αἴτια, ἀλλὰ συνέχεσθαι μὲν τόδε τὸ πᾶν ἀοράτοις δυνάμεσιν, ἃς
ἀπὸ γῆς ἐσχάτων ἄχρις οὐρανοῦ περάτων ὁ δημιουργὸς ἀπέτεινε, τοῦ
μὴ ἀνεθῆναι τὰ δεθέντα καλῶς προμηθούμενος· δεσμοὶ γὰρ αἱ δυνάμεις
τοῦ παντὸς ἄρρηκτοι. διό, κἂν που τῆς νομοθεσίας λέγηται „ὁ θεὸς ἐν 182
τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω“ (Deut. 4,39), μηδεὶς ὑποτοπη-
σάτω τὸν κατὰ τὸ εἶναι λέγεσθαι — τὸ γὰρ ὂν περιέχειν ἀλλ' οὐ
περιέχεσθαι θέμις —, δύναμιν δ' αὐτοῦ, καθ' ἣν ἔθηκε καὶ διετάξατο

---

3 γῆς ἀναστὰς P Ἀβραὰμ AHP μετῴκησεν coni. Cohn 4 δυοῖν HP
ἀπόληψιν A 6 καὶ A: om. MHP γενεθλιακὴν L 10 συγγενείαις τὲ
οὐ A 12 αὐτῷ codd. 16. 17 ἀπονέμουσιν H 18 γεννητὸν A
20 γε H: τε MAP ἀποβεβλῆσθαι A 23 τὸν om. L 24 τὰ πρεσβύτατα
A: τὰ H¹P, om. MH² 24. 25 τῶν ἐν ἀνθρώποις αἴτια A 25 ἀρρήκτοις coni.
Mang. 30 τὸν AH¹P: αὐτὸν MH²

183 καὶ διεκόσμησε τὰ ὅλα. αὕτη δὲ κυρίως ἐστὶν ἀγαθότης, φθόνον μὲν
τὸν μισάρετον καὶ μισόκαλον ἀπεληλακυῖα ἀφ' ἑαυτῆς, χάριτας δὲ
γεννῶσα αἷς τὰ μὴ ὄντα εἰς γένεσιν ἄγουσα ἀνέφηνεν· ἐπεὶ τό γε ὂν
φαντασιαζόμενον δόξῃ πανταχοῦ πρὸς ἀλήθειαν οὐδαμοῦ φαίνεται, ὡς
ἀψευδέστατον ἐκεῖνον εἶναι τὸν χρησμόν, ἐν ᾧ λέλεκται· | „ὧδε ἐγώ,“ p. 465 M.
ἄδεικτος ὡς ἂν δεικνύμενος, ἀόρατος ὡς ἂν ὁρατὸς ὤν, „πρὸ τοῦ σέ“ 6
(Exod. 17,6)· πρὸ γὰρ παντὸς τοῦ γενητοῦ, ἔξω βαίνων ἐκείνου καὶ μηδενὶ
184 τῶν μετ' αὐτὸν ἐμφερόμενος. (33.) τούτων λεγομένων ἐπὶ τῇ τῆς
Χαλδαϊκῆς δόξης ἀνατροπῇ τοὺς ἔτι τὴν γνώμην χαλδαΐζοντας μετα-
κλίνειν καὶ μετακαλεῖν οἴεται δεῖν ἐπὶ τὴν ἀλήθειαν, τῆς διδασκα- 10
λίας ἀρχόμενος ὧδε· τί, φησίν, ὦ θαυμάσιοι, τοσοῦτον αἰφνίδιον
ἀρθέντες ἀπὸ γῆς εἰς ὕψος ἐπινήχεσθε καὶ τὸν ἀέρα ὑπερκύψαντες
αἰθεροβατεῖτε, ὡς ἡλίου κινήσεις καὶ σελήνης περιόδους καὶ τῶν ἄλλων
ἀστέρων τὰς ἐμμελεῖς καὶ ἀοιδίμους ἀκριβοῦν χορείας; ταῦτα γὰρ μεί-
ζονα ἢ κατὰ τὰς ὑμετέρας ἐστὶν ἐπινοίας ἅτε εὐδαιμονεστέρας καὶ θειο- 15
185 τέρας μοίρας λαχόντα. κατάβητε οὖν ἀπ' οὐρανοῦ καὶ καταβάντες μὴ
πάλιν γῆν καὶ θάλατταν καὶ ποταμοὺς καὶ φυτῶν καὶ ζῴων ἰδέας ἐξε-
τάζετε, μόνους δὲ ἑαυτοὺς καὶ τὴν ἑαυτῶν φύσιν ἐρευνᾶτε, μὴ ἑτέ-
ρωθι μᾶλλον οἰκήσαντες ἢ παρ' ἑαυτοῖς· διαθεώμενοι γὰρ τὰ κατὰ τὸν
ἴδιον οἶκον, τὸ δεσπόζον ἐν αὐτῷ, τὸ ὑπήκοον, τὸ ἔμψυχον, τὸ ἄψυχον, 20
τὸ λογικόν, τὸ ἄλογον, τὸ ἀθάνατον, τὸ θνητόν, τὸ ἄμεινον, τὸ χεῖρον,
186 εὐθὺς ἐπιστήμην θεοῦ καὶ τῶν ἔργων αὐτοῦ σαφῆ λήψεσθε. λογιεῖσθε
γὰρ ὅτι, ὡς ἐν ὑμῖν ἐστι νοῦς, καὶ τῷ παντί ἐστι, καὶ ὡς ὁ ὑμέτερος
ἀρχὴν καὶ δεσποτείαν τῶν περὶ ὑμᾶς ἀναψάμενος ἕκαστον τῶν μερῶν
ὑπήκοον ἀπέφηνεν ἑαυτῷ, οὕτω καὶ ὁ τοῦ παντὸς τὴν ἡγεμονίαν περι- 25
βεβλημένος αὐτοκράτορι νόμῳ καὶ δίκῃ τὸν κόσμον ἡνιοχεῖ προνηθού-
μενος οὐ τῶν ἀξιονικοτέρων αὐτὸ μόνον ἀλλὰ καὶ τῶν ἀφανεστέρων
187 εἶναι δοκούντων. (34.) μεταναστάντες οὖν ἀπὸ τῆς κατ' οὐρανὸν περι-
εργίας ἑαυτούς, ὅπερ εἶπον, οἰκήσατε, τὴν μὲν Χαλδαίων γῆν, δόξαν,
καταλιπόντες, μετοικισάμενοι δὲ εἰς Χαρράν, τὸ τῆς αἰσθήσεως χωρίον, 30

---

3 αἷς H^2: ἐς ceteri εἰς] εἰς τὴν A 4 post ἀλήθειαν add. δὲ H^2
5 λέγεται L (sed in mg. γρ. λέλεκται) ὧδε H^2: ὅδε MH^1P, ὁ δὲ A post ἐγὼ
add. κἀκεῖθι Mang. 6 ὁ ἀόρατος P 7 τοῦ παντὸς transpos. H 9 χαλδαΐ-
ζειν P 12 ἐπινήχεσθαι A 13 ἄλλων MA: λοιπῶν HP 22 λο-
γιεῖσθαι A 23 ὅτι om. HP ἡμῖν (η H^2 in ras.) ἔνεστι H(P^1) ἔστιν ὁ
νοῦς A prius καὶ] κἀν conicio ἡμέτερος AH^2 24 ἡμᾶς H^2
25 ἐν ἑαυτῷ M 27 ἀξιονικωτέρων MA αὐτῷ A 28. 29 περιερ-
γείας H 29 οἰκίσατε H^1P 30 μετοικισάμενοι M: μετοικησάμενοι AHP

ὁ δὴ σωματικός ἐστιν οἶκος διανοίας. Χαρρὰν γὰρ ἑρμηνεύεται τρώγλη, 188
τρῶγλαι δὲ σύμβολα αἰσθήσεως ὀπῶν εἰσίν· ὀπὰς γὰρ καὶ φωλεοὺς
τρόπον τινὰ ὀφθαλμοὺς μὲν ὁράσεως, ἀκοῆς δὲ ὦτα, ῥῖνας δὲ ὀσμῶν
καὶ γεύσεως φάρυγγα καὶ πᾶσαν τὴν σώματος κατασκευὴν ἁφῆς εἶναι
συμβέβηκε. τούτοις οὖν ἔτι διατρίψαντες ἐνηρεμήσατε καὶ σχολάσατε 189
καὶ τὴν ἑκάστου φύσιν ὡς ἔνι μάλιστα ἀκριβώσατε, καὶ τὸ ἐν ἑκά-
στοις εὖ τε καὶ χεῖρον καταμαθόντες τὸ μὲν φύγετε, τὸ δ' ἔμπαλιν
p. 466 M. ἑλέσθε. ἐπειδὰν μέντοι σφόδρα ἀκριβῶς πάντα τὸν ἴδιον | διασκέ-
ψησθε οἶκον καὶ δν ἔχει λόγον ἕκαστον αὐτοῦ τῶν μερῶν αὐγά-
σησθε, διακινήσαντες αὐτοὺς τὴν ἐνθένδε μετανάστασιν ζητεῖτε, οὐ θά-
νατον ἀλλ' ἀθανασίαν καταγγέλλουσαν. ἧς δείγματα σαφῆ καὶ ἐν τοῖς 190
σωματικοῖς καὶ ἐν τοῖς αἰσθητοῖς ἐγκατειλημμένοι φωλεοῖς κατόψεσθε,
τοτὲ μὲν ἐν τοῖς βαθέσιν ὕπνοις — ἀναχωρήσας γὰρ ὁ νοῦς καὶ τῶν
αἰσθήσεων καὶ τῶν ἄλλων ὅσα κατὰ τὸ σῶμα ὑπεξελθὼν ἑαυτῷ προσο-
μιλεῖν ἄρχεται ὡς πρὸς κάτοπτρον ἀφορῶν ἀλήθειαν, καὶ ἀπορρυψά-
μενος πάνθ' ὅσα ἐκ τῶν κατὰ τὰς αἰσθήσεις φαντασιῶν ἀπεμάξατο τὰς
περὶ τῶν μελλόντων ἀψευδεστάτας διὰ τῶν ὀνείρων μαντείας ἐνθουσιᾷ
—, τοτὲ δὲ κἀν ταῖς ἐγρηγόρσεσιν· ὅταν γὰρ ἔκ τινος τῶν κατὰ φιλο- 191
σοφίαν κατασχεθεὶς θεωρημάτων ἀχθῇ πρὸς αὐτοῦ, τῷ μὲν ἕπεται, τῶν
ὃ' ἄλλων ὅσα κατὰ τὸν σωματικὸν ὄγκον ἀμνημονεῖ δήπου. κἂν ἐμπο-
δίζωσιν αἱ αἰσθήσεις πρὸς τὴν ἀκριβῆ θέαν τοῦ νοητοῦ, μέλει τοῖς
φιλοθεάμοσι καθαιρεῖν αὐτῶν τὴν ἐπίθεσιν· τάς τε γὰρ ὄψεις κατα-
μούουσι καὶ τὰ ὦτα ἐπιφράττουσι καὶ τὰς τῶν ἄλλων ⟨αἰσθήσεων⟩ ἐπέ-
χουσιν ὁρμὰς καὶ ἐν ἐρημίᾳ καὶ σκότῳ διατρίβειν ἀξιοῦσιν, ὡς μὴ πρός
τινος αἰσθητοῦ τὸ ψυχῆς ὄμμα, ᾧ νοητὰ βλέπειν ἔδωκεν ὁ θεός, ἐπι-
σκιασθῇ. (35.) τοῦτον μέντοι τὸν τρόπον μαθόντες ἀπόλειψιν τοῦ 192

---

1 ἐστι διανοίας οἶκος HP 2 ὀπῶν Mang.: τόπων codd. 4 ἀφ' ἧς AP
5 ἔτι διατρίψαντες Cohn: ἐπιδιατρίψαντες codd., ἐνδιατρίψαντες Mang. ἐνσχολάσατε conicio 7 εὖ] ἃ Λ 9. 10 ἀγάσησθε P 10 αὐτοὺς AH²: αὐτοὺς MH¹P
11 ἀλλὰ M 12 τοῖς H²: om. ceteri 13 ἐν om. HP 15. 16 ἀπορρυψά-
μενος Mang.: ἀπορυψάμενος M, ἀποκρυψάμενος AHP 16 ἀπεμάξαντο A
16. 17 ταῖς ..... ἀψευδεστάταις ... μαντείαις H² 19 τῷ] τῶν Λ 20 ὄγκον MA: οἶκον HP 21 μένει A 22 καθαιρεῖν H²: καθαίρειν ceteri 23 αἰσθήσεων add. Mang. 25 τῆς ψυχῆς HP βλέπων P 25. 26 ἐπισκοτασθῇ coni. Mang. 26 ἀπόληψιν Λ

---

1. 2 *Ambrosius De Abraham I 2,4*: hoc est enim exire de Charra tamquam de cavernis quibusdam et cuniculis latibulisque egredi.

θνητοῦ χρηματίζειν καὶ τὰς περὶ τοῦ ἀγενήτου παιδευθήσεσθε δόξας· εἰ μὴ νομίζετε τὸν μὲν ὑμέτερον νοῦν ἀποδυσάμενον σῶμα, αἴσθησιν, λόγον, δίχα τούτων γυμνὰ δύνασθαι τὰ ὄντα ὁρᾶν, τὸν δὲ τῶν ὅλων νοῦν, τὸν θεόν, οὐκ ἔξω τῆς ὑλικῆς φύσεως πάσης ἑστάναι περιέχοντα, οὐ περιεχόμενον, καὶ οὐκ ἐπινοίᾳ μόνον ἐπεξεληλυθέναι ὥσπερ ἄνθρω-
193 πον, ἀλλὰ καὶ τῷ οὐσιώδει, οἷα ἁρμόττει θεόν. ὁ μὲν γὰρ ἡμέτερος νοῦς οὐ δεδημιούργηκε τὸ σῶμα, ἀλλ' ἔστιν ἔργον ἑτέρου· διὸ καὶ περιέχεται ὡς ἐν ἀγγείῳ τῷ σώματι. ὁ δὲ τῶν ὅλων νοῦς τὸ πᾶν γεγέννηκε, τὸ πεποιηκὸς δὲ τοῦ γενομένου κρεῖττον· ὥστ' οὐκ ἂν ἐμφέροιτο τῷ χείρονι, δίχα τοῦ μηδὲ ἁρμόττειν πατέρα ἐν υἱῷ περιέχεσθαι,
194 υἱὸν δὲ ταῖς τοῦ πατρὸς ἐπιμελείαις συναύξεσθαι. οὕτω κατὰ βραχὺ μεταβαίνων ὁ νοῦς ἐπὶ τὸν εὐσεβείας καὶ ὁσιότητος ἀφίξεται πατέρα, γενεθλιαλογικῆς ἀποστὰς τὸ πρῶτον, ἥτις παρέπεισεν αὐτὸν ὑπολαβεῖν τὸν κόσμον θεὸν τὸν πρῶτον εἶναι, ἀλλὰ μὴ τοῦ πρώτου θεοῦ δημιούργημα, καὶ τὰς τῶν ἀστέρων φοράς τε καὶ κινήσεις αἰτίας ἀνθρώποις
195 κακοπραγίας καὶ τοὐναντίον εὐδαιμονίας. ἔπειτ' εἰς τὴν ἐπίσκεψιν ἐλθὼν τὴν αὐτὸς ἑαυτοῦ, φιλοσοφήσας τὰ κατὰ τὸν ἴδιον οἶκον, τὰ περὶ σώματος, τὰ περὶ αἰσθήσεως, τὰ περὶ λόγου, καὶ γνοὺς κατὰ τὸ ποιητικὸν γράμμα

| ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται, p. 467 M.

ἔπειτ' ἀνατεμὼν ὁδὸν τὴν ἀφ' αὑτοῦ καὶ διὰ ταύτης ἐλπίσας τὸν 21
δυστόπαστον καὶ δυστέκμαρτον πατέρα τῶν ὅλων κατανοῆσαι, μαθὼν ἀκριβῶς ἑαυτὸν εἴσεται τάχα που καὶ θεόν, οὐκέτι μένων ἐν Χαρράν, τοῖς αἰσθήσεως ὀργάνοις, ἀλλ' εἰς ἑαυτὸν ἐπιστραφείς· ἀμήχανον γὰρ ἔτι κινούμενον αἰσθητῶς μᾶλλον ἢ νοητῶς πρὸς τὴν τοῦ ὄντος ἐλθεῖν
196 ἐπίσκεψιν. (36.) οὗ χάριν καὶ ὁ ταχθεὶς τὴν ἀρίστην τάξιν παρὰ θεῷ τρόπος, ὄνομα Σαμουήλ, οὐχ ὑφηγεῖται τὰ τῆς βασιλείας δίκαια

---

1 ἀγεννήτου A παιδευθήσεσθαι M 2 ἡμέτερον v σῶμα om. A
3 γυμνὰ scripsi: γυμνὸν codd. δύνασθε A τὸν ὄντα A 4 οὐκ] ras. in P ὑλικῆς H 6 οἷω A^2 9 γεγένηκε HP οὐδ' A
12 τὸν τὰ εὐσεβείας A 13 παρέστησεν L 17 φιλοπευστήσας coni. Mang.
20 ὅτι codd. τε Turn.: om. codd. 21 ἀφ' αὑτοῦ H^2: ἀπ' αὐτοῦ ceteri, ἀφ' ἑαυτοῦ v 22 post μαθὼν add. δ' MH^1P 24 ὀργάνοις] ἀγγείοις coni. Mang.
ἐπιστραφείς A: ἐπεστρεφώς MHP, ἐπιστρέφων v 27 τρόπος] λόγος A

---

20 Hom. δ 392.

τῷ Σαοὺλ [οὐδ'] ἔτι διατρίβοντι ἐν τοῖς σκεύεσιν, ἀλλ' ἐπειδὰν ἐκεῖθεν αὐτὸν ἐξελκύσῃ. πυνθάνεται μὲν γάρ, εἰ ἔτι ἔρχεται ἐνθάδε ὁ ἀνήρ, ἀποκρίνεται δὲ τὸ λόγιον· „ἰδοὺ αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι". τί 197
οὖν προσήκει τὸν ἀκούσαντα, φύσει παιδευτικὸν ὄντα, ποιῆσαι, ὅτι μὴ
5 μετὰ σπουδῆς αὐτὸν ἐξελκύσαι; „ἐπιδραμὼν" γάρ φησι „λαμβάνει αὐτὸν ἐκεῖθεν" (I. Reg. 10,22. 23), διότι τοῖς ἀγγείοις τῆς ψυχῆς, σώματι καὶ αἰσθήσει, ⟨ἐν⟩διατρίβων οὐκ ἦν ἀξιόχρεως ἀκοῦσαι τῶν τῆς βασιλείας δογμάτων καὶ νόμων — βασιλείαν δὲ σοφίαν εἶναι λέγομεν, ἐπεὶ καὶ τὸν σοφὸν βασιλέα —, μεταναστὰς δέ, ἡνίκα τῆς ἀχλύος σκεδασθείσης
10 ὀξυδορκήσειν ἔμελλεν. εἰκότως οὖν καὶ τὴν αἰσθήσεως χώραν, ὄνομα Χαρράν, ἀπολιπεῖν οἴεται δεῖν ὁ ἐπιστήμης ἑταῖρος.

Ἀπολείπει δὲ ἐτῶν γεγονὼς πέντε καὶ ἑβδομήκοντα· ὁ δὲ ἀριθμὸς 198
οὗτος αἰσθητῆς καὶ νοητῆς, πρεσβυτέρας τε καὶ νεωτέρας, ἔτι δὲ φθαρτῆς καὶ ἀφθάρτου μεθόριος φύσεώς ἐστι. νοητὸς μὲν γὰρ καὶ πρεσβύ- 199
15 τερος καὶ ἄφθαρτος λόγος ὁ τῶν ἑβδομήκοντα, αἰσθητὸς δὲ καὶ νεώτερος ὁ ταῖς πέντε ἰσάριθμος ὢν αἰσθήσεσι. τούτῳ καὶ ὁ ἔτι γυμναζόμενος ἀσκητὴς ἐξετάζεται, μηδέπω δεδυνημένος ἐνέγκασθαι τὰ τέλεια νικητήρια· λέγεται γὰρ ὅτι „ἦσαν αἱ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα" (Exod. 1,5)· τοῦ γὰρ ἀθλοῦντος καὶ τὸν ὑπὲρ κτήσεως 200
20 ἀρετῆς ἱερὸν ὄντως ἀγῶνα μὴ διαφθείροντος ψυχαὶ μὲν πρὸ σωμάτων γεννήματα, οὔπω δ' ἐκτετμημέναι τὸ ἄλογον, ἀλλ' ἔτι τὸν αἰσθήσεως ὄχλον ἐφελκόμεναι. παλαίοντος γὰρ καὶ κονιομένου καὶ πτερνίζοντος Ἰακὼβ ἐστιν ὄνομα, οὐ νενικηκότος· ὅταν δὲ τὸν θεὸν ὁρᾶν ἱκανὸς 201
εἶναι δόξας Ἰσραὴλ μετονομασθῇ, μόνῳ χρήσεται τῷ ἑβδομηκοστῷ
p. 468 M. λόγῳ, | τὴν πεντάδα τῶν αἰσθήσεων ἐκτεμών· λέγεται γὰρ ὅτι „ἐν ἑβδο-
26 μήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον" (Deut. 10,22).

---

1 οὐδ' del. Mang. 2 αὐτὸν Mang.: αὐτὸν H², αὐτὸς ceteri 4 οὖν] αὖ A 5 αὐτὸν H² λαμβάνειν A 6 ante τοῖς add. ὁ H² 7 ἐνδιατρίβων Mang.: διατρίβων codd. τῆς βασιλείας τῶν HP 9 ἡνίκα A: om. ceteri 11 ἀπολιπεῖν A 12 ε' καὶ ο' HP 16 ἔτι γυμναζόμενος Turn.: ἐπιγυμναζόμενος codd. 17 τὰ τέλεια τἆ H² 19 τοῦ scripsi: τούτου codd. 20 διαφεύγοντος coni. Mang. πρὸ A: πρὸς MHP 21 δ' ἐκτετμημέναι scripsi: δὲ κεκτημέναι codd. τὸ ἄλογον] τὸν λόγον H², τὸν νοητὸν λόγον coni. Mang. ἔτι] ἐπὶ A 22 παλαίοντος κεκονιαμένου A γὰρ H²: om. ceteri 24 δόξῃς A, sed σ eras. χρῆσαι A 25. 26 ο' HP

---

11 sqq. *Ambrosius De Abraham II 2,6*: ideo etiam septuaginta et quinque annorum describitur exisse de Charra, quod septuagesimo perfecto remissionis numero sensus is sit (sensus numerus additus sit *conicio*), qui possit inflecti.

οὗτός ἐστιν ὁ ἀριθμὸς Μωυσέως τοῦ σοφοῦ γνώριμος· τοὺς γὰρ ἀριστίνδην ἐκ παντὸς τοῦ πλήθους ἐπιλελεγμένους ἑβδομήκοντα εἶναι συμβέβηκε καὶ πρεσβυτέρους ἅπαντας, οὐχ ἡλικίαις ἀλλὰ φρονήσει καὶ
202 βουλαῖς, γνώμαις τε καὶ ἀρχαιοτρόποις ζηλώσεσιν. οὗτος ὁ ἀριθμὸς ἱερουργεῖταί τε καὶ ἀποδίδοται θεῷ, ὅταν οἱ τέλειοι τῆς ψυχῆς συναχθῶσι καὶ συγκομισθῶσι καρποί· τῇ γὰρ τῶν σκηνῶν ἑορτῇ χωρὶς τῶν ἄλλων θυμάτων ἑβδομήκοντα μόσχους ἀνάγειν θυσίαν ὁλόκαυστον διείρηται (Num. 29,13sqq.). κατὰ τὸν ἑβδομηκοστὸν λόγον καὶ αἱ τῶν ἀρχόντων φιάλαι κατασκευάζονται — ἑκάστη γὰρ ἑβδομήκοντα σικλῶν ἐστιν ὁλκῆς (Num. 7,13sqq.) —, ἐπειδὴ τὰ ἔνσπονδα καὶ συμβατήρια καὶ φίλα τῆς ψυχῆς ὡς ἀληθῶς ὁλκὸν ἔχει δύναμιν, τὸν ἑβδομηκοστὸν καὶ ἅγιον λόγον, ὃν Αἴγυπτος, ἡ μισάρετος καὶ φιλοπαθὴς φύσις, πενθοῦσα εἰσάγεται· ἑβδομήκοντα γὰρ ἡμέραις καταριθμεῖται παρ' αὐτοῖς τὸ πένθος
203 (Gen. 50,3). (37.) οὗτος μὲν οὖν ὁ ἀριθμός, ὡς ἔφην, Μωυσέως γνώριμος, ὁ δὲ τῶν πέντε αἰσθήσεων τοῦ καὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς ἀσπαζομένου, ὃν ἔθος καλεῖν Ἰωσήφ. τοσαύτην γὰρ αὐτῶν ἐπιμέλειαν πεποίηται, ὥστε τὸν μὲν ὁμογάστριον ἀδελφόν, τὸν αἰσθήσεως ἔκγονον ὄντα — ἥκιστα γὰρ ὁμοπατρίους οἶδε —, πέντε ἐξάλλοις δωρεῖται στολαῖς (Gen. 45,22), διαπρεπεῖς ἡγούμενος τὰς αἰσθήσεις καὶ κόσμου καὶ τιμῆς
204 ἀξίας. ὅλῃ δὲ Αἰγύπτῳ καὶ νόμους ἀναγράφει, ὅπως τιμῶσιν αὐτὰς καὶ φόρους καὶ δασμοὺς ὡς βασιλεῦσιν ἀνὰ πᾶν ἔτος κομίζωσι· τὸν γὰρ σῖτον ἀποπεμπτοῦν κελεύει (Gen. 47,24), τὸ δέ ἐστιν ὕλας καὶ τροφὰς ἀφθόνους θησαυροφυλακεῖν ταῖς πέντε αἰσθήσεσιν, ὅπως ἑκάστη τῶν οἰκείων ἀνεπισχέτως ἐμπιπλαμένη τρυφᾷ καὶ τὸν νοῦν τοῖς ἐπεισφορουμένοις βαρύνουσα βαπτίζῃ· ταῖς γὰρ τῶν αἰσθήσεων εὐωχίαις λιμὸν
205 ἄγει διάνοια, ὡς ἔμπαλιν ταῖς νηστείαις εὐφροσύνας. οὐχ ὁρᾷς ὅτι καὶ

---

1 Μωυσέος AHP 4 οὕτως A 5. 6 συναναχθῶσι H 6 καὶ συγκομισθῶσι om. HP 7 ο΄ HP 9 ἐστιν om. A 13 ἡμέρας HP¹ 14 Μωυσέος HP 15 ε΄ MH 17 ἔκγονον A, in mg. P²: ἐκτὸς HP¹, ἔκγονον ἐκτὸς M 18 οἶδεν H ἐξ ἄλλης A 19 διαπρεπὴς A, sed ῆς in ras. 21 ὡς βασιλεῦσιν om. HP 22 ἀποπεμποῦν P, ἀπεμπολεῖν H² 25 βαπτίζει A λιμῶν A

---

3 cf. ad p. 218, 14 20—25 *Origenes, Homilia in Genesim XVI 6 p. 105:* vide Aegyptium populum quinario numero tributa pendentem. quinque enim sensus corporei designantur, quibus populus carnalis deservit. 26. 309,1 *Origenes, Homilia XXII, 1 in Numeros p. 354*: requiramus ergo etiam apud spiritalem legem, quae sint istae filiae quinque .... ideo denique et quinarius eis numerus ascribitur. quinque enim corporei sensus sunt, quibus omne opus expletur in corpore.

πέντε Σαλπαὰδ θυγατέρες, ἃς ἀλληγοροῦντες αἰσθήσεις εἶναί φαμεν, ἐκ τοῦ δήμου Μανασσῆ γεγόνασιν, ὃς υἱὸς Ἰωσήφ ἐστι, χρόνῳ μὲν πρεσβύτερος ὤν, δυνάμει δὲ νεώτερος; εἰκότως· καλεῖται γὰρ ἐκ λήθης, τὸ δὲ ἰσοδυναμοῦν ἐστι πρᾶγμα ἀναμνήσει. ἀνάμνησις δὲ τὰ δευτερεῖα φέρεται μνήμης, ἧς Ἐφραὶμ ἐπώνυμος γέγονεν, ὃς καρποφορίᾳ μεταληφθεὶς προσαγορεύεται· καρπὸς δὲ κάλλιστος καὶ τροφιμώτατος ψυχῆς τὸ ἄληστον ἐν μνήμαις. λέγουσι γοῦν τὰ ἐναρμόνια ἑαυταῖς αἱ 206
παρθένοι· „ὁ πατὴρ ἡμῶν ἀπέθανεν“ — ἀλλ' ὁ θάνατος ἀναμνήσεώς ἐστι λήθη — „καὶ ἀπέθανεν οὐ δι' ἁμαρτίαν ἑαυτοῦ“ — παγκάλως· οὐ γὰρ
p. 469 M. ἑκούσιον ἡ λήθη | πάθος, ἀλλ' ἕν τι τῶν οὐ παρ' ἡμῖν, ἐπιγινόμενον
11 ἔξωθεν —, „υἱοὶ δὲ οὐκ ἐγένοντο αὐτῷ“ (Num. 27,3), ἀλλὰ θυγατέρες, ἐπειδὴ τὸ μὲν μνημονικὸν ἅτε φύσει διανιστάμενον ἀρρενογονεῖ, τὸ δὲ ἐπιλανθανόμενον ὕπνῳ λογισμοῦ χρώμενον θηλυτοκεῖ· ἄλογον γάρ, ἀλόγου δὲ μέρους ψυχῆς αἰσθήσεις θυγατέρες. εἰ δέ τις τὸν μὲν τάχει παρέ- 207
15 δραμε, Μωυσῆ δὲ ἠκουλούθησε, μήπω δυνηθεὶς ἰσόδρομος αὐτῷ γενέσθαι κεκραμένῳ καὶ μιγάδι ἀριθμῷ χρήσεται, τῷ πέμπτῳ καὶ ἑβδομηκοστῷ, ὅς ἐστι σύμβολον αἰσθητῆς καὶ νοητῆς φύσεως, συγκεκραμένων ἀμφοῖν εἰς εἴδους ἑνὸς ἀνεπιλήπτου γένεσιν. (38.) ἄγαμαι σφόδρα 208
καὶ τὴν ὑπομονὴν Ῥεβέκκαν, ἐπειδὰν τῷ τελείῳ τὴν ψυχὴν καὶ τὰς
20 τῶν παθῶν καὶ κακιῶν τραχύτητας καθηρηκότι παραινῇ τότε εἰς Χαρρὰν ἀποδρᾶναι· λέγει γάρ· „νῦν οὖν, τέκνον, ἄκουσον τῆς φωνῆς μου καὶ ἀναστὰς ἀπόδραθι πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαρρὰν καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ“ (Gen. 27,
25 43—45). παγκάλως δὲ τὴν ἐπὶ τὰς αἰσθήσεις ὁδὸν ὁρασμὸν εἴρηκεν· 209

---

2 υἱὸς Ἰωσήφ ἐστι MP: υἱός ἐστιν Ἰωσήφ A, Ἰωσὴφ υἱός ἐστι H 4 ἀναμνήσει Mang.: αἰσθήσει MH², αἰσθήσεις APH¹ 5. 6 μνήμης — προσαγορεύεται om. L 7 ἐναρμόζοντα coni. Mang. 8 ἀλλ' ὁ] ἀληθῶς· ὁ γὰρ conicio 10 λήθη H²: λύπη ceteri ἀλλὰ M 11 ante υἱοὶ add. ὡς HP 12 μνημονευτικὸν A διενιστάμενον HP, διασυνιστάμενον coni. Cohn 13 ἐπιλανθανομένου M ὕπνου λογισμῷ A 14 μέρος H¹ 15 Μωυσῆ MA (η in ras. A): Μωσεῖ HP 17 αἰσθητικῆς HP συγκεκραμένων Mang.: συναραμένων MHP, συνοραμένων A 18 post ἑνὸς add. οὐκ Mang. 20 κακιῶν HP¹ παραινεῖ A τότε] τὴν conicio 22 ἀναστὰς MA: ἀποστὰς HP μου] σου A, sed σ in ras. 23 ἕως ὅτου ἀποστρέψω A, ω ex η vid. corr. 24 πεποίηκεν P¹ 25 δὲ AH²: τὲ MPH¹ εἴληφεν HP

---

16 cf. ad p. 307, 11.

ὄντως γὰρ ὀραπέτης ὁ νοῦς τότε γίνεται, ὅταν καταλιπὼν τὰ οἰκεῖα
ἑαυτῷ νοητὰ τράπηται πρὸς τὸ ἐναντίον τάγμα τῶν αἰσθητῶν. ἔστι
δὲ ὅπου καὶ τὸ ὀραπετεύειν χρήσιμον, ἐπειδάν τις αὐτὸ ποιῇ μὴ ἕνεκα
ἔχθους τοῦ πρὸς τὸν κρείττονα, ἀλλὰ τοῦ μὴ ἐπιβουλευθῆναι χάριν πρὸς
210 τοῦ χείρονος. τίς οὖν ἡ παραίνεσις τῆς ὑπομονῆς; θαυμασιωτάτη καὶ 5
περιμάχητος· ἐάν ποτε, φησίν, ὁρᾷς ἀνηρεθισμένον καὶ ἐξηγριωμένον
τὸ θυμοῦ καὶ ὀργῆς πάθος ἐν σαυτῷ ἢ τινι ἑτέρῳ, ὃ ἡ ἄλογος καὶ
ἀτίθασος ζωοτροφεῖ φύσις, μὴ μᾶλλον αὐτὸ ἀκονήσας ἐκθηριώσῃς —
δήξεται γὰρ ἴσως ἀνίατα —, καταψύχων δὲ τὸ ζέον αὐτοῦ καὶ πεπυρω-
μένον ἄγαν ἡμέρωσον· τιθασὸν γὰρ καὶ χειρόηθες εἰ γένοιτο, ἥκιστα 10
211 ἂν βλάψαι. τίς οὖν ὁ τρόπος τῆς τιθασείας καὶ ἡμερώσεως αὐτοῦ;
μεθαρμοσάμενος καὶ μετασκευασάμενος, ὅσα τῷ δοκεῖν, ἀκολούθησον τὸ
πρῶτον οἷς ἂν ἐθέλῃ καὶ πρὸς μηδὲν ἐναντιωθεὶς ὁμολόγησον τὰ αὐτὰ
φιλεῖν τε καὶ μισεῖν· οὕτω γὰρ ἐξευμενισθήσεται. πραϋνθέντος δὲ
ἀποθήσῃ τὴν ὑπόκρισιν, καὶ μηδὲν ἔτι προσδοκῶν ἐξ ἐκείνου κακὸν 15
πείσεσθαι μετὰ ῥᾳστώνης ἐπανελεύσῃ πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν.
212 εἰσάγεται γὰρ διὰ τοῦτο Χαρρὰν θρεμμάτων μὲν ἀνάπλεως, οἰκήτορσι
δὲ κεχρημένη κτηνοτρόφοις· τί γὰρ ἂν εἴη χωρίον ἀλόγῳ φύσει καὶ
τοῖς τὴν ἐπιμέλειαν καὶ προστασίαν αὐτῆς ἀνειληφόσιν ἐπιτηδειότερον
213 τῶν ἐν ἡμῖν αἰσθήσεων; πυθομένου γοῦν τοῦ ἀσκητοῦ „πόθεν | ἐστέ“ p. 470 M.
ἀποκρίνονται ταλαιπωρίας οἱ ποιμένες ὅτι „ἐκ Χαρράν“ (Gen. 29, 4)· ἐκ 20
γὰρ αἰσθήσεως αἱ ἄλογοι ὡς ἐκ διανοίας αἱ λογικαὶ δυνάμεις εἰσί.
προσπυθομένου δέ, εἰ γινώσκουσι Λάβαν, φασὶν εἰκότως εἰδέναι (Gen.
29, 5)· γνωρίζει γὰρ τὸ χρῶμα καὶ πᾶσαν ποιότητα αἴσθησις, ὡς
214 οἴεται, χρωμάτων δὲ καὶ ποιοτήτων ὁ Λάβαν σύμβολον. καὶ αὐτὸς δὲ 25
ἐπειδὰν ἤδη τελειωθῇ, τὸν μὲν τῶν αἰσθήσεων οἶκον ἀπολείψει, τὸν
δὲ τῆς ψυχῆς ὡς ψυχῆς ἱδρύσεται, ὃν ἔτι ὢν ἐν τοῖς πόνοις καὶ ταῖς
ἀσκήσεσιν ἀναζωγραφεῖ· λέγει γάρ· „πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;“

---

2 ἑαυτῶν A τράπηται] δραπετεύῃ coni. Mang. 4 τοῦ κρείττονος AP^2
6 κἀξηγριωμένον P ἠγριωμένον L 7 ὃ] ὃν MP^1 8 ἀτίθασσος v
ζωπυρεῖ coni. Mang. αὐτῷ A 9 δήξηται A καταψήχων M 10 τι-
θασσὸν v 11 βλάψαι scripsi: βλάψοι codd. τιθασσείας v 12 τὸ δο-
κεῖν A 12. 13 τῷ πρώτῳ A 13 ἐθέλοι A ἐναντιωθῇς H
18 χωρίον om. A 19 ἐστὶν H^2 22 γιγνώσκουσι M 24 τὸ] πᾶν
conicio ποιότητος H, ποιότ^{τ} P αἴσθησιν HP^1 25 οἴονται coni. Mang.
ποιοτ^{τ} H, ποιότ^{τ} P, ποιότητος Turn. 26 ἀπολήψει A 27 ἱδρύσεται Mang.
ὃν om. A 28 ἀσκήσεσιν Mang.: αἰσθήσεσιν codd. ἀναζωγραφοῖ HP

(Gen. 30, 30). πότε τῶν αἰσθητῶν καὶ αἰσθήσεων ὑπεριδὼν νοῦν καὶ διάνοιαν οἰκήσω, λόγῳ θεωρητοῖς πράγμασι συντρεφόμενος καὶ συνδιαιτώμενος, καθάπερ αἱ ζητητικαὶ τῶν ἀφανῶν ψυχαί — μαίας αὐτὰς ἔθος ὀνομάζειν —; καὶ γὰρ αὗται ποιοῦσι σκεπάσματα οἰκεῖα καὶ 215
φυλακτήρια φιλαρέτοις ψυχαῖς· τὸ δὲ εὐερκέστατον οἰκοδόμημα ἦν ὁ θεοῦ φόβος τοῖς φρουρὰν καὶ τεῖχος αὐτὸν ἀκαθαίρετον πεποιημένοις. „ἐπειδὴ“ γάρ φησιν „ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν, ἐποίησαν ἑαυταῖς οἰκίας“ (Exod. 1, 21).

(39.) Ἐξελθὼν οὖν ἐκ τῶν κατὰ τὴν Χαρρὰν τόπων ὁ νοῦς λέγεται 216
„διοδεῦσαι τῆν γῆν ἕως τοῦ τόπου Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν“ (Gen. 12, 6). τί δέ ἐστι τὸ διοδεῦσαι, σκεψώμεθα· τὸ φιλομαθὲς ζητητικὸν καὶ περίεργόν ἐστι φύσει, πανταχῇ βαδίζον ἀόκνως καὶ πανταχόσε διακῦπτον καὶ μηδὲν ἀδιερεύνητον τῶν ὄντων μήτε σωμάτων μήτε πραγμάτων ἀπολιπεῖν δικαιοῦν. λίχνον γὰρ ἐκτόπως θεαμάτων καὶ ἀκουσμάτων εἶναι πέφυκεν, ὡς μὴ μόνον τοῖς ἐπιχωρίοις ἀρκεῖσθαι, ἀλλὰ καὶ τῶν ξενικῶν καὶ πορρωτάτω διῳκισμένων ἐφίεσθαι. λέγουσι 217
γοῦν, ὡς ἔστιν ἄτοπον ἐμπόρους μὲν καὶ καπήλους γλίσχρων ἕνεκα κερδῶν διαβαίνειν τὰ πελάγη καὶ τὴν οἰκουμένην ἐν κύκλῳ περιιέναι ἅπασαν, μὴ θέρος, μὴ χειμῶνα, μὴ πνεύματα βίαια, μὴ ἐναντία, μὴ νεότητα, μὴ γῆρας, μὴ νόσον σώματος, μὴ φίλων συνήθειαν, μὴ τὰς ἐπὶ γυναικὶ καὶ τέκνοις καὶ τοῖς ἄλλοις οἰκείοις ἀλέκτους ἡδονάς, μὴ πατρίδος καὶ πολιτικῶν φιλανθρωπιῶν ἀπόλαυσιν, μὴ χρημάτων καὶ κτημάτων καὶ τῆς ἄλλης περιουσίας ἀσφαλῆ χρῆσιν, μὴ τῶν ἄλλων ὁτιοῦν συνόλως μέγα ἢ μικρὸν ἐμποδὼν τιθεμένους, τοῦ δὲ καλλίστου 218
καὶ περιμαχήτου καὶ μόνῳ τῷ γένει τῶν ἀνθρώπων οἰκειοτάτου χάριν, σοφίας, μὴ οὐχὶ θάλατταν μὲν ἅπασαν περαιοῦσθαι, πάντα δὲ γῆς

---

2 συντρεφόμενος Mang.: συστρεφόμενος codd. 5 εὐερκέστατον Turn.: εὐεργέστατον MHP, εὐεργετικώτατον A 7 ἐπειδὴ A: ἐπειδὰν MHP 9 τόπων] ὁπῶν Mang. 11 δέ MA: γάρ HP τὸ om. A 12 βαδίζων A 13 ὄντων μὴ δὲ MA 16 καὶ τῶν πορρωτάτω L λέγουσι] λόγισαι Mang. 17 γοῦν MA: γὰρ HP μὲν om. HP 19. 20 μὴ νεότητα om. HP 22 πατρίδων A πολιτειῶν A φιλοτησιῶν H^2 23 κτημάτων καὶ om. H 25. 26 καὶ μόνῳ — ἅπασαν om. H 26 μὲν] μὴ P 25. 26 καὶ μόνῳ — ἅπασαν om. H^1, ἕνεκα λόγου μὴ περαιοῦσθαι πάντα μὲν πελάγη H^2

---

16 sqq. cf. commentationem meam „Philo und die kynisch-stoische Diatribe“ p. 44. 45.

μυχὸν ἐπέρχεσθαι, φιλοπευστοῦντας εἴ πού τι καλὸν ἔστιν ἰδεῖν ἢ ἀκοῦσαι, καὶ μετὰ σπουδῆς καὶ προθυμίας τῆς | πάσης ἰχνηλατεῖν, ἄχρις ἂν p. 471 M.
219 ἐγγένηται τῶν ζητουμένων καὶ ποθουμένων εἰς ἀπόλαυσιν ἐλθεῖν. διόδευσον μέντοι, ψυχή, καὶ τὸν ἄνθρωπον, εἰ θέλεις, ἕκαστον τῶν περὶ αὐτὸν ἀγαγοῦσα εἰς ἐπίκρισιν, οἷον εὐθέως τί τὸ σῶμα καὶ τί ποιοῦν ἢ πάσχον διανοίᾳ συνεργεῖ, τί ἡ αἴσθησις καὶ τίνα τρόπον τὸν ἡγεμόνα νοῦν ὠφελεῖ, τί λόγος καὶ τίνων γινόμενος ἑρμηνεὺς πρὸς καλοκἀγαθίαν συμβάλλεται, τί ἡδονὴ καὶ τί ἐπιθυμία, τί λύπη καὶ φόβος καὶ τίς ἡ πρὸς ταῦτα ἰατρική, δι' ἧς ἢ ληφθείς τις εὐμαρῶς διεκδύσεται ἢ οὐχ ἁλώσεται πρὸς αὐτῶν τὸ παράπαν, τί τὸ ἀφραίνειν, τί τὸ ἀκολασταίνειν, τί τὸ ἀδικεῖν, τίς ἡ τῶν ἄλλων πληθὺς νοσημάτων, ὅσα ἡ φθοροποιὸς ἀποτίκτειν πέφυκε κακία, καὶ τίς ἡ τούτων ἀποστροφή, καὶ κατὰ τὰ ἐναντία τί τὸ δίκαιον ἢ τὸ φρόνιμον ἢ τὸ σῶφρον, τὸ ἀνδρεῖον, τὸ εὔβουλον, ἀρετὴ συνόλως ἅπασα καὶ εὐπάθεια, καὶ ὃν τρόπον ἕκαστον
220 αὐτῶν εἴωθε περιγίνεσθαι. διόδευσον μέντοι καὶ τὸν μέγιστον καὶ τελεώτατον ἄνθρωπον, τόνδε τὸν κόσμον, καὶ διάσκεψαι τὰ μέρη, ὡς τόποις μὲν διέζευκται, δυνάμεσι δὲ ἥνωται, καὶ τίς ὁ ἀόρατος οὗτος τῆς ἁρμονίας καὶ ἑνώσεως πᾶσι δεσμός. ἐὰν μέντοι σκοπούμενος μὴ ῥᾳδίως καταλαμβάνῃς ἃ ζητεῖς, ἐπίμενε μὴ κάμνων· οὐ γὰρ τῇ ἐκχειρίᾳ ληπτὰ ταῦτ' ἐστίν, ἀλλὰ μόλις πολλοῖς καὶ μεγάλοις πόνοις ἀνευρισκό-
221 μενα. οὗ χάριν ὁ φιλομαθὴς τοῦ τόπου Συχὲμ ἐνείληπται, μεταληφθὲν δὲ τοὔνομα Συχὲμ ὠμίασις καλεῖται, πόνου σύμβολον, ἐπειδὴ τοῖς

---

1 φιλοπευστοῦντες A 4 τῶν] τὸν A 7 γενόμενος AH 9 λειφθείς H^1 διεκδύεται A 10 αὐτὸν A 12 ἀποτροπή coni. Mang. 15 περιγίνεσθαι MAP^2: παραγίνεσθαι HP^1 17 ἄρρηκτος coni. Mang. οὗτος om. HP 18 δεσμός MA: δεσμός ἐστιν HP 19 ἐκκεχειρίᾳ H^2: ἑτέρᾳ ceteri, ῥᾳστώνῃ coni. Cohn (cf. vol. I p. 217,16) 20 μόλις ⟨περιγίνεται⟩ conicio μόλις post πόνοις transpos. HP καὶ πολλοῖς transpos. MA 21 εἰς τὸ ante τοῦ add. H^2 22 ὁμοίασις A (sed ὠμίασις m. rec. in mg.), ὦμος coni. Mang. πόνου δὲ H^2 σύμβουλον A

---

21 sqq. *Ambrosius De Abraham I 2, 5*: „egressus perambulavit terram usque ad Sychem", quod interpretatione latina dicitur humerus vel cervix, per quae exsecutionem praescripti operis intelligimus; siquidem et infra habemus scriptum „supposuit humerum suum ad laborandum". unde per figuram locorum id expressum advertimus, quod devotionem suam sanctus Abraham non solum studio, sed etiam efficacia probaverit fructuosa, qua ad quercum usque pervenerit. *cf. etiam II 3, 8*: Sychem enim vel humerus vel cervix significatur, quod est laboris et exercitationis indicium .... ad naturae gratiam adiuncta exercitatione ita fundatior et excelsior factus, ut

μέρεσι τούτοις ἀχθοφορεῖν ἔθος, ὡς καὶ αὐτὸς ἑτέρωθι μέμνηται λέγων
ἐπί τινος ἀθλητοῦ τοῦτον τὸν τρόπον· „ὑπέθηκε τὸν ὦμον εἰς τὸ πονεῖν,
καὶ ἐγένετο ἀνὴρ γεωργός“ (Gen. 49, 15). ὥστε μηδέποτε, ὦ διάνοια, 222
μαλακισθεῖσα ὀκλάσῃς, ἀλλά, κἂν τι δοκῇ δυσθεώρητον εἶναι, τὸ ἐν
σαυτῇ βλέπον διανοίξασα διάκυψον εἴσω καὶ ἀκριβέστερον τὰ ὄντα ἐναύ-
γασαι καὶ μήτε ἐκοῦσα μήτε ἄκουσά ποτε μύσῃς· τυφλὸν γὰρ ὕπνος,
ὡς ὀξυωπὲς ἐγρήγορσις. ἀγαπητὸν δὲ τῷ συνεχεῖ τῆς προσβολῆς εἰλι-
κρινῆ τῶν ζητουμένων λαβεῖν φαντασίαν. οὐχ ὁρᾶς ὅτι καὶ δρῦν ὑψη- 223
λὴν ἐν Συχὲμ πεφυτεῦσθαί φησιν αἰνιττόμενος τὸν ἀνένδοτον καὶ ἀκαμπῆ,
στερρόν τε καὶ ἀρραγέστατον παιδείας πόνον; ᾧ τὸν μέλλοντα ἔσεσθαι
τέλειον καὶ ἀναγκαῖον κεχρῆσθαι, ἵνα μὴ τὸ ψυχῆς δικαστήριον, ὄνομα
Δεῖνα — κρίσις γὰρ ἑρμηνεύεται —, συλληφθῇ πρὸς τοῦ τὸν ἐναντίον
p. 472 M. μοχθοῦντος πόνον, τοῦ φρονήσεως ἐπιβούλου. | ὁ γὰρ ἐπώνυμος τοῦ τόπου 224
τούτου Συχέμ, Ἐμὼρ υἱὸς ὤν, ἀλόγου φύσεως — καλεῖται γὰρ Ἐμὼρ
ὄνος —, ἀφροσύνην ἐπιτηδεύων καὶ συντραφεὶς ἀναισχυντίᾳ καὶ θράσει
τὰ κριτήρια τῆς διανοίας μιαίνειν ὁ παμμίαρος καὶ φθείρειν ἐπεχείρησεν,
εἰ μὴ θᾶττον οἱ φρονήσεως ἀκουσταὶ καὶ γνώριμοι, Συμεών τε καὶ Λευί,
φραξάμενοι τὰ οἰκεῖα ἀσφαλῶς ἐπεξῆλθον, ἔτι ὄντας ἐν τῷ φιληδόνῳ
καὶ φιλοπαθεῖ καὶ ἀπεριτμήτῳ πόνῳ καθελόντες· χρησμοῦ γὰρ ὄντος,
ὡς „οὐκ ἂν γένοιτό ποτε πόρνη τῶν τοῦ βλέποντος, Ἰσραήλ, θυγατέ-
ρων“ (Deut. 23, 17), οὗτοι τὴν παρθένον ψυχὴν ἐξαρπάσαντες λαθεῖν
ἤλπισαν (Gen. 34). οὐ γὰρ ἐρημία γε τῶν βοηθησόντων τοῖς παρα- 225
σπονδουμένοις ἐστίν, ἀλλὰ κἂν οἴωνταί τινες, οἰήσονται μόνον, ἀπελεγ-
χθήσονται δὲ τῷ ἔργῳ ψευδοδοξοῦντες. ἔστι γάρ, ἔστιν ἡ μισοπόνηρος
καὶ ἀμείλικτος καὶ ἀδικουμένων ἀρωγὸς ἀπαραίτητος δίκη, σφάλλουσα

---

1 ὡς om. HP 5 βλέπον ⟨ὄμμα⟩ conicio ὄντα] ἔνδον coni. Mang.
6 τυφλὸς A 7 ὀξυωπὴς A ἀγαπητῶν A προσβολῆς Mang.: προβολῆς
codd. 11 τέλειον om. A καὶ om. H², post καὶ vocabulum excidisse videtur
μὴ Turn.: μὴ δὲ codd. τῆς ψυχῆς HP 12 Δίνα MP διάκρισις P
τοῦ τὸν PH¹: τοῦτον M, τοῦ τῶν H², τὰς τῶν A ἐναντίων AH 13 πό-
νου H τοῦ et ἐπιβούλου H²: τὸν et ἐπίβουλον ceteri 17 ἔρασται
conicio 21 λαθεῖν Mang.: παθεῖν codd. 22 βοηθησάντων A
25 ἄρρωγὸς HP

---

usque ad quercum altam pertransiret — quae arbor ut alta, ita etiam robusta indicio est . . . . . *Origenes, Homilia V, 1 in Numeros p. 284*: humeri autem quod operum indicium teneant, in multis scripturae saepe locis ostendimus.

τὰ τέλη τῶν αἰσχυνόντων ἀρετήν, ὧν πεσόντων εἰς παρθένον πάλιν ἡ δόξασα αἰσχυνθῆναι μεταβάλλει ψυχή· δόξασα δ' εἶπον, ὅτι οὐδέποτε ἐφθείρετο· τῶν γὰρ ἀκουσίων οὐδὲν τοῦ πάσχοντος πρὸς ἀλήθειαν πάθος, ὡς οὐδὲ τοῦ μὴ ἀπὸ γνώμης ἀδικοῦντος τὸ πραττόμενον ἔργον.

1 βέλη coni. Mang. παρθενείαν H² 2. 3 οὐδὲ τότε M
3 οὐδὲ H